» ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν· Ἐπειδὴ γὰρ εἶπεν ὅτι δὺ φραίνομαι ἀλγούντων ὑμῶν, καὶ ἔδει αὐδαδέστερον τοῦτο ἰῶ, καὶ πραχύτερον, πάλιν αὐτὸ ἀνέφρεψεν ἑτέρως, καὶ ἡμερώτερον αὐτὸ ἐποίησε οἷς ἐπήγαγε· διατοῦτο γὰρ φησι προέμελλα ὑμῖν, ἵνα μὴ ἐν ὀδύνῃ ὑμᾶς δὺρω μὴ διορθωθέντας· διατοῦτο εἶπον ἵνα μὴ λυπηθῶ, οὐκ ἐμαυτοῦ σκοπῶν, ἀλλὰ τὸ ὑμέτερον· οἶδα γὰρ ὅτι ἐὰν ἴδητε χαίροντα, χαίρετε· κἂν θεάσησθε ἀλγοῦντα, ἀλγεῖτε· ὅρα τοίνυν αὖθις τ̀ ἀκολουθίαν τ̀ εἰρημένην, οὕτω γὰρ δύμαθέστερος ἡμῖν ἔσται ὁ λόγος· οὐκ ἦλθον φησὶν, ἵνα μὴ λυπήσω ὑμᾶς ἀδιορθώτους δύρων· τοῦτο δὲ ἐποίουν, οὐκ ἐμαυτοῦ σκοπῶν, ἀλλὰ τὸ ὑμέτερον· ἐγὼ μὲν γὰρ λυποῦμαι ὑμῶν, ἔχω ἡδονὴν οὐμικράν, ὅταν ἴδω τοσοῦτον ἐμοῦ φροντίζοντας, ὡς μὴ λυπεῖσθαι, μὴ ἀλγεῖν ἀγανακτοῦντος ἐμοῦ· τίς γάρ ἐστιν ὁ δύφραίνωμαι εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; πλὴν ἀλλὰ μὴ οὕτως διακείμενος, ἐπειδὴ τὸ ὑμέτερον σκοπῶ, ἔμελλον ὑμῖν τὸ αὐτὸ τοῦτο· ἵνα μὴ λυπηθῶ, μὴ ἐν τούτῳ πάλιν, οὐκ ἐμὸν σκοπῶν, ἀλλὰ τὸ ὑμέτερον· οἶδα γὰρ ὅτι μὴ ὑμεῖς μέλλετε λυπεῖσθαι ἀλγοῦντα με ὁρῶντες· ὡς περ οὖν, καὶ δύφραίνεσθε χαίροντα θεωροῦντες· σπόρει τοίνυν σώσειν, εἰκὸς ἵνα μὴ λυπήσω οὐκ ἦλθον, καίτοιγε δύφραίνομαι εἶτα ἵνα μὴ δόξῃ ἐκείνων ἀλγοῦντ δύφραίνεσθαι, κατὰ τοῦτο εἶπε· χαίρω καὶ δὸ καθάπαξ ὁμολογῶ, ἐπεὶ καθ' ἕτερον λυποῦμαι ὅταν τὶς οὕτω φιλοῦντας ἀναγκάζωμαι λυπεῖν, οὐ τούτῳ μόνον τῷ ἐπιζημίαν, ἀλλὰ τῷ μὴ αὐτὸς ἐν λύπῃ εἶναι, μὴ

ὑμᾶς λίαν

ὑμᾶς διὰ τοῦτο πάλιν λυπεῖν. σκόπει δὲ πῶς αὐτὸ, μὴ μετ' ἐγκωμίων πίθησι λέγων. ἀφ' ὧν ἔδειμε χαίρειν. δῆλον γὰρ γνησιότητα μαρτυροῦντος ὅτι, καὶ πολλὴν φιλοστοργίαν, ὡς οὐ περὶ γῆν καὶ ἅλας εἴτε πολλὰ δυσχερηθέντων, καὶ περὶ οὓς ἐπόνησεν. εἰ τοίνυν διὰ τοῦτο γράφω, καὶ οὐκ ἔρχομαι, μέγα τι οἰκονομῶν οὐκ ἔρχομαι, καὶ οὐ μισῶν, οὐ δὲ ἀποφερόμενος, ἀλλὰ καὶ σφόδρα φιλῶν. εἶτα ἐπειδὴ εἶπον, ὅτι ὁ λυπῶν δύφραίνει. ἵνα μὴ λέγωσι. δῆλον οὖν αὐτὸ ποιοῦσι, ἵνα δύφραίνῃ, καὶ ἐπιδείξῃ πᾶσιν πόσην ἔχεις ἰσχύν; ἐπήγαγεν.

» Ἐκ γὰρ πολλῆς θλίψεως, καὶ συνοχῆς καρδίας, ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων. οὐ-
» χ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

Τί ταύτης φιλοστοργότερον τῆς ψυχῆς; οὐτῶν γὰρ τῶν ἡμαρτηκότων οὐκ ἔλαττον, ἀλλὰ καὶ πολλῷ πλέον δείκνυσιν ἑαυτὸν ἀλγήσαντα. οὐ γὰρ ἀπὸ θλίψεως ἦν μόνον, ἀλλ' ἀπὸ πολλῆς. οὐ δὲ δακρύων, ἀλλὰ διὰ πολλῶν δακρύων, καὶ συνοχῆς καρδίας, τουτέστιν ἀπηγχονιζόμην, ἀπεπνιγόμην ὑπὸ τῆς ἀθυμίας. καὶ μηκέτι φέρων τῆς ἀθυμίας τὸ νέφος, ἔγραψα ὑμῖν. οὐχ ἵνα λυπηθῆτε, ἀλλ' ἵνα γνῶτε τὴν ἀγάπην ἣν, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. καίτοι τὸ ἀκόλουθον ἦν εἰπεῖν, οὐχ ἵνα λυπηθῆτε, ἀλλ' ἵνα διορθωθῆτε. μὴ γὰρ διὰ τοῦτο ἔγραψεν. ἀλλ' οὐ λέγει τοῦτο, ἀλλὰ καταγλυκαίνων μᾶλλον τὸν λόγον, καὶ εἰς μεῖζον φίλτρον αὐτοὺς ἐπιστώμενος, τοῦτο ἀντ' ἐκείνου τίθησι, δεικνὺς ὅτι πάντα ἀπὸ ἀγάπης ποιεῖ. καὶ οὐχ ἁπλῶς φησι ἀγάπην, ἀλλ' ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. βούλεται γὰρ αὐτοὺς, καὶ διὰ τῆς ἐπιστολῆς διορθῶσαι, τῷ δεῖξαι ὅτι πλέον πάντων αὐτοὺς φιλεῖ. καὶ ὡς περὶ ἐξαιρέ-
» τους μαθητὰς διάκειται, διὸ φησί. Εἰ καὶ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι. καὶ
» ἐὰν πολλοὺς συνδιδασκάλους ἔχητε, ἀλλ' οὐ πολλοὺς πατέρας. Καὶ πάλιν. Ἐν χάριτι δὲ οὐκ
» ἐφάνημεν ἐν τῷ κόσμῳ. περισσοτέρως δὲ πρὸς ὑμᾶς, καὶ προϊόντων φησὶ, καὶ περισσοτέρως ὑ-
» μᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι. καὶ ἐν τούτῳ δῆλον. ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. ὥστε εἰ καὶ θυμῷ τὰ ῥήματα ἔγραψεν, ἀλλ' ἐξ ἀγάπης ἦν πολλῆς, καὶ ἡδυνῆς ὁ θυμός. καὶ μέφων τὴν ἐπιστολὴν, ἔπαθον, ἤλγουν, οὐχ ὅτι ἡμαρτήκατε μόνον, ἀλλ' ὅτι καὶ ἠναγκαζόμην λυπεῖν. μὴ τοῦτο δὲ αὐτὸ ἐξ ἀγάπης. ὥσπερ οἶμαι ἔχοντες παῖδα γνήσιον σκωπτόδουλα ἔχοντα ἀναγκαζόμενος τέμνειν, καὶ καίειν, διὰ ἀμφότερα πάσχει, καὶ ὅτι νοσεῖ, μὴ ὅτι ἀναγκάζεται αὐτὸν τέμνειν. ὥστε ὃ νομίζετε εἶναι τοῦ μισεῖν ὑμᾶς σημεῖον, τοῦτο τοῦ σφόδρα φιλεῖν ἦν. εἰ δὲ τὸ λυπῆσαι ἐξ ἀγάπης, πολλῷ μᾶλλον τὸ δύφραίνεσθαι λυπουμένων. ἀπολογησάμενος τοίνυν ὑπὲρ ἑαυτοῦ. καὶ γὰρ ἀπολογεῖται πολλαχοῦ, καὶ οὐκαὶ αἰσχύνεται. εἰ γὰρ ὁ διὰ αὐτὸ ποιεῖ λέγων, λαὸς μου τί ἐποίησά σοι; πολλῷ μᾶλλον παῦλος. ἀπολογησάμενος οὖν ὑπὲρ ἑαυτοῦ, καὶ μέλλων μετιέναι λοιπὸν καὶ τὴν ἀπολογίαν τὴν ὑπὲρ τοῦ πορνεύσαντος. ἵνα μὴ διαστρέφωσιν ὡς τἀναντία κελεύομενοι, καὶ προσφιλονεικήσωσιν. ἐπειδὴ αὐτὸς ἦν ὁ καὶ τότε ὀργισθεὶς, μὴ νῦν κελεύων αὐτὸν ἀφιέναι, ὅρα πῶς αὐτὸ προοικονόμησεν. ἀπότε τῶν εἰρημένων, ἀπότε τῶν
» ῥηθησομένων, τί γάρ φησιν; Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκε. Γρῶ τὸν αὐτὸν ἐπαινέσας, ὡς τὰ αὐτὰ χαίροντας, καὶ τὰ αὐτὰ λυπουμένους, τότε ἐμβάλλει εἰς τὸν περὶ τούτου λόγον. εἰπὼν πρῶτον, ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν. εἰ δὲ ἡ χαρὰ πάντων ὑμῶν ἐστι χαρὰ, δεῖ μετ' ἐμοῦ, καὶ νῦν ἥδεσθαι. ὥσπερ ἠλγήσατε μετ' ἐμοῦ τότε. καὶ γὰρ διὰ τοῦτο ἐλυπήθητε, ἵνα φρόνιμοι γένησθε. καὶ διὰ τοῦτο χαίρετε νῦν, ἵνα ἄρα ἥδεσθε, τὸ αὐτὸ ποιήσετε. καὶ οὐκ

εἶπεν

εἶπεν ἡ ἐμὴ λύπη πάντων ὑμῶν ἐστιν. ἀλλ' ἐν τοῖς ἄλλοις κατασιβυάσας τοῦτο, νυνὶ μόνον οὗ ἔχρηξε, τοῦτο τέθεικε, τὴν χαράν, εἰπὼν ὅτι ἡ ἐμὴ χαρά, πάντων ὑμῶν ἐστιν. εἶτα καὶ τῶν
» προτέρων μέμνηται λέγων. Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους,
» ἵνα μὴ ἐπιβαρῶ, πάντας ὑμᾶς. Οἶδα φησὶν, ὅτι συνωργίσθητέ μοι, καὶ συνηγανακτήσατε τῇ τῶ πορνεύσαντι, καὶ ἐμέρισε πάντας ὑμᾶς ἐλύπησε τὸ συμβάν. διατοῦτο δὲ εἶπον ἐμέρους, οὐχ ὡς ὑμῶν ἐλάττονα ἀλγησάντων, ἢ ἐγὼ, ἀλλ' ἵνα μὴ βαρήσω ἐκεῖνον τὸν πορνεύσαντα. οὐκ ἐμὲ τοίνυν μόνον ἐλύπησεν, ἀλλὰ καὶ ὑμᾶς ὁμοίως. μὴ φειδόμενος αὐτοῦ εἶπον ἀπὸ μέρους. εἶδες πῶς αὐτῶν δι' ὅλου ἐχάλασε τὸν θυμόν; δείξας, καὶ τῆς ἀγανακτήσεως κοινωνοὺς γενομένους; Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιζημία αὕτη ἡ ὑπὸ τ πλειόνων. Καὶ οὐ λέγει τῷ πορνεύσαντι, ἀλλὰ πάλιν τῷ τοιούτῳ, ὡς καὶ ἐν τῇ προτέρᾳ, ἀλλ' οὐ λίαν τὴν αὐτὴν αἰτίαν. ἀλλ' ἐκεῖ μὲν αἰσχυνόμενος, ἐν τούτοις δὲ φειδόμενος. διὸ οὐδὲ μέμνηται λοιπὸν οὐδαμοῦ τῆς ἁμαρτίας. καιρὸς γὰρ ἀπολογίας ἦν. Ὥστε
» τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, καὶ παρακαλέσαι. μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. Οὐ γὰρ μόνον κελεύει λῦσαι τὴν ἐπιτιμησιν, ἀλλὰ καὶ τὰ πρότερα ἐπανάγει. τὸν γὰρ μαστιγωθέντα οὐ μόνον τις ἀφῇ, καὶ οὐ δεδραστεύσῃ, οὐδὲν ἐποίησεν. ὅρα δὲ πῶς καὶ ἐκεῖνον πάλιν καταστέλλει, ἵνα μὴ τῇ συγχωρήσει γένηται χείρων. εἰ γὰρ καὶ ἐξωμολογήσατο, καὶ μετενόησε, δείκνισιν ὅτι οὐ τοσοῦτον ἀπὸ τῆς μετανοίας, ὅσον ἀπὸ τῆς δωρεᾶς λαμβάνει τὴν ἄφεσιν. διὸ φησὶ, χαρίσασθαι καὶ παρακαλέσαι, καὶ τὸ ἑξῆς πάλιν τὸ αὐτὸ δηλοῖ. οὐ γὰρ ἐπειδὴ ἄξιος ἐστὶν. οὐ δὲ ἐπειδὴ ἀρνοῦσαν μετάνοιαν ἐπεδείξατο, ἀλλ' ἐπειδὴ ἀσθενής ἐστιν. διατοῦτο φησὶ, ἀξιῶ. διὸ καὶ ἐπήγαγε, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. τοῦτο δὲ καὶ μαρτυροῦντος ἦν αὐτῷ πολλὴ τ μετάνοια. καὶ οὐκ ἀφιέντος εἰς ἀπόνοιαν ἐλθεῖν. τί δέ ἐστιν, τὸ καταποθῇ; ἢ τοῦτο ποιήσας ὅπερ, καὶ Ἰούδας ἐποίησεν, ἢ καὶ ἐν τῷ ζῆν χείρων γενόμενος. κἂν ἀποσιρτήσῃ φησὶ τῷ μὴ φέρειν ἐπιπλέον τὴν ἐκτεινομένην ἐπιπλήξεως ὀδύνην. πολλάκις καὶ ἀπογνοὺς, ἢ εἰς ἀγχόνην, ἢ εἰς μείζονα λοιπὸν ἥξει κακίαν. δεῖ τοίνυν προκαταλαβεῖν, ἵνα μὴ χαλεπώτερον τὸ ἕλκος γένηται, μὴ δὲ ὅπερ κατωρθώσαμεν, ἀπολέσωμεν τῇ ἀμετρίᾳ. ταῦτα δὲ ἔλεγεν, ἐκεῖνον ὅπερ ἔφθασεν εἰπὼν, καὶ καταστέλλων, καὶ σπουδαίους μὴ γενέσθαι μετὰ τὴν ἄφεσιν ῥᾳθυμότερον. οὐ γὰρ ὡς ἀπονιψάμενον τέλεον, ἀλλ' ὡς δεδοικὼς μὴ χαλεπώτερόν τι ἐργάσηται, οὕτως ἐδεξάμην φησί. ὅταν μανθάνωμεν, ὅτι οὐ δεῖ μόνον πρὸς τὴν φύσιν τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ πρὸς τὴν διάνοιαν, καὶ τὴν ἕξιν τῶν ἁμαρτανόντων τὴν μετάνοιαν ὁρίζειν. ὃ καὶ τότε ὁ ἀπόστολος ἐποίησε. καὶ γὰρ ἐφοβεῖτο αὐτοῦ τὸ ἀσθενές. καὶ διατοῦτο ἔλεγε, μὴ καταποθῇ, ὡς ὑπὸ θηρίου, ὡς ὑπὸ χειμῶνος, ὡς ὑπὸ κλύδωνος. Διὸ παρακαλῶ ὑμᾶς. Οὐκέτι ἐπιτάττει, ἀλλὰ παρακαλεῖ, οὐχ ὡς δεσπότης, ἀλλ' ὡς ὁμότιμος. καὶ ἐκείνους ὑπὸ τὸ θρόνου καθίσας τοῦ δικαστικοῦ, ἑαυτὸν ἔστησεν ἐν τάξει συνηγόρου. ἐπειδὴ γὰρ κατώρθωσεν ὅπερ ἐβούλετο, ἁπλῶς λοιπὸν χαρᾶς
» τῇ ἐκπειρίᾳ κέχρηται. καὶ τί ποτέ ἐστιν, ὃ παρακαλεῖς εἰπέ μοι; Κυρῶσαι εἰς αὐ-
» τὸν ἀγάπην. Τουτέστι βεβαιῶσαι, μὴ ἁπλῶς μὴ δὲ ὡς ἔτυχε προσέσθαι. τοῦτο δὲ πάλιν μαρτυροῦντός ἐστιν αὐτοῖς ἀρετὴν μεγίστην. εἰγε οἱ οὕτω φιλοῦντες αὐτὸν, καὶ συγ

κρατοῦντες,

προτοιῶτες, ὡς μὴ φιλοῖωθῆναι, οὕτως ἀπεφράφησαν, ὡς τοσαῦτα μένειν τὸν παῦλον, ἵνα κυρώσωσιν εἰς αὐτὴν ἀγάπην. ΔΕΙ γὰρ ἀρετὴ μαθητῆ, τοῦτο ἀρετὴ διδασκάλων, τὸ οὕτως ἐκείνους βούλεσθαι, τὸ οὕτως αὐτὸν ῥυθμίζειν αὐτούς. ΔΕΙ δὲ μὴ νεῶ ἐγένετο, οὐκ ἂν οἱ ἁμαρτάνοντες ἀνακαθήτως ἐπεμελήσαντο. οὔτε γὰρ φιλεῖν ἁπλῶς δεῖ, οὔτε ἀποφέρεσθαι αὐδὲν λόγου
» τινός. Εἰς ΔΕΙΝ γὰρ μὴ ἔγραφα ὑμῖν, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε, μὴ
» μόνον ἐν τῷ ἀποτέμνειν, ἀλλὰ μὴ ἐν τῷ σωάζειν. Εἶ δὲς πῶς πάλιν, καὶ ἐν τούτοις περιέσησι τὸν ἀγῶνα; ὥσπερ γὰρ ἡνίκα ἥμαρτον, ἀναγωνίους αὐτοὺς ἐποίησεν, εἰ μὴ ἐκτέμοιεν, εἰ πὼν, μυρία ξύμη, ὅλον τὸ φύραμα ζυμοῖ, καὶ ἕτερα πλείονα. οὕτω καὶ ἐν τούτοις πάλιν τὸν τῆς παρακοῆς αὐτοῖς ἐφίησι φόβον, μονονουχὶ λέγων. ὅπ ὥσπερ τότε, οὐχ ὑπὲρ αὑτοῦ, ἀλλὰ καὶ ὑπὲρ ὑμῶν. καὶ νεῶ οὐχ ὑπὲρ ἐκείνου μᾶλλον, ἢ ὑμῶν αὐτῶν βουλευτέον ὑμῖν ἐστίν. μὴ δόξητε φιλόνεικοι τινές εἶναι, καὶ ἀπάνθρωποι, καὶ οὐκ ἂν ἅπασιν ὑπήκοοι. διὸ φῆ, εἰς ΔΕΙΝ γὰρ καὶ ἔγραφα ὑμῖν, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. ἐκεῖνο μὲν γὰρ ἔδοξεν αὖ καὶ φθόνου εἶναι, καὶ βασκανίας. τοῦτο δὲ δείκνυσι καθαρὰν μάλιστα τὴν ὑπακοὴν, καὶ εἰ πρὸς φιλανθρωπίαν ἐστὶ σπιπδείοι. τοῦτο γὰρ μαθητῶν δύγω μόνων, τὸ μὴ μόνον ἐκεῖνα, ἀλλὰ καὶ τὰ ἐναντία κελεύσαντα πείθεσθαι. διατοῦτο εἶπεν εἰς πάντα, δείκνυς ὅπ ἐὰν μὴ ὑπακούσωσιν, οὐχ οὕτως ἐκεῖνον, ὡς ἑαυτοὺς κατισχύουσι, φιλονείκων λαμβανόντες δόξαν. ποιεῖ δὲ τοῦτο, ἵνα κἀντεῦθεν αὐτοὺς ὠθήσῃ πρὸς τὸ πείθεσθαι. διὸ καὶ λέγει. εἰς τοῦτο γὰρ ἔγραφα ὑμῖν, καίτοι οὐ διατοῦτο ἔγραφε. λέγει δὲ διὰ τοῦτο, ὥστε αὐτοὺς σπιπάσασθαι. τὸ γὰρ προκείμενον ἦν, ἢ ἐκείνου σωτηρία. ἀλλ' ἔνθα μὴ δὲν βλάπτεται, κἀκείνοις χαρίζεται. τῷ δὲ εἰπεῖν εἰς πάντα, πάλιν ἐγκωμιάζει, τῆς προ-
» τέρας ὑπακοῆς ἀναμνήσας, καὶ εἰς μέσον αὐτὴν ἀγαγών. Ὧ δὲ πὶ χαρίζεσθε, κἀγώ. Ὁρᾷς πῶς πάλιν τὰ δευτερεῖα ἑαυτῷ δίδωσιν; ἐκείνους μὲν ἄρχοντας, ἑαυτὸν δὲ ἑπόμενον δεικνύς; τοῦτο δὲ μαλάττει πραχυνομένην γνώμην, τοῦτο ἐκλύσαι φιλονεικοῦσαν. εἶτα ἵνα μὴ ὑπερόπτους ποιήσῃ, ὡς κυρίους ὄντας, κὴ μὴ ἀφῶσιν αὐτὴν, πάλιν αὐτοὺς ἄγχει πρὸς
» τοῦτο λέγων. ὅπ καὶ αὐτὸς ἐχαρίσατο. Καὶ γὰρ ἐγὼ εἶπ κεχάρισμαι, ὃ κεχάρισμαι,
» δι' ὑμᾶς. Καὶ τοῦτο γὰρ αὐτὸ, δι' ὑμᾶς πέπρακα φησί. καὶ ὥσπερ ἡνίκα ἐκέλευεν ἀποτεμεῖν, οὔτε ἀφῆκεν αὐτοὺς γενέσθαι κυρίους χαρίσασθαι, εἰ πὼν. ἤδη κέκρικα παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ. καὶ ἔλαβε πάλιν κοινωνοὺς αὐτοὺς τῆς ψήφου εἰ πὼν. σωαχθέν των ὑμῶν παραδοῦναι αὐτόν. δύο τὰ μέγιστα κατασκευάζων, καὶ τὸ ἐξενεχθῆναι τὴν ἀπόφασιν. καὶ τὸ μὴ χωρεῖς ἐκείνων, ὥστε μὴ δόξαι ταύτῃ πλήττειν. καὶ οὔτε μόνος αὐτὴν ἐκφέρει, ἵνα μὴ νομίσωσιν αὐθαίρετη εἶναι, καὶ ὑπερῶφθαι αὐτοί. οὔτε τὸ πᾶν αὐτοῖς ἐπιτρέπει. ἵνα μὴ κύριοι γενόμενοι, προδῶσι τὸν ἡμαρτηκότα, ἀκαίρως αὐτῷ χαριζόμενοι. οὕτω κὴ ἐν ταῦθα ποιεῖ λέγων. ὅπ ἐγὼ ἤδη ἐχαρισάμην, ὃς ἐν τῇ προτέρᾳ ἤδη κέκρικα. εἶτα ἵνα μὴ πλημμελῶσιν, ὡς ὑπερόφθεντες, φῆ. δι' ὑμᾶς, τί οὖν, δι' αὐτοὺς συνεχώρησεν; οὐχί. ΔΕΙ γὰρ τοῦτο κὴ προσέθηκεν. Ἐν προσώπῳ χῦ. Τί ἐστιν ἐν προσώπῳ χῦ; ἢ κατὰ τὸν φησι, ἢ εἰς δόξαν τοῦ χῦ. Ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. Εἶ δὲς πῶς κὴ τὴν ἐξουσίαν αὐτοῖς ἐπιτρέπει, κὴ πάλιν ἀφαιρεῖται αὐτήν;

ἵνα ἐκείνῳ

ἵνα ἐκείνῳ μὲν μαλάξῃ, τούτῳ δὲ τὸ αὐθαδες αὐτῶν ἐκκόψῃ. οὐ δ̃ον δὲ μόνον συτεῦθεν κατασκυάζει, ἀλλὰ καὶ τὸ δεῖξαι κοινωνὸν τιὼ βλάβιω οὖσαν, εἰ παρακούσαιεν. ὅπερ καὶ ἐν ἀρχῇ ωεποίηκε. καὶ γὰ τότε ἔλεγε, μικρὰ ζύμη, ὅλον τὸ φύραμα ζυμοῖ. καὶ συζαῦθαι πάλιν, ἵνα μὴ πλεονεκτηθῶμεν ὑ̃ὸ τ̃ σατανᾶ. καὶ παντα χοῦ, καὶ αὐτ̃, καὶ ἐκείνων ποιεῖ τιὼ ἄφεσιν. σκόωει δὲ αὖωθεν. εἰ δέτις λελύπηκε φῇ, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ, πάντας ὑμᾶς. εἶτα πάλιν, ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιπμία αὕτη ἡ ὑ̃ὸ τῶν πλειόνων. δ̃ον αὐτ̃ ψῆφος, καὶ γνώμη. ἀλλ' οὐκέτη μέχρι τ̃ς ψήφου, ἀλλὰ πάλιν αὐτοὺς κοινωνοὺς ποιεῖ λέγων. ὥστε τοὐναντίον μᾶλ̃ ὑμᾶς χαρίσαθαι, μὴ παρακλέσαι. διὸ παρακαλῶ ὑμᾶς, κυρῶσαι εἰς αὐτ̃ ἀγάπην. πάλιν ἐκείνων τὸ ὅλον ποιήσας, εἰς τιὼ ἐξουσίαν τιὼ ἑαυτοῦ μεταβαίνει λέγων. εἰς δ̃ον γὰ καὶ ἔγραψα ὑμῖν, ἵνα γνῶ τιὼ δοκιμιὼ ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. εἶτα πάλιν αὐτῶν ποιεῖ τιὼ χάειν λέγων. ᾧ δέτι χαρίζεσθε, καὶ ἐγὼ λέγων εἴτι κεχάρισμαι, δι' ὑμᾶς, εἶτα μὴ ἐκείνων, καὶ ἑαυτ̃. καὶ γαὲ ἐγώφησι, εἴτι κεχάρισμαι, δι' ὑμᾶς ἐν προσώπῳ χ̃υ, ἢ εἰς δόξαν χ̃υ, ἢ ὡς τ̃ χ̃υ, καὶ δ̃ον κελεύοντος. ὃ μάλιστα αὐτοὺς ἔωειθε. καὶ γὰ ἐδεδοίκεισαν λοιπὸν μὴ χαρίσασθαι πρᾶγμα εἰς δόξαν αὐτ̃ διαβαῖνον, καὶ αὐτῷ δοκοῦν. εἶτα πάλιν τὸ κοινὸν βλάβος εἰ παρακούσαιεν, πίθησι λέγων. ἵνα μὴ πλεονεκτηθῶμεν ὑ̃ὸ τ̃ σατανᾶ. καλῶς, πλεονεξίαν ὀνομάσας. οὐ γὰ τὰ αὐτ̃ λαμβάνει λοιπόν, ἀλλὰ τὰ ἡμῶν ἁρπάξει. μὴ δέμοι δ̃ον εἴτις, ὅτι οὗτος μόνος θηριάλωτος γίνεται. ἀλλὰ καὶ δ̃ον σκόπησον, ὅτι ἐλαττοῦτ̃ τ̃ς ἀγέλης ὁ ἀριθμός. καὶ ναῦ μάλιστα, ὅτε δύναται ὅπερ ἀωέβαλεν, ἀνακτίσασθαι. οὐ γὰ αὐτ̃ τὰ νοήματα ἀγνοοῦμεν. ὅτι μὴ προχήματι δυλαβείασε, ἀπόλλυσιν. οὐ γὰ μόνον τῷ εἰς πορνείαν ἀγαγεῖν, ἀλλὰ καὶ ἀπὸ τ̃ ἐναντίου δύναται διαφθεῖραι, τ̃ς ἀμέτρου λύπης τ̃ς ὑ̃ὸ τ̃ μετανοίας. ὅταν οὖ̃ μὴ τῶν ἰδίων, καὶ τοὺς ἡμετέρους λαμβάνῃ, ὅταν καὶ ἁμαρτάνειν κελεύων ἀπολλύῃ, καὶ μετανοεῖν κελεύοντων ἡμῶν ἁρπάζῃ, πῶς οὐχὶ πλεονεξία τὸ πρᾶγμα; οὐ γὰ ἀρκεῖ αὐτῷ δι' ἁμαρτίας καταβάλλειν, ἀλλὰ καὶ δι' μετανοίασ, αὖ μὴ νήφωμεν, τ̃το ποιεῖ. διὸ καὶ πλεονεξίαν εἰκότως ἐκάλεσεν, ὅταν καὶ δι' τῶν ἡμετέρων κρατῇ. τὸ γὰ δι' ἁμαρτίασ λαμβάνειν, ἴδιον αὐτ̃ ὅτι, τὸ μέντοι δι' μετανοίασ, οὐκέτ. ἡμέτερον γὰ, οὐκ ἐκείνου τὸ ὅπλον. ὅταν οὖ̃ μὴ ἐντεῦθεν δύνηται λαμβάνειν, σκόπησον πῶς ἡ ἧτ̃α αἰχρά. πῶς ὡς ἀθενῶν, καὶ ταλαιπώρων καταγελάσεται, καὶ καταδραμεῖται. εἴγε τοῖς ἡμετέροις ὅπλοις ἡμᾶς μέλλει χειροῦθαι. καὶ γὰ σφόδρα καταγέλαστον, καὶ τ̃ς ἐχάτης αἰχμώνης, δι' τῶν ἡμετέρων φαρμάκων τὰ τρώματα αὐτὸν κατασκυάζειν, διατ̃το ἔλεγεν. οὐ γὰ αὐτ̃ τὰ νοήματα ἀγνοοῦμεν, τὸ ποικίλον, τὸ δολερὸν, τὸ κακομήχανον, τὸ κακοῦργον, τὸ ὑ̃ὸ προχήματι δυλαβείασε, τὸ ἐπηρεαστικὸν ἐμφαίνειν.

Η' σκόπον.

Ταῦτ' οὖ̃ μὴ ἡμεῖς ἐννοοῦντες, μηδέποτε μηδενὸς καταφρονῶμεν, μηδέποτε ἁμαρτάνοντες ἀπογινώσκωμεν. μὴ δ' αὖ ῥᾳθυμῶμεν πάλιν, ἀλλὰ συντρίβωμεν τιὼ διανοιαν πλημμελοῦντες, μὴ ἁπλῶς ῥήματα προβαλλώμεθα. καὶ γὰ οἶδα πολλοὺς ἐγὼ, οἳ λέγοισι μὲν ωενθεῖν

μὴν πενθεῖν τὰ ἁμαρτήματα. οὐδὲν δὲ μέγα ἐργάζονται, ἀλλὰ νηστεύουσι μὴν, καὶ τραχέα φοροῦσιν ἱμάτια. χρημάτων δὲ μᾶλλον τῶν καπηλευόντων ἐφίενται, καὶ ὀργῆς πλέον θηρίων ἀλίσκονται, καὶ κακηγορίας χαίρουσι μᾶλλον, ἢ ἐγκωμίοις ἕτεροι. οὐκοῦν ὅτι ταῦτα μετάνοια, εἰκὼν ὅτι μετανοίας ταῦτα, καὶ σκιὰ μόνον, οὐ μετάνοια. διὸ μὴ ὧδε τούτων καλὸν εἰ τυχεῖν, σκοπεῖτε, μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. τοὺς μὲν γὰρ δι' ἁμαρτημάτων, τοὺς δὲ διὰ μετανοίας ἀπόλλυσι, τούτους δὲ ἑτέρῳ τρόπῳ πάλιν, τῷ μηδὲν ἀπὸ μετανοίας ἀφεῖναι καρποῦσθαι. ἐπειδὴ γὰρ ἀπολέσας ἐξ ὑθείας οὐχ εὗρεν, ἑτέραν ἦλθεν ὁδόν. τοὺς μὲν πόνους ἐπιτείνων, τοὺς δὲ καρποὺς ἀφαιρούμενος, καὶ πείθων ὡς τὸ πᾶν καταῤῥᾳθυμοῦντας, οὕτως τῶν ἀγώνων ἀμελεῖν. ἵν' οὖν μὴ εἰκῇ πάθωμεν ἑαυτοὺς, μικρὰ πρὸς τὰς τοιαύτας διαλεχθῶμεν γυναῖκας. γυναικῶν γὰρ μάλιστα τοῦτό τὸ νόσημα. καλὸν μὲν καὶ τοῦτο τὸ πράττεται νῦν, νηστεία, καὶ χαμευνία, καὶ ῥακοδύσις, ἀλλ' ὅταν τὰ ἄλλα μὴ προσῇ, τούτων ὄφελος οὐδέν. ἐδείξε πῶς ἀφίησιν ἁμαρτίας ὁ θεὸς, τί τοίνυν ἐκείνῳ ἀφέντες τὴν ὁδὸν, ἑτέραν αὐτοῖς τέμνετε; ἥμαρτον οἱ νηστεύσαντες ποτὲ καὶ ἐποίησαν ταῦτα, ἃ καὶ ὑμεῖς ποιεῖτε νῦν, ἀλλ' ἴδωμεν τί αὐτοὺς ὠφέλησε. καθάπερ γὰρ ὧδε τῶν κακόντων πολλὰ μὲν ἐπάγουσιν οἱ ἰατροὶ, ὁ δὲ σωτὴρ οὐ τοῦτο σκοπεῖ, ὅπερ, καὶ ὃ ἐποίησεν ὁ ἀῤῥώστων, ἀλλὰ τί αὐτὸν ὠφέλησεν. οὕτω μὴ ἐνταῦθα σκοπεῖν δεῖ. τί οὖν ὠφέλησε τοὺς βαρβάρους ἐκείνους; ἐπέθηκαν νηστείαν τοῖς τραύμασι, μὴ σφοδρὰν νηστείαν ἐπέθηκαν, καὶ χαμευνίαν, σάκκου περιβολὴν, καὶ τέφραν, καὶ ὀδυρμούς. ἐπέθηκαν, καὶ μεταβολὴν βίου. ἴδωμεν οὖν τί τούτων ἐποίησεν αὐτοὺς ὑγιεῖς, καὶ πόθεν εἰσόμεθα φησί; καὶ πρὸς τὸν ἰατρὸν ἔλθωμεν, καὶ αὐτὸν ἐρωτήσωμεν. οὐ γὰρ ἀποκρύψεται ἡμᾶς, ἀλλὰ καὶ σφόδρα ἐρεῖ. μᾶλλον δὲ ἵνα μηδεὶς ἀγνοῇ, μὴ δὲ ἔρεσθαι δέηται, καὶ ἀνέῳξε τὸ φάρμακον τὸ ἀναφῆσαν αὐτούς. τί οὖν τοῦτό ἐστιν; εἰδὲ φῇ, ὁ δεῖ ὅτι ἀπέῤῥεψεν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. καὶ μετενόησεν ὧδε τῇ κακίᾳ, ἢ ἐλάλησε ποιῆσαι αὐτοῖς. οὐκεῖθεν ὅτι εἰδὲ νηστείαν, καὶ σάκκον, καὶ ῥακοδύσιν, μὴ ταῦτα, οὐ νηστείαν ἀναιρῶν λέγω. μὴ γένοιτο, ἀλλὰ τὸ τῆς νηστείας κρεῖττον ποιεῖν παραινῶν, τὸ πάσης κακίας ἀπέχεσθαι. ἥμαρτε καὶ ὁ δαυΐδ. ἴδωμεν οὖν καὶ οὗτος πῶς μετενόησε. τρεῖς ἡμέρας ἐκάθησεν ὧδε τέφρας, ἀλλ' ἐκεῖνος οὐχ ὑπὲρ τῆς ἁμαρτίας ἐποίει, ἀλλ' ὑπὲρ τοῦ παιδίου μεδύων ἐπὶ τῷ πάθει. τὴν δὲ ἁμαρτίαν ἑτέρως ἀπέσμηχε, ταπεινοφροσύνῃ, συντριβῇ καρδίας, κατανύξει ψυχῆς, τῷ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν, τῷ μεμνῆσθαι διηνεκῶς αὐτῆς, τῷ φέρειν βαρέως τὰ ἐπιόντα ἅπαντα, τῷ φείδεσθαι τῶν λυπούντων, τῷ μὴ ἀμύνεσθαι τοὺς ἐπιβουλεύοντας, ἀλλὰ καὶ τοὺς βουλομένους τοῦτο ποιεῖν, κωλύειν. ὅτε γοῦν αὐτὸν ὁ στρατὸς μυρίοις ἐπλουτίζεν ὀνείδεσι, τὸν τραπεζοῦν τὸν παρόντος ἀγανακτοῦντος, ἔλεγεν. ἄφες αὐτὸν καταράσθαι μοι, ὅτι κύριος ἐνετείλατο αὐτῷ. καρδίαν γὰρ συντετριμμένην, καὶ τεταπεινωμένην εἶχεν, ὃ μάλιστα αὐτοῦ τὰ ἁμαρτήματα ἀπέσμηχε. μὴ γὰρ τοῦτο ἐξομολόγησις, τοῦτο μετάνοια. οὐδὲ νηστεύοντες ἀλαζόνες ὦμεν, ὃ μόνον οὐδὲν ὠφελήθημεν, ἀλλὰ μὴ ἐβλάβημεν. ταπεινότερον τοίνυν τὴν καρδίαν μὴ σύ, ἵνα τὸν θεὸν ἐπιστάσῃ. ἐγγὺς γὰρ κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. οὐχ ὁρᾷς, ἐν ταῖς οἰκίαις ταῖς λαμπραῖς τὰς ὑπερμεγέθεις, πῶς οὐδὲ τῶν

ἐλαττόνων

ἐλαττόνων οἰκετῶν ὑβριζόντων αὐτοὺς οὐκ ἀντιλέγουσιν, ἀλλὰ φέρουσι διὰ τὴν ἀπιμίαν, ἣ περιέβαλεν αὐτοὺς ἡ ἁμαρτία· οὕτω καὶ σὺ ποίει, κἂν λοιδορήσῃ τίς, μὴ ἀχριάνῃς, ἀλλὰ γέναξον, μὴ τῇ ὕβρει, ἀλλὰ τῇ ἁμαρτίᾳ τῇ σὲ εἰς ἀπιμίαν ἐμβαλούσῃ. γέναξον ὅταν ἁμάρτῃς, μὴ ὅτι κολάζεσθαι μέλλεις, διὰ γὰρ οὐδέν, ἀλλ' ὅτι προσέκρουσας σου τῷ δεσπότῃ, τῷ οὕτως ἡμέρῳ τῷ οὕτως σε φιλοῦντι, τῷ ἐκπεμαμένῳ τ σωτηρίας τ σῆς, ὡς μὴ γὰρ ἀποδῶσαι ὑπὲρ σοῦ. διάζωσαι γέναξον, μὴ διὰ τί ποιεῖ δικαίως. τοῦτο γὰρ ἐξομολόγησις. μὴ νῦν μὲν φαιδρὸς, αὔριον δὲ σκυθρωπὸς, εἶτα φαιδρός. ἀλλὰ διαπαντὸς μένε ἐν τῷ σεν θεῖν, καὶ συντρίβειν σαυτόν. μακάριοι γάρ φησι οἱ πενθοῦντες, τουτέστιν οἱ δικαίως τὰ τοιοῦτες. μένε τοῦτο ποιῶν δικαίως, καὶ σαυτῷ προσέχων, καὶ συντρίβωνσου τὴν καρδίαν. ὡς αὖτις γνήσιον γὰρ ἀποβαλῶν, πένθοίη. διαῤῥήξατε φησὶ τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. τὸ δὲ διεῤῥωγὸς, οὐκαὶ ἐπαρθεῖσι. τὸ συντετριμμένον, οὐκαὶ ἐξανασταῖσι, διὰ τοῦτο ὁ μὲν, λέγει. διαῤῥήξατε. ὁ δὲ, λέγει. καρδίαν συντετριμμένῳ, καὶ τεταπεινωμένῳ, ὁ δὲ οὐκ ἐξουδενώσει. κἂν σοφὸς ᾖς, κἂν πλούσιος, κἂν δυνάστης, διάῤῥηξον τὴν καρδίαν, μὴ ἀφῇς αὐτὴν μέγα φρονεῖν, μὴ δὲ φυσᾶσθαι. τὸ γὰρ διεῤῥωγὸς, οὐ φυσᾶται, κἂν ἡ πὶ τὸ ἐπαῖρον, οὐ δύναται φέρειν τὸ φύσημα τῷ διεῤῥῆχθαι. οὕτω καὶ σὺ ταπεινοφρόνησον. σύνησον ὅτι τελώνης ἀπὸ ῥήματος ἑνὸς ἐδικαιώθη. καίτοιγε, οὐ δὲ ταπεινοφροσύνη ἐκεῖνο ἦν, ἀλλ' ὁμολογία ἀληθής. εἰ δὲ τοῦτο τοσαύτην ἔχει ἰσχύν, πόσῳ μᾶλλον ταπεινοφροσύνη. ἄφες ἁμαρτήματα τοῖς πεπλημμεληκόσιοι. καὶ γὰρ καὶ τοῦτο ἁμαρτάσο ἀφίησι. καὶ περὶ μὲν τοῦ προτέρου, φησί. εἶδον ὅτι ἐπορεύθη συγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. καὶ ἐπὶ τοῦ ἀχαὰμ δὲ, τοῦτο τὴν ὀργὴν ἔλυσε τοῦ θυ. περὶ δὲ τούτου, ἄφετε καὶ ἀφεθήσεται ὑμῖν. ὅτι καὶ πάλιν ἄλλη ὁδὸς τοῦτο φέρουσα τὸ φάρμακον ἡμῖν, ἡ κατάγνωσις τῶν πεπλημμεληκότων. λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. καὶ τὸ καλῶς πάσχοντα δυσχεραίνειν, λύει τὰ ἁμαρτήματα, καὶ ἡ πασῶν μείζων ἐλεημοσύνη. ἀρίθμει τοίνυν τὰ φάρμακα τὰ ἰώμενα σου τραύματα, καὶ πάντα ἐπιτίθει συνεχῶς, τὴν ταπεινοφροσύνην, ἐξομολόγησιν, τὸ μὴ μνησικακεῖν, τὸ πάσχοντα κακῶς δυσχεραίνειν, τὸ ἐλεεῖν διὰ χρημάτων, διὰ πραγμάτων, τὸ δύνασθαι καρτερῶς. οὕτως ἡ χεὶρ τὸν ὦμὸν, καὶ ἀπὸ πάσης ἐξιλεώσατο δικαστήν. εἰ δὲ ἐκεῖνη τὸν ἀδικον, πολλῷ μᾶλλον σὺ τὸν ἥμερον. ὅτι καὶ ἑτέρα μέν τούτων ὁδὸς, τὸ προΐστασθαι τῶν ἀδικουμένων. κρίνατε γάρ φησι ὀρφανῷ, καὶ δικαιώσατε χήραν. καὶ δεῦτε, καὶ διελεχθῶμεν, καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ποίαν οὖν εἴπωμεν ἀπολογίαν ἔξει, εἰ τοσαύτας ἔχοντες ὁδοὺς, εἰς τὸν οὐρανὸν ἀναγούσας, καὶ τοιαῦτα φάρμακα ἰώμενα τὰ τραύματα, καὶ μὴ λουσόμεθα, τοῖς αὐτοῖς ἐπιμένομεν; μὴ τοίνυν ἐπιμένωμεν, ἀλλ' οἱ μὲν μηδέπω πεσόντες, ἐν τῷ οἰκείῳ μενέτωσαν κάλλει, μᾶλλον δὲ ἐπὶ πλέον ἀσκείτωσαν τοῦτο. κἂν γὰρ μὴ δύρῃ ἁμαρτήματα, ταυτὶ τὰ κατορθώματα πλείονα ποιεῖ τὴν εὐμορφίαν. ἡμεῖς δὲ οἱ πολλὰ πεπλημμεληκότες, εἰς τὴν τῶν ἁμαρτημάτων διόρθωσιν χρησώμεθα τοῖς εἰρημένοις, ἵνα τῷ βήματι τοῦ χυ μὴ παῤῥησίασο παραστῶμεν πολλῆς, ἧς γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι, καὶ φιλανθρωπίᾳ.

Ε'λθὼν

Λόγος, ε'.

» Ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χῦ, καὶ θύρας μοι ἀνεῳγμένης ἐν κυρίῳ,
» οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου. Ταῦτα δο-
κεῖ μὲν ἀνάξια εἶναι παύλου τὰ ῥήματα, εἰ δ' ἀπουσίαν ἀδελφοῦ τοσαύτην προῄκατο σω-
τηρίαν· δοκεῖ δὲ καὶ τῆς ἀκολουθίας ἅπτεσθαι. τί οὖν βούλεσθε, πρότερον ἀποδείξω-
μεν, ὅτι τῆς ἀκολουθίας ἥπτηται; ἢ ὅτι οὐδὲν ἀνάξιον εἰρήκεν ἑαυτοῦ; ἐμοὶ δοκεῖ τὸ δεύτερον·
οὕτω γὰρ κἀκεῖνο ἡμῖν εὐκολώτερον ἔσται, καὶ σαφέστερον. πῶς οὖν ἥπτηται τῶν προτέ-
ρων ταῦτα; ἀναμνησθῶμεν αὐτῶν ἐκείνων, καὶ οὕτως εἰσόμεθα σαφῶς. τίνα οὖν ἦν τὰ πρό-
τερα; ἅπερ ἔλεγεν ἀρχόμενος, οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως φησὶ τῆς γενομέ-
νης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν· ἵνα δείξας πῶς ἀπηλ-
λάγη, καὶ τὰ ἐν μέσῳ παρενθεὶς, ἀναγκαίως διδάσκει πάλιν, ὅτι καὶ ἑτέρως ἐθλίβη, πῶς
καὶ τίνι τρόπῳ; τῷ μὴ εὑρεῖν Τίτον. δεινὸν μὲν γὰρ, καὶ ἰκανὸν καταβαλεῖν ψυχὴν, καὶ
τὸ πειρασμοὺς ὑπομένειν· ὅταν δὲ ὁ παραμυθούμενος μὴ ᾖ, καὶ δυναάμενος τὸ φορτίον συμ
διενεγκεῖν, μείζων γίνεται ὁ χειμών. τίτος δὲ αὐτός ἐστιν οὗ φῂ προϊὼν παρ' αὐτῶν ἀφῖχθαι
πρὸς αὐτόν. καὶ περὶ οὗ πολλὰ, καὶ μεγάλα διεξέρχεται ἐγκώμια, καὶ οὗ ἔφησεν ἀπεσταλ
κέναι· δεῖξαι τίνων βουλόμενος, ὅτι καὶ ταύτῃ δι' αὐτοὺς ἐθλίβη, ταῦτα εἰρηκεν. ὅτι μὲν
οὖν ἥπτηται τῶν προτέρων τὰ εἰρημένα, δῆλον ἐκ τούτων· ὅτι δὲ οὐ δὲ ἀνάξια παύλου, καὶ
τοῦτο δεῖξαι πειράσομαι. οὐ γὰρ λέγει ὅτι ἀνεπόδιστή σοι ἡ προσεύχη μελλόντων ἅπα που
σία τίτου, οὐδ' ὅτι παρεῖδε τοὺς πιστεύσαντας διὰ τοῦτο, ἀλλ' ὅτι οὐκ ἔσχηκεν ἄνεσιν· τουτέστιν
ἐθλίβη, ὡδυνήθη διὰ τὴν ἀπουσίαν τοῦ ἀδελφοῦ, δεινὸν ὅσον ἐστὶν ἀδελφοῦ ἀπουσία· μὴ δια
τοῦτο ἀπῆλθεν ἐκεῖθεν· τί δέ ἐστιν; ἐλθὼν δὲ εἰς τὴν Τρωάδα, εἰς τὸ εὐαγγέλιον· οὐχ ἁπλῶς
φῂ ἐπεδήμησα, ἀλλ' ὥστε κηρύξαι· ἀλλ' ὅμως μὴ διὰ τοῦτο ἐλθών, καὶ θύρων ἔργον μέγιστον·
θύρας γάρμοι ἀνεῳγμένης ἐν κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν φησί· οὐ μὴν διὰ τοῦτο ἀνεπόδισε
τὸ ἔργον· πῶς οὖν φησὶν ὅτι ἀποταξάμενος ἐξῆλθον; τουτέστιν οὐ διέτριψα πλείονα χρόνον,
ξενοχωρούμενος, ὀδυνώμενος· ἴσως δὲ καὶ ἀνεπῴξετο τὸ ἔργον ἐκείνου ἅπαντες· τοῦτο δὲ
οὐ μικρὰ καὶ τούτοις παραμυθία· εἰ γὰρ ἐκεῖ θύρας ἀνεῳγμένης, καὶ εἰς τοῦτο ἐλθὼν
ἐπειδὴ τὸν ἀδελφὸν, οὐχ εὗρεν ἀπεπήδησε ταχέως, πολλῷ μᾶλλον ὑμᾶς φησι, συγγι-
νώσκειν χρὴ ταῖς τῶν πραγμάτων ἀνάγκαις ἀγούσαις, καὶ περιαγούσαις ἡμᾶς παν-
ταχοῦ, καὶ οὐκ ἐώσαις ὡς βουλόμεθα, οὔτε ἀποδημεῖν, οὔτε ἐν διατρίβειν, οἷς αὖ ἐ-
θέλωμεν ἐπὶ πλέον· διὸ καὶ ἐπάγει πάλιν, ὥσπερ ἄνω τῷ πνεύματί μου, οὕτω καὶ ἐνταῦ-
» θα τῷ θεῷ τὰς ἀποδημίας ἀναθεὶς, καὶ λέγων· Τῷ δὲ θεῷ χάρις, τῷ πάντοτε
» ἡμᾶς θριαμβεύοντι ἐν τῷ Χῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν
» ἐν παντὶ τόπῳ. Ἵνα γὰρ μὴ δόξῃ ὡς θρηνῶν, ταῦτα ἀποδύρεσθαι, χάριν ἀναπέμ-
πει τῷ θεῷ· ὁ δὲ λέγει, οὐχ ἑτέρα· πανταχοῦ θλῖψις, πανταχοῦ ξενοχωρία, ἦλθον εἰς τὴν
Ἀσίαν, ἐβαρήθην ὑπὲρ δύναμιν, ἦλθον εἰς τὴν Τρωάδα, οὐχ εὗρον τὸν ἀδελφόν· οὐκ ἦλθον
πρὸς ὑμᾶς· οὐ μικράν μοι, μὴ οὐχὶ ἀθυμίαν ἐνεποίησεν, ἀλλὰ καὶ σφόδρα μεγάλην· καὶ

τῷ πολλοὺς

τῷ πολλοὺς ἡμαρτηκέναι παρ' ὑμῖν, καὶ τῷ διατεῖσθαι ὑμᾶς μὴ ὁρᾶν. φειδόμενος γὰρ ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον φησίν. ἵν' οὖν μὴ δόξῃ ὀλοφύρεσθαι ταῦτα λέγων, ἐπάγει. ὅτι οὐ μόνον οὐκαλγοῦμεν ἐν ταῖς θλίψεσι ταύταις, ἀλλὰ καὶ χαίρομεν, καὶ τὸ μεῖζον, οὐ τῶν μελλόντων ἕνεκεν μόνον ἐπάθλων, ἀλλὰ καὶ αὐτῶν τῶν παρόντων. καὶ γὰρ ἐν ταύτῃ ἐσμὲν λαμπροὶ ἐκτούτων, καὶ περιφανεῖς. τοσοῦτον τοίνυν ἀπέχομεν τοῦ θρηνεῖν, ὅτι καὶ θειαμβον τὸ πρᾶγμα καλοῦμεν, καὶ ἐγκαλλωπιζόμεθα τοῖς γινομένοις. διὸ καὶ ἔλεγε. τῷ δὲ θεῷ χάρις τῷ πάντοτε ἡμᾶς θριαμβεύοντι, τουτέστι τῷ πᾶσι ποιοῦσι περιφανεῖς. ὃ γὰρ δοκεῖ εἶναι ἀπήμαντον τὸ πάντοθεν ἐλαύνεσθαι, τοῦτο τιμῆς ἡμῖν εἶναι φαίνεται μεγίστης. διὸ οὐκέτι τῷ καταδήλους ποιοῦσι, ἀλλὰ τῷ θριαμβεύοντι. δείκνυς, ὅτι οἱ διωγμοὶ οὐ τοι τρέψασαι συνεχῶς κατὰ τοῦ διαβόλου πανταχοῦ τῆς γῆς ἀνίστασιν. εἶτα μετὰ τοῦ θριαμβεύοντος θεὶς, καὶ τὴν ὑπόθεσιν, ἀνίστησι καὶ ντεῦθεν τὸν ἀκροατήν. οὐ γὰρ μόνον ὑπὸ τοῦ θεοῦ θριαμβεύομεθα, ἀλλὰ καὶ ἐν χῷ, τουτέστι ἀβὲ χν, καὶ τὸ κήρυγμα. ὅταν γὰρ θριαμβεῦσαι δέῃ, ἀνάγκη πᾶσα, καὶ ἡμᾶς τοὺς φέροντας τὸ τρόπαιον, καταδήλους εἶναι, ὅταν αὐτὸν βαστάζωμεν. διατοῦτο περίβλεπτοι ἐσμὲν, καὶ περιφανεῖς. καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦσι δι' ἡμῶν ἐν παντὶ τόπῳ. εἶτε πάντοτε θριαμβεύοντι, ἐνταῦθα ἐν παντὶ τόπῳ φησί. δείκνυς, ὅτι καὶ τόπος, καὶ καιρὸς πᾶς, τῶν ἄθλων ἐμπέπληται τῶν ἀποστολικῶν. καὶ ἑτέρᾳ πάλιν κέχρηται μεταφορᾷ τῇ τῆς θυωδίας. καθάπερ γὰρ μύρον βαστάζοντες, οὕτω πᾶσιν ἐσμὲν καταδήλοι φησί, μύρον πολύζωμον τὴν γνῶσιν λέγων. καὶ οὐκέτι τὴν γνῶσιν, ἀλλ' ὀσμὴν γνώσεως. τοιοῦτον γὰρ ἡ παροῦσα γνῶσις, οὐ σφόδρα σαφὴς, οὐδὲ ἐκκεκαλυμμένη. διὸ καὶ ἐν τῇ προτέρᾳ ἔλεγεν ἐπίσοληι. βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, καὶ ἐνταῦθα ὀσμὴν τοιοῦτον καλεῖ. ὁ δὲ τὴν ὀσμὴν εἰδὼς, ὅτι μέν ἐστι μύρον τοῦ κειμένου, οἶδε, ποταπὸν δὲ τὴν οὐσίαν, οὐκέτι, ἐὰν μὴ πρότερον αὐτὸ εἰδὼς τύχῃ. οὕτω καὶ ἡμεῖς, ὅτι μέν ἐστι θεὸς, ἴσμεν τί δὲ τὴν οὐσίαν, οὐκέτι. ὥσπερ οὖν θυμιατήριον ἐσμὲν βασιλικὸν, ὅπου ἂν ἀπέλθωμεν τοῦ οὐρανίου πνέοντες μύρου, καὶ τῆς πνευματικῆς θυωδίας. ταῦτα δὲ ἔλεγεν ὁμοῦ, καὶ τὸ κηρύγματος δείκνυς τὴν ἰσχύν. ὅτι δι' ὧν ἐπιβουλεύονται, διὰ τούτων λάμπουσι μᾶλλον τῶν διωκόντων αὐτοὺς, καὶ πᾶσαν τὴν οἰκουμένην ποιοῦντων εἰδέναι, καὶ τὰ τρόπαια αὐτῶν, καὶ τὴν θυωδίαν, καὶ παρακαλῶν ὑπὲρ τῶν θλίψεων αὐτοὺς, καὶ τῶν πειρασμῶν, ὥστε πάντα φέρειν γενναίως. εἶτε καὶ περὶ τῆς ἀντιδόσεως ἄφατον καρποῦται τὸ κλέος. Ὅπι χῦ θυωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σῳζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις. Ἀνταῖς γὰρ σώζηται ζῆς φησιν, αὐτὲ ἀπολλύηται, τὸ θυαγγέλιον τὴν οἰκείαν ἀρετὴν ἔχον μένει. καὶ καθάπερ τὸ φῶς κἂν σκοτίζῃ τοὺς ἀσθενεῖς, φῶς ὄντι, καίτοι σκοτίζον. καὶ τὸ μέλι κἂν πικρὸν ᾖ τοῖς νοσοῦσι, γλυκὺ τὴν φύσιν ἐστίν. οὕτω καὶ τὸ θυαγγέλιον θυῶδες ἐστί, κἂν ἀπολλύωνταί τινες ἀπιστοῦντες. οὐ γὰρ αὐτοῦ ἔργον ἡ ἀπώλεια, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. κὴ ταύτῃ δὲ μάλιστα ἡ θυωδία αὐτοῦ φαίνεται ἢ οἱ διεφθαρμένοι, κὴ πονηροὶ ἀπόλλυνται. ὥστε οὐκ ἀπὸ τῆς τῶν ἀγαθῶν σῳζομένων μόνον, ἀλλὰ κὴ ἀπὸ τῆς τ πονηρῶν ἀπωλείας

δείκνυται

δείκνυται αὐτῦ ἡ ἀρετή. Ἐπεὶ καὶ ὁ ἥλιος ἐπειδὴ σφόδρα φαιδρός ἐστι, διατῦτο μάλιστα πλήθει τῶν ἀσθενούντων τὰς ὄψεις, καὶ ὁ σὴρ εἰς σῴωσιν πολλῶν, καὶ ἀνάστασιν ἐστίν, ἀλλ' ὅμως μένει σὴρ ὤν, καὶ μυρίων πατούντων. καὶ ἡ παρουσία αὐτῦ μειζόνως ἐκόλαζε τοὺς μὴ πειθομένους, ἀλλ' ὅμως μένει σωτήριος οὖσα. διατῦτο καὶ αὐτὸς φησι. Ὅτε τῷ θεῷ δυσωδία ἐσμέν, τουτέστι καὶν ἀπολλύωνταί τινες, ἡμεῖς μέν ὁμεν τῦτο ὄντες ὅπερ ἐσμέν. καὶ οὐχ ἁπλῶς εἶπεν δυσωδία ἀλλὰ τῷ θεῷ. ὅταν δὲ τῷ θεῷ δυσωδία ὦμεν, κἀκεῖνος ταῦτα ψηφίζηται, τίς ἀντερεῖ λοιπόν; καὶ τὸ χῦ δὲ δυσωδία, διπλῶμοι τὴν ἐξήγησιν ἔχειν δοκεῖ. ἢ γὰρ τῦτο φησὶν ὅτι ἑαυτοὺς θυσίαν προσέφερον ἀποθνήσκοντες, ἢ ὅτι τῆς τῦ χῦ σφαγῆς δυσωδία ἐσμέν. ὡς ἂν εἴποιτις, τῦδε τῦ ἱερεῖα δυσωδία ἐστὶ τόδε τὸ θυμίαμα. ἢ τῦτο οὕτω ἐμφαίνει τῆς δυσωδίας τὸ ὄνομα. ἢ ὅπερ ἔφθασα εἰπών, ὅτι καθημέραν θύονται ὑπὲρ τὸν χῦ. εἶδες, πῦ τοὺς πειρασμοὺς ἀνήγαγε; θειάμβον, καὶ δυσωδίαν καλῶν; καὶ θυσίαν τῷ θεῷ προσαγομένῳ; εἶτα ἐπειδὴ εἶπεν δυσωδία ἐσμέν, καὶ ἐν τοῖς ἀπολλυμένοις. ἵνα μὴ νομίσῃς, ὅτι κἀκεῖνοι δυπρόσδεκτοι εἰσὶν, ἐπήγαγε. Τοῖς μὲν, ὀσμὴ θανάτου εἰς θάνατον. τοῖς δὲ, ὀσμὴ ζωῆς εἰς ζωήν. Τὴν γὰρ δυσωδίαν ταύτην οἱ μὲν, οὕτως προσίενται, ὥστε σωθῆναι, οἱ δὲ οὕτως ὥστε ἀπολέσθαι. ὥστε κἂν ἀπολλύηταί τις, παρ' αὐτῦ ἡ αἰτία. Ἐπεὶ καὶ τὰς ὗς, τὸ μῦρον λέγεται πνίγειν, καὶ τὸ φῶς ὅπερ ἔφθασα εἰπὼν, τοὺς ἀσθενεῖς σκοτίζειν, καὶ τοιαύτη ἀγαθῶν ἡ φύσις. οὐ τὰ οἰκεῖα διορθῦται μόνον, ἀλλὰ καὶ τὰ ἐναντία ἀπόλλυσι, καὶ ταύτῃ μάλιστα διαδείκνυται αὐτῶν ἡδύναμις. καὶ γὰρ καὶ τὸ πῦρ οὐχ ὅταν φωτίζῃ μόνον, οὐδ' ὅταν χρυσίον καθαίρῃ, ἀλλὰ καὶ ὅταν ἀκάνθας δαπανᾷ, μάλιστα τὴν οἰκείαν ἰσχὺν ἐπιδείκνυται, καὶ ταύτῃ φαίνεται πῦρ. καὶ ὁ χὸς δὲ ταύτῃ τὴν μεγαλοσωΐαν αὐτῦ ἐνδείκνυται, ὅταν ἀναλώσῃ τὸν ἀντίχριστον τῷ πνεύματι τῦ στόματος αὐτῦ, καὶ καταργήσῃ τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτῦ. Καὶ πρὸς ταῦτα, τίς ἱκανός; Ἐπειδὴ μεγάλα ἐφθέγξατο ὁ Παῦλος θυσίαν ἐσμὲν τῦ χῦ καὶ δυσωδία, καὶ θειαμβεύομεθα παντα χοῦ, πάλιν μετριάζει τῷ θεῷ πάντα ἀναθείς. διὸ καὶ φησὶ, καὶ πρὸς ταῦτα τίς ἱκανός; τὸ γὰρ πᾶν, τῦ χῦ φησὶν, οὐδὲν ἡμέτερον, ὁρᾷς ἀπεναντία τοῖς ψευδαποστόλοις φθεγγόμενον; οἱ μὲν, γὰρ καυχῶνται ὡς παρ' ἑαυτῶν εἰς φέροντές τι εἰς τὸ κήρυγμα. οὗτος δὲ διατῦτο φησὶ καυχᾶσθαι, ἐπειδὴ οὐδὲν αὐτῦ φησιν εἶναι. Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ τὸ μαρτύριον τῆς συνειδήσεως, ὅτι οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ. Καὶ οὐ τὴν κτῆσιν ἐνόμιζον ἐκεῖνοι εἶναι καύχημα, τῆς σοφίας λέγω τῆς ἔξωθεν, οὗτος τὴν ἀναίρεσιν, διὸ καὶ ἀνταῦθα φησὶ, καὶ πρὸς ταῦτα τίς ἱκανός; εἰ δὲ μὴ ἱκανοί, χάρις τὸ γινόμενον. Οὐ γὰρ ἐσμὲν ὥσπερ οἱ λοιποὶ καπηλεύοντες τὸν λόγον τῦ θεοῦ. Εἰ γὰρ καὶ μεγάλα φθεγγόμεθα, ἀλλ' οὐδὲν ἡμέτερον ἔφαμεν εἶναι κατόρθωμα, ἀλλὰ τὰ πάντα, τῦ χῦ. οὐδὲ γὰρ μιμησόμεθα τοὺς ψευδαποστόλους, τοὺς τὰ πολλὰ αὐτῶν εἶναι λέγοντας. τοῦτο γάρ ὅτι καπηλεῦσαι, ὅταν τις νοθεύῃ τὸν οἶνον, ὅταν τις χρημάτων πωλῇ, ὅπερ δωρεὰν ἔδει δοθῆναι. ἐνταῦθα γὰρ καὶ εἰς χρήματα αὐτοὺς σιωπῶσιν δοκεῖ, καὶ ὅπερ εἶπον αὖθις πάλιν, οἷον ὅτι τὰ αὐτῶν ἀναμιγνύουσι τοῖς θείοις, ὅπερ μὴ ποιήσας ἐγκαλῶν ἔλεγεν. οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι.

εἰ γὰρ καὶ

εἰ γὰρ καὶ περὶ οἴνου τοῦτο εἰρῆ), οὐκ ἄντις ἁμάρτοι, μὴ εἰς διδασκαλίαν αὐτὸ ἐκλαμβάνων. ἀλλ' οὐχ ἡμεῖς φησιν οὕτως, ἀλλ' οἷα ἐπιστεύθημεν, τοιαῦτα παρέχομεν, νᾶκρατον κηρύττοντες τὸν λόγον, διὸ ἐπήγαγεν. Ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ θεοῦ, κατενώπιον τοῦ θεοῦ ἐν χῷ λαλοῦμεν. Οὐκ ἀπατῶντες ὑμᾶς φησιν οὕτω κηρύττομεν, οἷον ὡς χαριζόμενοι ὑμῖν, ἢ παρ' ἑαυτῶν τι εἰς φέροντες, καὶ ἀναμιγνύτες ἀλλ' ὡς ἐκ θεοῦ. Τουτέστιν οὐ λέγομεν ὅτι εἰκὸς ἦν τι χαρίζεσθαι, ἀλλ' ὅτι πάντα ὁ θς ἔδωκε. τοῦτο γάρ ἐστι τὸ ἐκ θεοῦ, τὸ μηδὲν καυχᾶσθαι ὡς ἴδιον ἔχοντας, ἀλλὰ πάντα εἰς αὐτὸν ἀναφέρειν. ἐν χῷ λαλοῦμεν. οὐδὲν τῇ ἡμετέρᾳ σοφίᾳ, ἀλλὰ τῇ παρ' ἐκείνου δωρεᾷ συνηρμένῃ. οἱ δὲ καυχώμενοι, οὐχ οὕτως, ἀλλ' ὡς παρ' ἑαυτῶν τι εἰς φέροντες, διὸ καὶ ἀλλαχοῦ αὐτοὺς κωμῳδεῖ λέγων. τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; αὕτη μεγίστη ἀρετὴ τὸ πάντα τῷ θεῷ ἀναπέμπειν. τὸ μηδὲν οἰκεῖον εἶναι νομίζειν, τὸ μηδὲν πρὸς ἀνῶν δόξαν ποιεῖν, ἀλλὰ πρὸς τὸ τῷ θεῷ δοκοῦν. οὗτος γάρ ἐστιν ὁ τὰς δυνάμεις ἀναπτερῶν. νῦν δὲ ἡ τάξις ἀνατέτραπται, καὶ τὸν μὲν ὧν τοῦ βήματος καθιοῦμεν, καὶ τὰς δυνάμεις ἀναπτίσοντα, οὐ σφόδρα δεδοίκαμεν. τοὺς δὲ μεθ' ἡμῶν ἑστῶτας, καὶ κρινομένους φείδομεν. Η' δηόν.

Πόθεν οὖν ἡ νόσος αὕτη; πόθεν εἰς τὰς ἡμετέρας κατέσκηψε ψυχάς; ἀπὸ τοῦ μὴ διωκεῖν τὰ ἐκεῖ λογίζεσθαι, ἀλλὰ τοῖς παροῦσι προσηλοῦσθαι. ἐντεῦθεν, μὴ ἐν ταῖς πονηραῖς πράξεσιν ὑπόλωβοι πίπτωμεν. κἂν ἀγαθόν τι πράξωμεν, πρὸς ἐπίδειξιν ποιοῦμεν, ὥστε κἀντεῦθεν ἡμῖν γίνεσθαι τὴν ζημίαν. εἰδὲ μοιχοῖς ἀπολάστοις ὀφθαλμοῖς τινὰ πολλάκις, μὴ ἔλαθε, καὶ τ ὀφθεῖσαν, καὶ τοὺς συμβαίνοντας, ἀλλὰ τὸν ἀποίμητον οὐκέλαθεν ὀφθαλμόν. ἐκεῖνος γὰρ καὶ πρινὴ τὴν ἁμαρτίαν ἐργάσασθαι, εἰδε τ ψυχὴν τὴν ἀπόλαστον, καὶ τὴν μανίαν τὴν ἔνδον, καὶ τοὺς λογισμοὺς τοὺς σφεφομένους ἀνιχνεύοντας, μὴ κλύσωνι. οὐδὲ γὰρ δεῖται μαρτύρων, μὴ τεκμηρίων ὁ πάντα εἰδώς. μὴ τοίνυν πρὸς τοὺς συμβούλους ὅρα. κἂν γὰρ ἐπαινέσῃ ἄνθρ, οὐδὲν ὄφελος, ὅταν ὁ θς μὴ ἀποδέξηται. κἂν καταγνῷ ἄνθρ, οὐδὲν βλάβος ὅταν ὁ θς μὴ καταγνῷ. μὴ δὴ ταύτῃ παρόξυνε τὸν δικαστήν, τῶν μὲ συμβούλων πολλῷ ποιοῦμαι λόγον, αὐτῷ δὲ ἀγανακτοῦντος, οὐ δεδοικώς, μὴ τρέμων. καταφρονήσωμεν τοῦ παρ' ἀνῶν ἐπαίνου. μέχρι ποτὲ βρεφικὸν ἐσόμεθα; μέχρι ποτὲ τοῦ θῦ πρὸς τὸν οἰωνὸν ἡμᾶς αἴροντος, αὐτοὶ καμακύρειαν ἐπουδάκαμεν; οἱ τῷ ἰωσὴφ ἀδελφοὶ εἰ τὸν τοῦ θῦ φόβον πρὸ ὀφθαλμῶν εἶχον, ὡς ἔχειν δεῖ, οὐκᾶν ἔτω ἐρημάχο τ ἀδελφὸν λαβόντες ἀπέκτειναν. ὁ καὶν πάλιν εἰ τὴν ψῆφον ἐκείνου ἐδεδοίκει, ὡς δεδοικέναι ἔδει, οὐκᾶν εἶπε. δεῦρο καὶ ἐξέλθωμεν εἰς τὸ πεδίον. τί γαρ ὦ δεινέ, μὴ ταλαίπωρε χωρίζεις αὐτὸν τοῦ γεγεννηκότος, καὶ εἰς ἐρημίαν ἐξάγεις. μὴ γαρ ὁ θς οὐχ ὁρᾷ, καὶ ἐν τῷ πεδίῳ τὸ τόλμημα; ἀπὸ τ τῷ πρί σου συμβεβηκότων οὐκέπαιδεύθης, ὅτι πάντα οἶδε, μὴ πᾶσι πάρεστι τοῖς γινομένοις; μὴ τίνος ἕνεκεν οὐκεῖπε τοῦτο πρὸς αὐτὸν ὁ θς ἀρνούμενον. ἐμὲ κρύπτεις τὸν πανταχοῦ παρόντα, καὶ τὰ ἀπόῤῥητα ἐπιστάμενον; ὅτι οὔπω ταῦτα φιλοσοφεῖν ἐκεῖνος ἤδει καλῶς. ἀλλὰ τί φησι; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. οὐχ ὡς τοῦ αἵματος φωνὴν ἐχόντος, ἀλλ' ὅπερ ἡμεῖς λέγομεν ὅτι τὸ πρᾶγμα βοᾷ τῶν δήλων, καὶ σαφῶν. διὸ δὴ τὴν ψῆφον τοῦ θῦ πρὸ ὀφθαλμῶν ἔχειν δεῖ, καὶ πάντα σβέννυται τὰ δεινά. οὕτω καὶ ἐν δυχοῦς ὑφεῖναι δυνάμεθα, αὖ ἐννοήσωμεν τίνι διαλεγόμεθα, ἀναλογισώμεθα ὅτι θυσίαν προσάγομεν,

καὶ μάχαιραν

καὶ μάχαιραν μετὰ χεῖρας ἔχομεν, καὶ πῦρ, καὶ ξύλα. ἀναστατώσωμεν τὸ οὐρανοῦ τὰς πύλας τῷ λογισμῷ, καὶ μεταστῶμεν ἐκεῖ, καὶ λαβόντες τὴν μάχαιραν τὸ πυθμάτος, ἐμπήξωμεν εἰς τὸν τοῦ ἱερείου λαιμόν, καὶ κατατμήσωμεν αὐτῷ νηπίῳ, καὶ ἐκχέωμεν αὐτῷ δάκρυα. τοιοῦτον γὰρ τὸ αἷμα τοῦ ἱερείου τούτου. τοιαύτη ἡ θυσία σφάγιον ἐκεῖνο φονίαστε σφαγῇ. μηδὲν πίνων ἀφῇς τῶν ἀνθρωπίνων λογισμῶν κατέχεσθαι τὴν ψυχήν τότε. ἐννόησον ὅτι καὶ ὁ Ἀβραὰμ θυσίαν ἀνάγων, οὐ γυναῖκα, οὐ δοῦλον, οὐκ ἄλλον τινὰ ἀφῆκε παρεῖναι. μὴ πίνων, μὴ δὲ σὺ τῶν δουλικῶν, καὶ ἀνελευθέρων παθῶν ἀφῆς τινάσοι παρεῖναι, ἀλλ' ἀνάβηθι μόνος εἰς τὸ ὄρος ἔνθα ἐκεῖνος ἀνέβη, ἔνθα ἀναβλῶσαι θέμις οὐδένα ἕτερον. κἂν ἐπιχειρῶσι συναναβαίνειν τινὲς τῶν τοιούτων ἐννοιῶν, ἐπίταξον αὐτοῖς μετ' ἐξουσίας, καὶ εἰπὲ, κάθησθε αὐτοῦ. ἐγὼ δὲ καὶ τὸ παιδάριον προσκυνήσαντες ὑποφέρομεν, καὶ τὴν ὄνον, καὶ τοὺς παῖδας ἀφεὶς κάτω, καὶ εἶπε ἄλογον, καὶ ἀνόητον. εἶπε λογικὸν λαβών, ἀνάβηθι, ὡς περ ἐκεῖνος τὸν Ἰσαάκ. καὶ τὸ θυσιαστήριον οἰκοδόμησον, οὕτως ὡς ἐκεῖνος, ὡς μηδὲν ἔχων ἀνθρώπινον, ἀλλ' ἔξω τῆς φύσεως γενόμενος. ἐπεὶ καὶ ἐκεῖνος, εἰ μὴ ἔξω τῆς φύσεως ἦν, οὐκ ἂν τὸν παῖδα κατέσφαξε. καὶ μηδὲν ἀνοχλείτωσί τότε, ἀλλ' αὐτῶν γίνου τῶν οὐρανῶν ὑψηλότερος. γένεσθον πικρὸν, κατάθυσον ἐξομολόγησιν. λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος φησὶν, ἵνα δικαιωθῇς, κατάθυσον συντριβὴν καρδίας. ταῦτα τὰ ἱερεῖα, οὐκ εἰς τέφραν τελευτᾷ, οὐδὲ εἰς καπνὸν διαλύεται, οὐδὲ ξύλων δεῖται, καὶ πυρὸς, ἀλλὰ κατανενυγμένης διανοίας μόνης. δεῖ ξύλα, δεῖ πῦρ καῖον αὐτὰ, καὶ οὐ κατακαῖον. ὁ γὰρ μετὰ θορύβου τοῦ δύχομένος, καίεται καὶ οὐ κατακαίεται. ἀλλ' ὡς περ χρυσίον πυρὶ βασανιζόμενον λαμπρότερος γίνεται. μετὰ δὲ τούτων κἀκεῖνο φυλάττου, τὸ μηδὲν εἰπεῖν δύχόμενος τῶν παροξυνόντων σου τὸν θεατήν. μὴ δὲ κατ' ἐχθρῶν προσέλθῃς. εἰ γὰρ τὸ ἔχειν ἐχθροὺς ὄνειδος, τὸ κατεύχεσθαι αὐτῶν, ἐννόησον ἥλιον. δέον γάρ σε ἀπολογήσασθαι διὰ ἐχθρούς ἔχεις, σὺ δὲ αὐτῶν, καὶ κατηγορεῖς, καὶ ποίασι τεύξῃ συγγνώμης, καὶ κατηγορῶν, καὶ ἐν καιρῷ τοιούτῳ, ὅτε ἐλέους σοι δεῖ πολλοῦ; μὴ γὰρ ὑπὲρ οἰκείων προσῆλθες ἁμαρτημάτων δεόμενος, μὴ τοίνυν μνημονεύσῃς τῶν ἀλλοτρίων, ἵνα μὴ τῶν ἰδίων ἀναμνήσῃς. αὖ γὰρ εἰ τοῦτο πάταξον τὸν ἐχθρὸν, ἐνέφραξάς σου τὸ στόμα, οὐκέτι παῤῥησίαν ἔδωκας τῇ γλώττῃ. πρῶτον μὲν, ὅτι παρώργισας τὸν δικαστὴν ἑκὼν προοιμίων δεόμενος, δεύτερον ὅτι ἐναντία αὐτεῖς τῷ κήματι τῆς δυχῆς. εἰ γὰρ ὑπὲρ ἀφέσεως ἁμαρτημάτων προσεύχῃ, πῶς ὑπὲρ κολάσεως διαλέγῃ, τοὐναντίον μὲν οὖν ἔδει ποιεῖν, καὶ δεῖσθαι ὑπὲρ αὐτῶν, ἵνα σῴζῃν, καὶ ὑπὲρ ἑαυτῶν μετὰ παῤῥησίας παρακαλέσωμεν. νυνὶ δὲ προκατέλαβες τὸ δικαστοῦ τὴν ψῆφον λῦσαι τῆς σῆς ἀξιῶν τοὺς ἁμαρτάνοντας κολάζειν, ὃ καὶ συγγνώμης ἀποστερεῖ πάσης. αὖ δὲ ὑπὲρ αὐτῶν δύξῃ, καὶ μηδὲν ὑπὲρ τῶν σῶν εἴπῃς, τὸ πᾶν ἥνυσας. ἐννόησον πόσαι θυσίαι, εἰσὶν ἐν τῷ νόμῳ. θυσία αἰνέσεως, θυσία ἐξομολογήσεως, θυσία σωτηρίου, θυσία καθαρμῶν, καὶ ἕτεραι μυρίαι, καὶ οὐδὲ μία κατ' ἐχθρῶν, ἀλλ' ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, ἢ καὶ κατορθωμάτων. μὴ γὰρ ἄλλῳ προσέρχῃ θεῷ; ἐκείνῳ προσέρχῃ τῷ εἰπόντι δύχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν. πῶς οὖν αὐτῶν καταβοᾷς, πῶς παρακαλεῖς τὸν θεὸν, τὸν οἰκεῖον λῦσαι νόμον; οὐκ ὄφελος ἔσται σου τὸ κήμα, οὐδὲ εἰσακούσεται, ἵνα ἄλλος ἀπόληται, ἀλλ' ἵνα αὐτὸς σωθῇ. τί τοίνυν κήμα μὲν ἑαυτοῦ περίκεισαι, ῥήματα δὲ ἔχεις κατηγόρου; καὶ ὅταν μὲν ὑπὲρ ἑαυτῶν δύχώμεθα,

τῶν δυ χώμεθα, καὶ κνώμεθα, καὶ χασμώμεθα, καὶ εἰς μυρίους ἐμπίπτομεν λογισμούς, ὅταν δὲ κατ' ἐχθρῶν, νήφοντες δῆθεν ποιοῦμεν. ἐπειδὴ γὰρ οἶδεν ὁ διάβολος, ὅτι καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦμεν, οὐ περιέλκει, οὐδὲ περιασπᾷ τότε, ἵνα μειζόνως ἡμῖν λυμήνηται, ἀλλὰ ἠδίκημαι φησὶ, καὶ θλίβομαι. οὐκοῦν κατὰ τοῦ διαβόλου δυ ξαι, τοῦ μάλιστα πάντων ἀδικοῦντος ἡμᾶς. δῆθεν καὶ ἐπετάγης λέγειν, ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ἐκεῖνος ἐστὶν ὁ ἀνάρτάλλακτος ἐχθρός. ἀνθρωπος δὲ ὅσα ἂν ποιῇ, φίλος ἐστὶ, καὶ ἀδελφός. ἐκείνῳ τοίνυν πάντες ὀργιζώμεθα, κατ' αὐτοῦ παρακαλῶμεν τὸν θεὸν λέγοντες συντρίψον τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν. οὗτος γὰρ πίπτει, καὶ τοὺς ἐχθρούς. ἂν δὲ κατ' ἐχθρῶν δυ ξῃ, τὴν δυ χὴν ἵνα ἐκεῖνος βούλεται δυ χῃ, ὥσπερ οὖν ἂν ὑπὲρ ἐχθρῶν, κατὰ τούτου. τί τοίνυν τὸν ὄντως ἐχθρὸν ἀφεὶς, τὰ μέλη διάκνεις τὰ σὰ, θηρίων χαλεπώτερος ταύτῃ γινόμενος; ἀλλ' ὕβρεισε φησὶ, καὶ χρήματα ἀπεστέρησε. καὶ τίνα δεῖ πενθεῖν, τὸν πάσχοντα κακῶς, ἢ τὸν ποιήσαντα κακῶς; ὅτι χρήματα κερδάνασθαι τῆς βλάβης αὐτὸν ἐξέβαλε τοῦ θεοῦ, καὶ μείζονα ἀπώλεσεν, ἢ ἔλαβεν. ὥστε ἐκεῖνος ἐστὶν ὁ ἠδικημένος. οὐκοῦν οὐχὶ κατεύχεσθαι δεῖ, ἵνα ὁ θεὸς ἵλεως αὐτῷ γένηται. ὅρα πόσα ἔπαθον οἱ παῖδες οἱ τρεῖς, οὐδὲν ποιήσαντες δεινόν, ἐξέπεσον πατρίδος, ἐβλασφημήθησαν, ἐξηχμαλωτίσθησαν, καὶ ἐγένοντο δοῦλοι, καὶ εἰς ἀλλοτρίαν, καὶ βάρβαρον ἀπενεχθέντες χώραν. καὶ σφάττεσθαι ἔμελλον ἀλλὰ τὸ ὀναρ εἰκῇ, καὶ μάτην. τί οὖν εἰσελθόντες μετὰ τοῦ δανιὴλ, τί ἤυξαντο; τί δὲ εἶπον, κατάρραξον τὸν ναβουχοδονόσορ, κατάσπασον αὐτοῦ τὸ διάδημα; κατάβαλε αὐτὸν ἀπὸ τοῦ θρόνου; οὐδὲν τοιοῦτον, ἀλλ' ἐξήτουν οἰκτιρμοὺς παρὰ τοῦ θεοῦ. καὶ ὅτε ἐν τῇ καμίνῳ ἦσαν, ὁμοίως, ἀλλ' οὐχ ὑμεῖς, ἀλλὰ πολλῷ ἐλάττονα ἐκείνων πάσχοντες, καὶ δικαίως πολλάκις, οὐ παύεσθε ἀρώμενοι μυρία. καὶ ὁ μὲν φησι, κατάβαλε τὸν ἐχθρὸν, ὡς κατεπέντησας τὸ ἅρμα τοῦ φαραώ, ὁ δὲ πλῆξον αὐτοῦ τὴν σάρκα. ἕτερος πάλιν, ἀπόδος εἰς τὰ τέκνα. ἢ οὐκ ἐπιγινώσκετε ταύτῃ τὰ ῥήματα; πόθεν οὖν ἡμῖν ὁ γέλως οὗτος; ὁρᾷς πῶς ἐστὶ καταγέλαστα, ὅταν χωλεῖς πάθους λέγηται; καὶ πᾶσα δὲ ἁμαρτία, τότε δείκνυται, πῶς ὀδυνηρά, ὅταν αὐτὴν γυμνώσῃς τῆς διαθέσεως τοῦ τολμῶντος. αὐτὸν ὀργισθέντα ὑπομνήσῃς τῶν ῥημάτων ὧν εἶπεν ἐν τῷ θυμῷ, κατασβέσεται, καὶ καταγελάσεται ἑαυτοῦ, καὶ βουλήσεται μυρία πεπονθέναι, ἢ ἐκεῖνα ἀκοῦσαι τὰ ῥήματα. κἂν τὸν ἀκόλαστον ἀγάγῃς μετὰ τὴν μέθην πρὸς τὴν πορνευομένην γυναῖκα, καὶ οὗτος ταύτην ἀποσφραφίσεται, ὡς μυσαράν. οὕτω καὶ ὑμεῖς οἱ μὴ ὄντες ἐν τῷ πάθει καταγελᾶτε νῦν. καταγέλαστα γὰρ καὶ ματαιόλογα τὰ ῥήματα ταῦτα μεθυόντων, καὶ γυναικώδους μικροψυχίας. καὶ ὁ ἰωσὴφ δὲ πραθεὶς, καὶ δοῦλος γενόμενος, καὶ δεσμωτήριον οἰκήσας, οὐδ' οὕτως ἐξέβαλε ῥῆμα πικρὸν κατὰ τῶν λελυπηκότων. ἀλλὰ τί φησί; κλοστὴν ἐκλάπην ἐκ γῆς ἑβραίων, καὶ οὐδὲν προσπέπονθα τοιοῦτον. αὐχεῖται γὰρ ὑπὲρ τῶν ἀδελφικῶν κακῶν μᾶλλον ἐκείνων τῶν ποιησάντων αὐτά. οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρὴ, μᾶλλον τῶν ἐπηρεαζόντων αὐτῶν ἀλγεῖν ὑπὲρ αὐτῶν. ἡ βλάβη γὰρ εἰς ἐκείνους διαβαίνει, ὥσπερ οὖν οἱ λακτίζοντες ἵππους, καὶ μέγα φρονοῦντες ἐλέου ἄξιοι, καὶ θρηνου τῆς μανίας ἕνεκα ταύτης εἰσίν. οὕτως οἱ ἀδικοῦντες τοὺς οὐδὲν τοιοῦτας αὐτοῖς κακὸν, ἅτε τὰς ἑαυτῶν πλήττοντες ψυχὰς, πολλῶν ὀδυρμῶν ἄξιοι, καὶ θρηνων οὐκ ἀρῶν. οὐδὲν γὰρ μαρώτερον ψυχῆς ἀρωμένης, οὐδὲ

γλώττης

γλώττης ἀκαθαρτότερον τοιαῦτα θυούσης. ἀνθρωπος εἶ, μὴ ἀστίδιον ἐν μέσῃ, ἄνθρωπος εἶ, μὴ γένη θηρίον. διατοῦτό σοι τόμος γέγονεν, οὐχ ἵνα δάκνῃς, ἀλλ' ἵνα δοξασθεὶς τὰ ἑτέρων τραύματα. ἀναμνήσθητι πόσοι παρήνεσα φησὶν ὁ θεός. συγχωρεῖν, καὶ ἀφιέναι. σὺ δὲ καὶ ἐμὲ παρακαλεῖς κοινωνὸν γενέσθαι τῆς ἀναστροφῆς τῶν ἐμῶν προσταγμάτων, καὶ ἐθέλεις εἶναι ἀδελφόν, καὶ φοινίσσεις τὴν γλῶτταν, καθάπερ οἱ μαινόμενοι ἀπὸ τῶν οἰκείων μελῶν τοὺς ὀδόντας. πῶς οἴει τὸν διάβολον ἥδεσθαι, καὶ γελᾶν, ὅταν τοιαύτης διχῆς ἀκούσῃ; πῶς τὸν θεὸν παροξύνεσθαι, καὶ ἀποστρέφεσθαι, καὶ μισεῖν, ὅταν τοιαῦτα παρακαλῇς; οὐ πίγενοιτ' ἂν χαλεπώτερον; εἰ γὰρ μυσηρόν, οὐ χρὴ προσιέναι ἐχθροὺς ἔχοντα, τὸν οὐκ ἔχοντα μόνον, ἀλλὰ καὶ καπευχόμενον, πῶς οὐχὶ καὶ τῶν περιβόλων αὐτῶν ἀπείργεσθαι δεῖ; ταῦτ' οὖν ἐννοοῦντες, καὶ τῆς θυσίας τὴν ὑπόθεσιν εἰδότες, ὅτι ὑπὲρ ἐχθρῶν ἐτύθη, μήτε ἐχθρὸν ἔχωμεν, κἂν ἔχωμεν, ὑπερβαίνωμεν, ἵνα καὶ ἡμεῖς τῶν ἡμαρτημένων ἡμῖν λαβόντες συγχώρησιν, μετὰ παῤῥησίας τῷ βήματι τοῦ χριστοῦ παραστῶμεν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Λόγος, ϛ'. Κεφ. γ'.

» Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν, εἰ μὴ χρήζομεν, ὥς τινες συστατικῶν ἐπιστολῶν πρὸς
» ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν. Ὅπερ ἔμελλεν αὐτῷ παρ' ἑτέρων ἀντιφέρεσθαι, ὅτι
ἑαυτὸν αἱρεῖς σαυτὸν, οὐδεὶς προλαβὼν αὐτὸς, τέθεικε. καίτοι τοσαύτῃ ἐπιδιορθώσει χρησάμενος ἐμπροσθεν, καὶ εἰπών. πρὸς ταῦτα τίς ἱκανός; καὶ ὅτι ἐξ εἰλικρινείας λαλοῦμεν. ἀλλ' ὅμως οὐκ ἀρκεῖται ἐκείνοις. τοιοῦτον γὰρ αὐτοῦ τὸ ἦθος, τὸ δοκεῖν περὶ ἑαυτοῦ μέγα λέγειν, πάρεστι καθέστηκε, καὶ μετὰ πολλῆς τῆς περιουσίας αὐτὸ φεύγει, καὶ ὑπερβολῆς. σὺ δέμοι κἀντεῦθεν σκόπει τὴν περιουσίαν αὐτοῦ τῆς σοφίας. πρᾶγμα γὰρ δοκῶ εἶναι σκυθρωπὸν τὰς θλίψεις λέγω, οὕτως ἐπῆρε, καὶ ἐδείξε λαμπρὸν ὄν, καὶ περιφανές, ὡς ταύτην αὐτῷ τὴν ἀντίθεσιν ἐκ τῶν εἰρημένων ἀνακύψαι. ποιεῖ δὲ αὐτὸ καὶ πρὸς τῷ τέλει. μετὰ γὰρ τὸ μυρίους ἀριθμῆσαι κινδύνους, ὕβρεις, στενοχωρίας, ἀνάγκας, καὶ ὅσα τοιαῦτα, ἐπάγει λέγων. οὐχ ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ πάθησιν αὐτὸ πάλιν ἐκεῖ σφοδρῶς, καὶ μετὰ πλείονος παραμυθίας. ἐν ταύτῃ μὲν γὰρ ἀγάπης ἐστὶ τὰ ῥήματα, εἰ μὴ χρήζομεν, ὥσπερ τινες συστατικῶν ἐπιστολῶν. ἐκεῖ δὲ γέμει πολλοῦ καὶ φρονήματος τὰ λεγόμενα ἀναγκαίως, καὶ χρησίμως, καὶ θυμοῦ. οὐ γὰρ πάλιν φησὶν ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ πάλιν δοκεῖτε, ὅτι ὑμῖν ἀπολογούμεθα, ὅτι κατενώπιον τοῦ θεοῦ ἐν χριστῷ λαλοῦμεν. φοβοῦμαι γὰρ μήπως ἐλθὼν, οὐχ οἵους θέλω, εὕρω ὑμᾶς, καὶ ἐγὼ εὑρεθῶ ὑμῖν οἷον, οὐ θέλετε. ἵνα γὰρ μὴ δόξῃ κολακείαν δόξαν λαμβάνειν, ὡς ἐφιέμενος τῆς παρ' αὐτῶν τιμῆς, ταῦτα φησίν. φοβοῦμαι μήπως ἐλθὼν, οὐχ οἵους θέλω εὕρω ὑμᾶς. κἀγὼ εὑρεθῶ ὑμῖν οἷον, οὐ θέλετε. ἀλλὰ ταῦτα μὲν μετὰ κατηγορίας πολλῆς. ἐν ἀρχῇ δὲ οὐχ οὕτως, ἀλλ' ἡμερώτερον. τί δέ ἐστιν ὅ φησιν; εἶπε πρὸ τῶν πειρασμῶν, καὶ τῶν κινδύνων, καὶ ὅτι πανταχοῦ πομπεύεται παρὰ τοῦ θεοῦ ἐν τῷ χριστῷ, καὶ ἡ οἰκουμένη πᾶσα τοὺς θριάμβους οἶδε τούτους. ἐπεὶ οὖν μεγάλα πρὸ αὐτοῦ ἐφθέγξατο, ἀνθυποφέρει ἑαυτῷ λέγων. ἀρχόμεθα πάλιν

μεθα πάλιν ἑαυτοὺς συνιστάνειν. ὃ δὲ λέγει, τοῦτό ἐστιν. ἴσως τις ἡμῖν αὐτερεῖ. τί τοῦτο ὦ παῦλε; ταῦτα περὶ σεαυτοῦ λέγεις, καὶ σαυτὸν ἐπαίρεις; ταύτην οὖν λύων τὴν ὑπόνοιαν, φησίν. ὅτι οὐ τοῦτο βουλόμεθα οἷον κομπάζειν, καὶ ἑαυτοὺς ἐπαίρειν, ἀλλὰ τοσοῦτον ἀπέχομεν τοῦ δεῖσθαι πρὸς ὑμᾶς συστατικῶν ἐπιστολῶν, ὡς ὑμᾶς αὐτὴ ἐπιστολὴ ἔχειν.

» Ἡ γὰρ ἐπιστολὴ ὑμῶν, ὑμεῖς ἐστε φησί. Τί ἐστιν ὑμεῖς ἐστέ; εἰ ἔδει πρὸς ἑτέρους ἡμᾶς συστατῆναι, ὑμᾶς ἂν παρηγάγομεν εἰς μέσον αὐτῆς ἐπιστολῆς, ὃ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἐλέγεν. ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἐπιστολῆς, ὑμεῖς ἐστε. ἀλλ' οὕτω μὲν ἐνταῦθα οὐ λέγει. μετ' εἰρωνείας δέ, ὥστε πλακωτέρον ποιῆσαι τὸν λόγον. εἰ μὴ χρήζομεν συστατικῶν ἐπιστολῶν, καὶ αἰνιττόμενος τοὺς ψευδαποστόλους, ἐπήγαγεν. ὥς τινες πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν ἐπιστολῶν πρὸς ἄλλους. εἶτα ἐπειδὴ βαρὺ ἦν τὸ εἰρημένον, παραμυθεῖται αὐτὸ ἐπάγων, καὶ λέγων. Ἡ ἐπιστολὴ ἡμῶν, ὑμεῖς ἐστὲ ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη ὑπὸ πάντων, φανερούμενοι, ὅτι ἐστὲ ἐπιστολὴ χριστοῦ. Ἐνταῦθα, οὐ μόνον αὐτοῖς ἀγάπην, ἀλλὰ καὶ κατορθώματα μαρτυρεῖ, εἴγε ἱκανοί εἰσι δεῖξαι πᾶσιν ἀνθρώποις ἀφ' ἧς οἰκίας ἀρετῆς, τὸ διδασκάλου τὸ ἀξίωμα. τοῦτο γάρ ἐστιν ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστέ. ὅπερ οὐ ποιοῦσε τὰ γράμματα συνιστῶντα ἡμᾶς, μὴ οὐδεσίμους ποιοῦντα, τοῦτο ὑμεῖς ποιεῖτε, καὶ ὁρώμενοι, καὶ ἀκουόμενοι. μαθητῶν γὰρ ἀρετὴ, τὸν διδάσκαλον εἰωθε κοσμεῖν, καὶ συνιστᾶν πάσης μᾶλλον ἐπιστολῆς, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν. τουτέστιν ἵνα πάντες ἴσασιν, οὕτως ὑμᾶς πανταχοῦ περιφέρομεν, καὶ συνοῦμεν ἔχομεν, ὡς οὐδὲ εἰ ἔλεγεν. ἡ σύστασις ἡμῶν πρὸς ἑτέρους, ὑμεῖς ἐστε. καὶ γὰρ ἔχομεν ὑμᾶς ἐν τῇ καρδίᾳ διηνεκῶς, καὶ πρὸς ἅπαντας, τὰ ὑμέτερα ἀνακηρύττομεν κατορθώματα. οὐ τοίνυν οὕτω καὶ πρὸς ἑτέρους ὑμᾶς εἶναι σύστασιν ἡμῶν, δεόμεθα ἐπιστολῶν παρ' ὑμῶν, ἀλλὰ καὶ τῷ σφόδρα φιλεῖν ὑμᾶς, οὐ δεόμεθα πρὸς ὑμᾶς συστάσεως. πρὸς γὰρ τοὺς ἀγνῶτάς τις δεῖται γραμμάτων. ὑμεῖς δὲ ἐν τῇ διανοίᾳ ἡμῶν ἐστέ. καὶ οὐκ εἴωθεν ἐστὲ ἁπλῶς, ἀλλὰ ἐγγεγραμμένη. τουτέστιν οὐδὲ ἀποθέσεσθαι δύναισθε. ὥσπερ γὰρ ἀπὸ γραμμάτων ἀναγινώσκοντες, οὕτως ἀπὸ τῆς καρδίας ἡμῶν γινώσκοντες ἴσασι πάντες τὴν ἀγάπην ἡμῶν, ἣν ἔχομεν πρὸς ὑμᾶς. εἰ τοίνυν τὰ γράμματα διαβάλλεται, ἵνα δηλώσῃ, ὅτι ὁ δεῖναμοι φίλος, καὶ ἀπολαυέτω προσασίας, ἀρκεῖ ἡ ὑμετέρα ἀγάπη τὸ πᾶν ἀνῦσαι. οὔτε γὰρ πρὸς ὑμᾶς ἴωμεν, οὐ δεόμεθα ἑτέρων τῶν συνιστώντων ἡμᾶς, τῆς φιλίας ὑμῶν προλαμβανούσης, οὔτε πρὸς ἑτέρους, οὐ χρήζομεν πάλιν γραμμάτων, τῆς αὐτῆς ἀγάπης, ἀντὶ τούτων ἀρκούσης ἡμῖν πάλιν. περιφέρομεν γὰρ τὴν ἐπιστολὴν ἐν ταῖς καρδίαις ἡμῶν. εἶτα ἵνα μείζον ἐπαίρων αὐτοὺς, καὶ ἐπιστολὴν χριστοῦ καλεῖ λέγων. Φανερούμενοι, ὅτι ἐστὲ ἐπιστολὴ χριστοῦ. Καὶ τοῦτο εἰπών, λαμβάνει λοιπὸν ὑπόθεσιν, καὶ ἀρχὴν ἐντεῦθεν ἐξετάσαι τὰ τοῦ νόμου. καὶ ἄλλως δὲ αὐτὸ ἐναντίον ἐστὶν εἶναι ἐπιστολὴν. αὐτερῶ μὲν γὰρ ὡς συνιστῶντας, διὸ ἐπιστολὴν ἐκάλεσεν. ἐνταῦθα δὲ ἐπιστολὴν χριστοῦ, ὡς ἐχοντας τὸν νόμον ἐγγεγραμμένον τοῦ θεοῦ. ἃ γὰρ ἐβούλετο ὁ θεὸς δηλῶσαι πᾶσι, καὶ ὑμῖν, ταῦτα γράφεσθαι ἐν ταῖς καρδίαις ἡμῶν. ἡμεῖς δὲ παρεσκευάσαμεν ὑμᾶς, ὥστε δέχεσθαι τὰ γράμματα. καθάπερ μωϋσῆς τοὺς λίθους, καὶ τὰς πλάκας ἐπόλαψεν, οὕτως

» ἡμεῖς τὰς ὑμετέρας ψυχάς. διὸ φησὶ, διακονηθεῖσα ὑφ' ἡμῶν. Ἀλλ' ἐν τούτῳ τὸ ἴσον

εἶχον. καὶ

εἶχον. καὶ γὰρ ἐκεῖναι ὑπὸ θεοῦ ἐγράφησαν, καὶ αὗται ὑπὸ τοῦ πνεύματος. ποῦ τοίνυν
» ἡ διαφορά; Ἐγγεγραμμένη, οὐ μέλανι, ἀλλὰ πνεύματι θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ
» λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις. Ὅσον δὲ τὸ μέσον πνεύματος, καὶ μέ-
λανος, καὶ λιθίνης πλακὸς, καὶ σαρκίνης, τοσοῦτον τὸ διάφορον τούτων κἀκείνων, οὐκοῦν
καὶ οἱ διακονήσαντες, τοῦ διακονήσαντος ἐκείνοις. διάτοι δήπου πολὺ μέγα ἐφθέγξατο, τα
» χέως ἐπιλαμβάνεται ἑαυτοῦ λέγων. Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ χριστοῦ
» πρὸς τὸν θεόν. Καὶ πάλιν ὅλον ἀνατίθησι τῷ θεῷ. τούτων γάρ ἡμῖν ὁ χς αἴτιος φησίν.
» Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν τι λογίσασθαι, ὡς ἐξ ἑαυτῶν. Ὅρα πάλιν, καὶ ἕτεραν
ἐπιδιόρθωσιν. καὶ γὰρ μετ' ὑπερβολῆς τιὼ ἀρετιὼ ταύτην μάλιστα κέκτηται, τιὼ τα πει
νοφροσυνίω λέγω. διόπερ ὅταν εἴπωμέν τι μέγα περὶ ἑαυτοῦ, πάσῃ κέχρηται σπουδῇ, ὥστε
σφοδρῶς παραμυθήσασθαι τὸ εἰρημένον πρόσωπον παντὶ, ὃ καὶ ἐν τοῖς θαι ποιεῖ λέγων. οὐχ ὅ-
τι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν τι λογίσασθαι, ὡς ἐξ ἑαυτῶν. τουτέστιν, οὐχ οὕτως εἶπον πεποί-
θησιν ἔχομεν, ὡς τὸ μὲν, ἡμέτερον εἶναι, τὸ δὲ τοῦ θεοῦ, ἀλλὰ τὸ πᾶν αὐτῷ ἀνατίθημι.
» Ἡ γὰρ ἱκανότης ἡμῶν, ἐκ τοῦ θεοῦ, ὃς καὶ ἱκάνωσεν ἡμᾶς, διακόνους καινῆς διαθήκης.
Τί ἐστιν ἱκάνωσε; δίωσε τοὺς ἐποίησε, καὶ ἐπιτηδείους. οὐ μικρὸν δὲ δήπου τὸ νομίσαι τοι-
αύτας πλάκας, καὶ ἐπιφολαιὸ τῇ οἰκουμένῃ πολὺ μείζους τῶν προτέρων. διὸ καὶ ἐπήγα-
» γεν. Οὐ γράμματος, ἀλλὰ πνεύματος. Ἰδοὺ πάλιν ἄλλη διαφορά. τί οὖν ἐκεῖ-
νος οὐκ ὤω πνευματικὸς ὁ νόμος; πῶς οὖν φησιν, οἴδαμεν ὅτι ὁ νόμος πνευματικός ἐστι;
πνευματικὸς μὲν, ἀλλ' οὐ πνεῦμα παρεῖχεν. οὐ γὰρ πνεῦμα ἐνόμισε μωϋσῆς, ἀλλὰ
γράμματα. ἡμεῖς δὲ ἐπιστεύθημεν πνεῦμα διδόναι. διὸ καὶ ἐπεργάζεται αὐτὸ λέγων.
» Τὸ γὰρ γράμμα, ἀποκτείνει. τὸ δὲ πνεῦμα, ζωοποιεῖ. Ταῦτα δὲ οὐχ ἁπλῶς φησιν,
ἀλλ' ἐκείνους αἰνιττόμενος τοὺς μεγαλοφρονοῦντας ἐπὶ τοῖς ἰουδαϊκοῖς. γράμμα δὲ ἐν-
ταῦθα, τὸν νόμον φησὶν, τὸν κολάζοντα τοὺς πλημμελοῦντας. πνεῦμα δὲ τιὼ χάριν τιὼ
διὰ τοῦ βαπτίσματος, τοὺς ὑπὸ τῶν ἁμαρτιῶν νεκρωθέντας ζωοποιοῦσαν. εἰ πὼς γὰρ τὴν
διαφορὰν τιὼ ἀπὸ τῆς φύσεως τῶν πλακῶν, οὐκ ἐνδιατρίβει αὐτῇ, ἀλλὰ παρασχα-
μὼν αὐτιὼ, ταύτην ἐπὶ πλεῖον ἐργάζεται, ἣ μάλιστα ἐλεῖν τὸν ἀκροατιὼ ἠδύνατο ἀπὸ
τοῦ συμφέροντος, καὶ κούφου. οὔτε γὰρ πόνον ἔχει φησὶ, καὶ μείζονα παρέχει τιὼ χάριν,
ἀπὸ τῆς φιλανθρωπίας αὐτοῦ ὅτι μᾶλλον, ἢ τῆς ἀξίας. καὶ ἀλλήλοις συνδέδεται. πολ-
λῷ μᾶλλον οὖν τῆς διαθήκης ἀναγκαίως δήπου ποιεῖ. τί οὖν ὅτι τὸ γράμμα ἀποκτείνει;
εἶπεν ὅτι ἐν πλαξὶ λιθίναις, καὶ καρδίαις σαρκίναις. οὐδέπω δὲ μεγάλως ἐδύνει διαφο-
ρὰν λέγειν. προσέθηκεν οὖν ὅτι ἐκείνη γράμματι, ἢ μέλανι. αὕτη δὲ πνεύματι. οὔτε
δήπου πάνυ αὐτοὺς διήγειρε. λέγει οὖν λοιπὸν ὅπερ ἱκανὸν αὐτοὺς ὠφελῆσαι, ὅτι τὸ μὲν ἀ-
ποκτείνει. τὸ δὲ, ζωοποιεῖ. τί δὲ δήπου ἐστίν; ἐν τῷ νόμῳ ὁ ἁμάρτημα ἔχων, κολάζεται. ἐν-
ταῦθα ὁ ἁμάρτημα ἔχων, προσελθὼν βαπτίζεται, καὶ γίνεται δίκαιος. δίκαιος δὲ γι-
νόμενος, ζῇ, τοῦ θανάτου τῆς ἁμαρτίας ἀπαλλαγείς. ὁ νόμος ἐὰν λάβῃ φονέα, ἀναι-
ρεῖ, ἡ χάρις ἐὰν λάβῃ φονέα, φωτίζει, καὶ ζωοποιεῖ. καὶ τί λέγω φονέα, ξύλα ἔλαβεν ἐν
σαββάτῳ συλλέξαντα ὁ νόμος, καὶ ἐλίθασε. δήπου ὅτι τὸ γράμμα ἀποκτείνει. μυρίους
ἀνδροφόνους, καὶ ληστὰς λαμβάνει ἡ χάρις, καὶ βαπτίζουσα, ἀπαλλάττει τῶν προτέ-

τέρων κακῶν. ὅθεν ἐστὶ, τὸ πνεῦμα ζωοποιεῖ. ἐκεῖνος ἀπὸ ζῶντος, νεκρὸν ἐργάζεται τὸν ἀλόντα. αὕτη ἀπὸ νεκροῦ ζῶντα κατασκευάζει τὸν ὑποδυνον. διὸ τε γὰρ πρόσμε οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ὑμᾶς, ἀλλ' ἀναπαύσω ὑμᾶς. ἐν γὰρ τῷ βαπτίσματι διαλύεται τὰ ἁμαρτήματα. ἐξαλείφεται τὰ πρότερα. ζωοποιεῖται ὁ ἄνθρωπος, ὥσπερ εἰς πλάκα αὖ τοῦ τὴν καρδίαν ἐγγράφεται πᾶσα ἡ χάρις. συνόησον τοίνυν ὅσην τὸ πνεύματος ἡ ἀξία, ὅταν αἱ πλάκες αὐτοῦ βελτίους τῶν προτέρων, ὅταν μείζονι, καὶ αὐτῆς τῆς ἀναστάσεως ἐπιδείκνυνται. καὶ γὰρ καὶ ἡ νέκρωσις αὕτη τῆς προτέρας χαλεπωτέρα, ἧς καὶ ἀπαλλάττει, καὶ τοσούτῳ, ὅσῳ ψυχὴ σώματος βελτίων. καὶ αὕτη δι' ἐκείνης σωίζεται ἡ ζωὴ, ἵνα τὸ πνεῦμα δίδωσιν. εἰ δὲ ταύτην ἀμωσὰν χαρίσασθαι, πολλῷ μᾶλλον τὴν ἐλάττονα. ἐκείνην μὲν γὰρ προφῆται εἰργάσαντο. ταύτην δὲ οὐκέτι, οὐδεὶς γὰρ δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεός. οὐδὲ ἐκείνην δὲ χωρὶς πνεύματος παρεῖχον οἱ προφῆται. οὐ δῆλον δὲ ὅτι μόνον τὸ θαυμαστὸν, ὅτι ζωοποιεῖ, ἀλλ' ὅτι καὶ ἑτέροις δῆλον παρέχειν ποιεῖν. λάβετε γάρφησι πνεῦμα ἅγιον, διαπίχωρεῖς πνεύματος γὰρ οὐκ ἐνῆν, ἀλλὰ δεικνὺς ὁ θς, ὅτι δῆλον τῆς ἐξουσίας ἐστὶ τῆς ἀνωτάτω, καὶ τῆς οὐσίας τῆς βασιλικῆς ἐκείνης, καὶ τὴν αὐτὴν ἔχει ἰσχύν, καὶ δῆλον φησί. διὸ καὶ ἐπάγει. ὧν ἐὰν ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται, καὶ ὧν ἐὰν κρατῆτε, κεκράτηνται.

Η' Σημ.

Ε' ωεὶ οὖν ἐζωοποίησεν ἡμᾶς, μένωμεν ζῶντες, καὶ μὴ πάλιν τῷ προτέραν ἐπανίωμεν νεκρότητα. ὁ γὰρ οὐκέτι ἀποθνήσκει. ὁ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, καὶ οὐ βούλεται ἀεὶ χαίρειν ἡμᾶς σώζεσθαι. ἐπεὶ κενοὶ πάντων ἡμεῖς ἐσόμεθα. διὸ καὶ παρ' ἡμῶν εἰσφέρεσθαί τι βούλεται. εἰσενέγκωμεν τοίνυν, καὶ τὴν ψυχὴν ζῶσαν διαπιρῶμεν. τί δέ ὅτι ψυχῆς ζωὴ, ἀπὸ τοῦ σώματος μάνθανε. καὶ γὰρ τὸ σῶμα τότε λέγομεν ζῆν, ὅταν βασιλίζῃ ὑγιῆ τινὰ βάσιν. ὅταν δὲ καταπέσῃ διαλυθὲν, καὶ παρὰ τάξιν κινῆται. κἂν δοκῇ ζῆν, ἢ βασιλίζειν, πάντως θανάτου χαλεπωτέρα ἡ τοιαύτη ζωή. κἂν φθέγγηται μηδὲν ὑγιὲς, ἀλλὰ τῶν παραπλήκτων ῥήματα, καὶ ἕτερα ἀνθ' ἑτέρων βλέπῃ, πάλιν τῶν τετελευτηκότων ἐλεεινότερος ὁ τοιοῦτος. οὕτω καὶ ἡ ψυχὴ, ὅταν μηδὲν ὑγιὲς ἔχῃ, κἂν δοκῇ ζῆν, τέθνηκεν. ὅταν τὸ χρυσίον, μὴ βλέπῃ, ὡς χρυσίον, ἀλλ' ὡς μέγα τι, καὶ τίμιον. ὅταν τὰ μέλλοντα, μὴ ἐννοῇ, ἀλλὰ χαμαὶ σύρηται, ὅταν ἀνθ' ἑτέρων ἕτερα πράττῃ. πόθεν γὰρ δῆλον, ὅτι ψυχὴν ἔχομεν, οὐκ ἀπὸ τῶν ἐνεργειῶν; ὅταν οὖν τὰ αὐτῆς μὴ ἐνεργῇ, οὐχὶ τέθνηκεν; οἷον ὅταν μὴ ἐπιμελῆται ἀρετῆς, ἀλλὰ ἁρπάζῃ, καὶ παρανομῇ. πόθεν δύναμαι εἰπεῖν, ὅτι ψυχὴν ἔχεις, ὅτι βασιλίζεις; ἀλλὰ δῆλον, καὶ τῶν ἀλόγων. ἀλλ' ὅτι ἐσθίεις, καὶ πίνεις; ἀλλὰ δῆλον καὶ τῶν θηρίων. ἀλλ' ὅτι ὀρθὸς ἕστηκας καὶ δύο ποσὶ, τοῦτό μοι μᾶλλον δείκνυσιν, ὅτι θηρίον εἶ ἀνθρωπόμορφον. ὅταν μὲν γὰρ τὰ ἄλλα ἔχῃς ἐκείνου, τὴν δὲ διανάστασιν μηκέτι, μᾶλλόν με ταράττεις, καὶ ἐκδειματοῖς, καὶ μᾶλλον τέρας εἶναι νομίζω τὸ φαινόμενον. καὶ γὰρ εἰ θηρίον εἶδον ἀνθρωπόφθεγγόμενον τῇ φωνῇ, οὐκ ἂν δι' αὐτὸ δῆλον ἔφην αὐθρωπον εἶναι, ἀλλὰ δι' αὐτὸ μὲν οὖν δῆλον, θηρίον θηρίου τερατωδέστερον. πόθεν οὖν δείξω μοι μαθεῖν, ὅτι ψυχὴν ἔχεις ἀνθρώπου; ὅταν λακτίζῃς, ὡς οἱ ὄνοι; ὅταν μυσπιπκῇς, ὡς οἱ κάμηλοι; ὅταν δάκνῃς, ὡς οἱ ἄρκτοι; ὅταν

ἁρπάζῃς,

ἁρπάζῃς, ὡς οἱ λύκοι. ὅταν κλέπτῃς, ὡς αἱ ἀλώπεκες. ὅταν δολερὸς ᾖς, ὡς οἱ ὄφεις. ὅταν ἀναισχυντῇς, ὡς ὁ κύων· πόθεν δυνήσομαι μαθεῖν, ὅτι ψυχὴν ἔχεις ἀνθρώπου; βούλεσθε δείξω νεκρὰν ψυχήν, καὶ ζῶσαν; ἄγωμεν τὸν λόγον πάλιν τοῖς τοὺς ἀρχαίους αὐξήσασι ἐκείνους. καὶ εἰ δοκεῖ τὸν πλούσιον εἰς μέσον καταθώμεθα τὸν τοῦ λαζάρου, καὶ εἰσόμεθα τί ποτέ ἐστι ψυχῆς νέκρωσις. καὶ γὰρ ἐκεῖνος νεκρὰν εἶχε ψυχήν, καὶ δῆλον ἀφ' ὧν ἐποίει. τῶν μὲν γὰρ ψυχῆς ἔργων οὐδὲν ἐπράττεν. ἤσθιε δὲ καὶ ἔπινε, καὶ ἐτρύφα μόνον. τοιοῦτοί εἰσι, καὶ νῦν οἱ ἀνελεήμονες, καὶ ὠμοί. νεκρὰν γὰρ ἔχουσι, καὶ οὐ τοι ψυχήν, ὥσπερ ἐκεῖνος. τὸ γὰρ ἀδεκμὸν αὐτῆς ἅπαν τὸ ἀπὸ τῆς φιλίας τῆς εἰς τὸν πλησίον, ἀπώλωται. καὶ ἐστὶν ἀψύχου σώματος νεκρότερα. ὁ δὲ πένης, οὐ τοιοῦτος, ἀλλ' ἐν αὐτῷ τῷ ἄκρῳ τῆς φιλοσοφίας ἑστώς, δέλεαμπε, καὶ λιμῷ παλαίων διαπεπεῖ, καὶ οὐδὲ τῆς ἀναγκαίας δι' πορῶν τροφῆς, οὐδὲ οὕτως εἰπεῖ τι βλάσφημον εἰς τὸν θεόν, ἀλλ' ἔφερεν ἅπαντα γενναίως. οὐ μικρὸν δὲ δεῖξαι ψυχῆς ἔργον, ἀλλὰ καὶ τῆς διανοίας, καὶ τῆς ὑγείας τεκμήριον μέγιστον. ὅταν δὲ ταῦτα μὴ ᾖ, δῆλον ὅτι παρὰ τὸ νενεκρῶσθαι, ἀπόλωλεν. ἢ οὐ νεκρὰν ἐκείνην εἶναι φήσομεν εἰπέμοι; ἢ ἔπεισι μὲν ὁ διάβολος πλήττων, κεντῶν, δάκνων λακτίζων, αἰσθάνεται δὲ ἐκείνη οὐδενὸς τούτων; ἀλλὰ κεῖται νενεκρωμένη; καὶ τῆς περιουσίας αὐτῆς ἀφαιρουμένης οὐκ ἀλγεῖ; ἀλλ' ἐφάλλεται μὲν ἐκεῖνος. μένει δὲ αὕτη ἀκίνητος, ὥσπερ σῶμα ψυχῆς ἀπελθούσης, οὐδὲ αἰσθανομένη. ὅταν γὰρ ὁ τοῦ θεοῦ φόβος, μὴ παρῇ μετὰ ἀκριβείας, τοιαύτην αὐτὴν εἶναι ἀνάγκη, καὶ νεκρῶν ἀπλιωτέραν. οὐδὲ γὰρ εἰς ἰχῶρα διαλύεται, καὶ τέφραν, καὶ κόνιν ἡ ψυχὴ καθάπερ τὸ σῶμα, ἀλλ' εἰς τὰ τούτων δυσωδέστερα, εἰς μέθην, καὶ θυμὸν, καὶ πλεονεξίαν, εἰς ἀτόπους ἔρωτας, καὶ ἀκαίρους ἐπιθυμίας. εἰ δὲ βούλει αὐτῆς ἀκριβέστερον ἰδεῖν τὰ δυσώδες, δύσμοι ψυχῆς καθαραὶ, καὶ τότε ὄψει σαφῶς πῶς ἐστι δυσώδης ἡ αἰσχρὰ αὕτη, καὶ ἀκάθαρτος. νῦν μὲν γὰρ οὐ δυνήσῃ σαφῶς εἰδεῖν. ἕως γὰρ ἂν ὦμεν ἐν σωματείᾳ δυσωδίας, οὐκ αἰσθανόμεθα. ὅταν δὲ πνευματικοῖς προσφώμεθα ῥήμασι, τότε εἰσόμεθα ἐκεῖνο τὸ κακόν. καίτοι πολλοῖς ἀδιάφορον δοκεῖ εἶναι δοκεῖ. καὶ οὐδέπω λέγω περὶ γεέννης. ἀλλ' εἰ βούλεσθε, τὰ παρόντα ἐξετάσωμεν, καὶ μὴ τὸν αἰσχρὰ πράττοντα, ἀλλὰ τὸν αἰσχρὰ φθεγγόμενον, πῶς ἐστι καταγέλαστος, πῶς ἑαυτὸν καταβυβίζει πρῶτον. καθάπερ τις βόρβορόν τινα ἀπὸ τοῦ στόματος ἀφιείς, οὕτως ἑαυτὸν μολύνει. εἰ γὰρ τὸ ῥεῖθρον οὕτως ἀκάθαρτον, ἐννόησον οἵα ἡ πηγὴ τοῦ βορβόρου τούτου. ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας, τὸ στόμα λαλεῖ. ἐγὼ δὲ οὐ διαβολὴν πένητα μόνον, ἀλλ' ὅτι οὐδὲ εἶναι δοκεῖ τῶν ἀτόπων βλασφημιῶν παράσχοι. ἐντεῦθεν ἅπαντα αὔξεται τὰ κακὰ, ὅταν καὶ ἁμαρτάνωμεν, καὶ μὴ δὲ πλημμελεῖν νομίζωμεν. βούλει οὖν μαθεῖν ὅσον κακὸν τὸ αἰσχρὰ φθέγγεσθαι; ἐννόησον τοὺς ἀκούοντας, πῶς ἐρυθριῶσιν ἐν τῇ ἀκηκοσιᾳ τῇ σῇ. τί γὰρ βδελυκτότερον ἀνδρὸς αἰσχρολόγου; τί ἀπρεπέστερον; εἰς γὰρ τὴν τῶν μίμων ὠθοῦσιν ἑαυτοὺς οἱ τοιοῦτοι τάξιν, εἰς τὴν τῶν πεπορνευμένων γυναικῶν. μᾶλλον δὲ ἐκείναις ἐρυθριῶσι μᾶλλον, ἢ ὑμεῖς. πῶς δύνασθαι διδάξαι γυναῖκα σωφρονεῖν, ταινιδίων αὐτὴν εἰς ἀσέλγειαν διὰ τούτων ἐκβαίνειν τῶν ῥημάτων; βέλτιον σπαδόνα ἀπὸ τοῦ στόματος ἀφιέναι, ἢ ῥῆμα αἰσχρόν. νῦν δὲ ἂν μὲν ὀξὺ

τὸ σῶμα, οὐδὲ τῶν κοινῶν μετέχεις σιτίων. τοσαύτης δὲ ἁγιωσύνης οὔσης ἐν τῇ ψυχῇ, μυστηρίων τολμᾷς κοινωνεῖν εἰ θέμις; καὶ εἰ μὴ σκύβος ἀκάθαρτόν τις λάβοι τῶν τραπεζῶν κατέθετο τῆς σῆς, ξύλοις αὐτὸν ἂν παίων ἔλασας. τὸν δὲ θεὸν τῶν τραπεζῶν τῆς αὐτῆς, τράπεζα γὰρ αὐτῆς τὸ σῶμα τὸ ἡμέτερον δι' χαριτίαν πληρούμενον, σκύβους ἀκαθάρτου παντὸς ῥήματα βδελυρώτερα προφέρων, οὐκοῖει παροξύνειν, εἰ θέμις; καὶ πῶς ἔνι δίκης; οὐδὲν γὰρ οὕτως παροργίζει τὸν ἅγιον, καὶ τὸν καθαρόν, ὡς τὰ ῥήματα ταῦτα. οὐδὲν οὕτως ἀτιμάζει, καὶ ἀναισχύντους ποιεῖ, ὡς τὸ λέγειν τοιαῦτα, καὶ ἀκούειν. οὐδὲν οὕτως ἐκλύει τὰ νεῦρα τῆς σωφροσύνης, ὡς ἡ διὰ τούτων ἀναστομένη φλόξ. μύρον ἐνέθετό σου τῷ σώματι ὁ θεός. σὺ δὲ νεκροῦ δυσωδέστερα ἀποπέμπεσαι ῥήματα, καὶ αὐτὴν ἀναιρεῖς τὴν ψυχήν, καὶ ἀκίνητον ποιεῖς. καὶ γὰρ ὅταν ὑβρίζῃς, οὐκ ἔστι δίκης ψυχῆς φωνή, ἀλλὰ θυμοῦ. ὅταν αἰσχρὰ λέγῃς, οὐκ ἐκείνη ἐφθέγξατο, ἀλλ' ἡ ἀκολασία. ὅταν κακηγορῇς, ἡ βασκανία. ὅταν ἐπιβουλεύῃς, ἡ πλεονεξία. ταῦτα γὰρ οὐκ ἐκείνης, ἀλλὰ τῶν παθῶν αὐτῆς, καὶ τῶν νοσημάτων. ὥσπερ οὖν τὸ φθείρεσθαι, οὐχ ἁπλῶς τὸ σῶμα ζῶς, ἀλλὰ τοῦ θανάτου, καὶ τοῦ πάθους τοῦ ἐν τῷ σώματι, οὕτω δὴ καὶ ταῦτα τῶν προσγινομένων αὐτῇ παθῶν. εἰ γὰρ βούλει ψυχῆς ἀκοῦσαι φωνῆς ζώσης, ἄκουσον παύλου λέγοντος. ἔχοντες πνεῦμα δὲ, καὶ σπάσματα, τούτοις ἀρκεσθησόμεθα. καὶ ἐπὶ πορνείας μέγας ἡ δυσέβεια. καὶ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ. ἄκουσον πάλιν λέγοντος, ἀργύριον, καὶ χρυσίον οὐχ ὑπάρχει μοι. ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. ἄκουσον τοῦ ἰωβ δυσχεραίνοντος, καὶ λέγοντος. ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο. ταῦτα ψυχῆς ζώσης τὰ ῥήματα, ταῦτα ἐνεργούσης τὴν οἰκείαν ἐνέργειαν. οὕτω καὶ ἰακὼβ ἔλεγεν. ἐὰν φάγωμι κύριος ἄρτον φαγεῖν, μὴ ἱμάτιον περιβαλέσθαι. οὕτω καὶ ἰωσήφ, πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐνώπιον τοῦ θεοῦ; ἀλλ' οὐχ ἡ βάρβαρος ἐκείνη, ἀλλ' ὥσπερ μεθύουσα, καὶ παραπαίουσα, οὕτως ἐφθέγγετο λέγουσα. κοιμήθητι μετ' ἐμοῦ. ταῦτ' οὖν εἰδότες, ζηλώσωμεν τὴν ζῶσαν ψυχὴν, φύγωμεν τὴν νενεκρωμένην, ἵνα καὶ τῆς μελλούσης ἐπιτύχωμεν ζωῆς. ἧς γένοιτο πάντας ἡμᾶς μεταλαχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, ζ'.

» Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐγενήθη ἐν δόξῃ. ὡς
» τε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς ἰσραὴλ εἰς τὸ πρόσωπον μωϋσέως διὰ τὴν δόξαν τοῦ
» προσώπου αὐτοῦ τὴν καταργουμένην, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται
» ἐν δόξῃ; Εἶπεν ὅτι λίθιναι αἱ πλάκες αἱ μωϋσέως, ὡς ὅτι γράμματα εἶχον, καὶ ὅτι σάρκιναι αὗται. αἱ καρδίαι δὲ τῶν ἀποστόλων, καὶ πνεύματα ἦσαν ἐγγεγραμμέναι. καὶ ὅτι τὸ μὲν γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. ἐλείπετο λοιπὸν τῇ συγκρίσει ταύτῃ προσθεῖναι, καὶ ἕτερον οὐ μικρὸν, τὸ τῆς δόξης μωϋσέως. ὅπερ ἐν ταύτῃ οὐδεὶς εἶδεν ὑπὸ τῆς καινῆς τοῖς τοῦ σώματος ὀφθαλμοῖς. διὸ καὶ μέγα ἐδόκει εἶναι. ἐπειδὴ αὐάθητη ἦν δόξα. ὀφθαλμοῖς γὰρ ἑωράτο σώματος, εἰ καὶ ἀπρόσιτος ἦν. ἡ δὲ τῆς καινῆς, νοητή.

νῆς, νοητή. οὐ γὰρ σαφῶς τοῖς ἀσθενεστέροις τῆς τοιαύτης ὑπεροχῆς ἡ κατάληψις, ἀλλ' ἐκείνη μᾶλλον αὐτοὺς ἦρε, καὶ ἐπέστρεφε πρὸς ἑαυτήν. ἐπεὶ οὖν εἰς ταύτην ἐνέστησε τὴν σύγκρισιν, καὶ ἀπορεῖν ἐποίει τὴν ὑπεροχήν, σφόδρα δὲ δύσκολον ἦν ἐκ τοῦ παχυτέρου τῶν ἀκροατῶν, ὅρα τί ποιεῖ, καὶ πῶς αὐτὸ μεθοδεύει. πρῶτον ἀπὸ λογισμῶν τὴν διαφορὰν εἰσάγων, καὶ πλείονας αὐτοὺς ἀπὸ τῶν ἔμπροσθεν εἰρημένων. εἰ γὰρ ἐκείνη μὲν θανάτου αὕτη δὲ ζωῆς ἡ διακονία, ἀναμφίβολον ὅτι καὶ ἡ δόξα αὕτη, μείζων ἐκείνης φησίν. ἐπεὶ δὴ γὰρ οὐκεῖχεν αὐτὴν δεῖξαι τοῖς ὀφθαλμοῖς τοῖς σωματικοῖς, τῷ συλλογισμῷ παρέσχετο αὐτῆς τὸ ὑπερέχον λέγων. εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐγενήθη ἐν δόξῃ, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ. διακονίαν δὲ θανάτου, τὸν νόμον λέγει. καὶ σπόρως πῶς ἐν τῇ συγκρίσει πολλαχοῦ ποιεῖται τὴν ἀσφάλειαν. ὥστε μὴ δὲ μίαν δοῦναι τοῖς αἱρετικοῖς λαβήν. οὐ γὰρ εἶπεν ὁ ποιητικὸς τοῦ θανάτου, ἀλλ' ἡ διακονία τοῦ θανάτου. διακονεῖ γὰρ θάνατον, οὐκ ἔπικτε θάνατον. ἡ γὰρ τοῦ θανάτου ποιητική, ἡ ἁμαρτία ἐστί. οὗτος δὲ τὴν κόλασιν ἔπηγε, καὶ τῆς ἁμαρτίας δεικτικὸς ἐστί, οὐ ποιητικός. ἀνεκάλυψε γὰρ σαφέστερον τὸ κακόν, καὶ ἐκόλαζεν, οὐκ ὤθει εἰς τὸ κακόν, καὶ διηκόνει, οὐ πρὸς τὸ γενέσθαι ἁμαρτίαν, ἢ θάνατον, ἀλλὰ πρὸς τὸ δοῦναι δίκην τὸν ἁμαρτόντα. ὥστε καὶ ἀναιρετικὸς ἐστὶ ταύτης τῆς ἁμαρτίας. ὁ γὰρ οὕτω φοβερὰν αὐτὴν δεικνύς, δῆλον ὅτι καὶ φυκτὴν αὐτὴν ποιεῖ. ὥσπερ οὖν ὁ τὸ ξίφος μεταχειρίζων, καὶ τὸν κατάδικον ἀποτέμνων διακονεῖ τῷ δικαστῇ ἀποφαινομένῳ, καὶ οὐκ αὐτὸς ἐστὶν ὁ ἀναιρῶν, καίτοιγε αὐτὸς ἀποτέμνων, ἀλλ' οὐδὲ ὁ ἀποφαινόμενος, καὶ καταδικάζων, ἀλλ' ἡ τοῦ κολαζομένου πονηρία, οὕτω δὴ καὶ ἐνταῦθα οὐκ αὐτὸς ἀναιρεῖ, ἀλλ' ἡ ἁμαρτία. αὕτη καὶ ἀνῄρει, καὶ κατεδίκαξε. θεμωρούμενος δὲ οὗτος, ἐκείνης ὑπετέμνετο τὴν ἰσχύν, τῷ φόβῳ τῆς τιμωρίας ἀναστέλλων αὐτήν. οὐκ ἠρκέσθη δὲ τούτῳ μόνῳ εἰς τὴν παράστασιν τῆς ὑπεροχῆς, ἀλλὰ καὶ ἕτερον προστίθησι λέγων. ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις. ὅρα πῶς πάλιν ὑποτέμνεται τὸ φρόνημα τὸ ἰουδαϊκόν. οὐδὲν γὰρ ἕτερον ἦν, ἢ γράμματα ὁ νόμος, οὐ βοηθητικὰ ὄντα ἀπὸ τῶν γραμμάτων ἐκπηδῶσα, καὶ ἐμπνέουσα τοῖς ἀγωνιζομένοις. καθάπερ οὖν τοῦ βαπτίσματος, ἀλλὰ φῶλαι, καὶ γραφαὶ θάνατον φέρουσαι τοῖς τὰ γράμματα παραβαίνουσιν. εἶδες πῶς διορθούμενος τὴν ἰουδαϊκὴν φιλονεικίαν, καὶ ἀπὸ τῶν ὀνομάτων αὐτῶν καθαιρεῖ τὸ ἀξίωμα; λίθον εἰπών, καὶ γράμματα, καὶ διακονίαν θανάτου; καὶ προσθείς, ὅτι ἐντετυπωμένη; ἐντεῦθεν γὰρ οὐδὲν ἄλλο ἐμφαίνει, ἢ ὅτι ἐν ἐνὶ χωρίῳ ὁ νόμος ἵδρυτο. οὐ καθάπερ τὸ πνεῦμα πανταχοῦ παρὸν πολλοῖς ἐμπνέον τὴν ἰσχὺν ἅπασιν. ἢ ὅτι πολλοῖς ἐμπνεῖ τὴν ἀσθένειαν τὰ γράμματα, καὶ ἀσθενοῦσι οὐδὲ ἀφανισθῆναι δυναμένοις, ἀλλὰ διαπαντὸς μένουσαν, ἅτε λίθοις ἐγκεκολαμμένην. εἶτα καὶ δοκῶν ἐγκωμιάζειν τὰ παλαιὰ, κατηγορίαν πάλιν ἀναμίγνυσιν Ἰουδαίων. εἰ γὰρ ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐγένηθη ἐν δόξῃ, πῶς ἠγαγεν. ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως. ὁ πολλῆς ἦν αὐτῶν ἀσθενείας, καὶ χαμαιζηλίας. καὶ πάλιν, οὐ διὰ τὴν δόξαν τῶν πλακῶν, ἀλλὰ διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, τὴν καταργουμένην φησί. δείκνυσι γὰρ τὸν φέροντα δοξαζόμενον οὐκ ἐκείνας. οὐ γὰρ εἶπε διὰ τὸ μὴ δύνασθαι

ἀτενίσαι εἰς τὰς πλάκας, ἀλλ' εἰς τὸ πρόσωπον μωϋσέως. καὶ πάλιν, οὐ μὴ τὴν δόξαν τ πλακῶν, ἀλλὰ μὴ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ. εἶτα ὅπως δὴ ἐπῆρεν αὐτὴν, ὅρα πῶς πάλιν καθαιρεῖ λέγων, τὴν καταργουμένην. οὐ μὴν τοῦτο καὶ τηνικαῦτα ἐστὶν, ἀλλὰ ἐλαττώσεως. οὐδὲ γὰρ εἶπε τ διεφθαρμένην τ πονηράν, ἀλλὰ τ παυομένην, καὶ τέλος λαμβάνουσαν. πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνς ἔσται ἐν δόξῃ; τε θαρρήσας γὰρ λοιπὸν τὰ τῆς καινῆς αἴρει, ὡς ἀναμφισβήτητα. καὶ σπόσει τί ποιεῖ. οὐ τέτμησε λίθον καρδίας, καὶ γράμμα πνί. εἶτα δείξας τὰ ἐξ ἀμφοτέρων, οὐκέτι πίθησι τὰ ἐξ ἀμφοτέρων, ἀλλὰ τὸ ἀπὸ τοῦ γράμματος θεὶς τὸν θάνατον, καὶ τὴν κατάκρισιν, τὸ ἀπὸ τοῦ πνς, οὐκέτι πίθησι τὴν ζωὴν, καὶ τὴν δικαιοσύνην, ἀλλ' αὖθις τὸ πνα. ὅπερ μείζονα ἐποίει τὸν λόγον. ἡ γὰρ καινὴ διαθήκη, οὐ ζωὴν ἐδίδου μόνον, ἀλλὰ καὶ πνα ἐχορήγει τὸ τ ζωὴν παρέχον. ὃ πολλῷ μεῖζον τῆς ζωῆς ἴσως. διόπερ
» εἶπεν ἡ διακονία τοῦ πνς. εἶτα πάλιν τὸ αὐτὸ περιφέρει λέγων. Εἰ γὰρ ἡ διακονία τῆς κα
» ταδικάσεως δόξα. Καὶ ἑρμηνεύει σαφέστερον. τί ὄφελος τὸ γράμμα ἀποκτείνει; τοῦτο λέγων,
» ὅπερ ἔμπροσθεν εἰρήκαμεν, ὅτι δεικτικὸς ἁμαρτίας ἦν ὁ νόμος, οὐ ποιητικός. Πολλῷ μᾶλλον
» ἡ διακονία τῆς δικαιοσύνης περισσεύει ἐν δόξῃ. Εἰ κεῖναι μὲν γὰρ αἱ πλάκες, τοὺς ἁμαρ
τωλοὺς ἐδείκνυον, καὶ ἐκόλαζον. αὕτη δὲ τοὺς ἁμαρτωλοὺς, οὐ μόνον οὐκ ἐκόλαζεν, ἀλλὰ
» καὶ δικαίους ἐποίει. τοῦτο γὰρ τὸ βάπτισμα ἐχαρίζετο. Καὶ γὰρ οὐ δεδόξασται τὸ δεδο-
» ξασμένον ἐν τούτῳ τῷ μέρει ἕνεκεν τῆς ὑπερβαλούσης δόξης. Ἐν μὲν οὖν τοῖς προτέ
ροις ἔδειξεν, ὅτι καὶ τοῦτο ἐν δόξῃ, καὶ οὐχ ἁπλῶς ἐν δόξῃ, ἀλλὰ καὶ περισσεύει. οὐ γὰρ εἶπε
πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνς ἔσται ἐν δόξῃ, ἀλλὰ περισσεύει ἐν δόξῃ, τὴν ἀπὸ τῶν λο
γισμῶν τῶν εἰρημένων ἔχων ἀπόδειξιν. ἐνταῦθα καὶ τ ὑπεροχὴν, ὅση, δείκνυσι λέγων. ὅτι ἐὰν
συγκρίνω ταύτην ἐκείνῃ, οὐδὲ δόξα ἐστὶν ἡ δόξα τῆς παλαιᾶς. οὐχ ἁπλῶς τὸ μὴ εἶναι δόξαν
καταστρέφων, ἀλλὰ τῷ τῆς συγκρίσεως λόγῳ. διὸ καὶ ἐπήγαγε τούτῳ τῷ μέρει. τουτέστι
κατὰ τὸν τῆς συγκρίσεως λόγον. οὐ μὴν τοῦτο διαβάλλει τ παλαιάν, ἀλλὰ καὶ σφόδρα αὐ
τὴν συνίστησιν. αἱ γὰρ συγκρίσεις, ὧν τῶν συγγενῶν εἰώθασι γίνεσθαι. εἶτα καὶ ἄλλον κινεῖ λο
γισμὸν τὸν ἀποδεικνύοντα τ ὑπεροχὴν, καὶ ἑτέρωθεν. ποῖον δὴ τοῦτον; τὸν ἀπὸ τοῦ χρόνου λέ
γων. εἰ δὲ τὸ καταργούμενον μᾶλλον δόξης, πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ. τὸ μὲν γὰρ παύσασθαι. τὸ
» δὲ μένειν διὰ πολλῶν. Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ χρώμεθα. Ἐ ωσει
» δὴ γὰρ τοσαῦτα, καὶ τηλικαῦτα ἀκούσας ὁ ἀκροατὴς περὶ τῆς καινῆς, ἐζήτει καὶ ὁφθαλμο
φανῶς τὴν δόξαν ταύτην ἰδεῖν, ὅρα ποῦ αὐτὸν ἐξακοντίζει πρὸς τὸν μέλλοντα αἰῶνα. διὸ καὶ
τὴν ἐλπίδα εἰς μέσον ἐθηκε λέγων. ἔχοντες οὖν τοιαύτην ἐλπίδα, τοιαύτην, ποταπήν; ὅτι μει
ζόνων ἠξιώθημεν, ἢ μωϋσῆς, οὐχ οἱ ἀπόστολοι μόνον ἡμεῖς, ἀλλὰ καὶ πάντες οἱ πιστοὶ, πολλῇ
παῤῥησίᾳ χρώμεθα. πρὸς τίνα εἰώθεμεν; πρὸς τὸν θεὸν, ἢ πρὸς τοὺς μαθητάς; πρὸς ὑμᾶς
τοὺς μανθανομένους φησί. τουτέστι μετ' ἐλευθερίας παντὸς φθεγγόμεθα, οὐδὲν ἀπο-
κρυπτόμενοι, οὐδὲν ὑποτελλόμενοι, οὐδὲν ὑφορώμενοι, ἀλλὰ σαφῶς λέγοντες. καὶ οὐ δεδοίκα
μεν, μὴ πλήξωμεν ὑμῶν τὰς ὄψεις καθάπερ μωϋσῆς τὰς ἰουδαίων. ὅτι γὰρ ἔδοξε τοῦτο ἠνίξατο, ἀκού
σον τ ἑξῆς. μᾶλλον δὲ τ ἱστορίαν πρῶτον ἀναγκαῖον εἰπεῖν. καὶ γὰρ οὗτος αὐτ συνεχῶς περιφέ
φει. πῖς οὖν ἡ ἱστορία; ὅτε ἐκλυτέρους τὰς πλάκας καθεῖλε λαβὼν ὁ μωϋσῆς, δόξα τῆς ἐκπη-

δώσα τοῦ

δῶσα τῷ προσώπου αὐτῦ τοσοῦτον ἀπέλαμψεν, ὡς μὴ δύνασθαι τοὺς ἰουδαίους προσίεναι αὐτῷ, καὶ διαλέγεσθαι· ἕως ὅτε ἐπέθηκε κάλυμμα τῷ προσώπῳ· καὶ γέγραπται οὕτως ἐν τῇ ἐξόδῳ· ἡνίκα κατέβη μωϋσῆς ἐκ τοῦ ὄρους· αἱ δύο πλάκες ἐν ταῖς χερσὶν αὐτῦ, καὶ οὐκ ἤδει μωϋσῆς, ὅτι δεδόξασται ἡ ὄψις τῦ χρωτὸς τῦ προσώπου αὐτῦ, καὶ ἐφοβήθησαν ἐγγίσαι αὐτῷ, καὶ ἐκάλεσεν αὐτοὺς μωϋσῆς, καὶ ἐλάλησε πρὸς αὐτούς· καὶ μετὰ ταῦτα προσῆλθον πάντες οἱ υἱοὶ ἰσραήλ· καὶ ἐνετείλατο αὐτοῖς πάντα ὅσα ἐλάλησεν αὐτῷ κύριος ἐν τῷ ὄρει σινᾶ· καὶ ἀφελὼν μωϋσῆς ἀπὸ τοῦ προσώπου αὐτῦ τὸ κάλυμμα, ἕως τοῦ εἰσπορεύεσθαι αὐτὸν λαλεῖν πρὸς αὐτούς. Ταῦτα ἡ θεία γραφή. Ἐπειδὴ δὲ ἐκεῖνος ἐκάλυπτε τὸ πρόσωπον, ἵνα μὴ ἀτενίσωσιν οἱ υἱοὶ ἰσραὴλ εἰς τὸ τέλος τῦ καταργουμένου· ἡμεῖς δὲ οὐ τοιοῦτόν ἐσμεν, οὐ χρεία καλύπτεσθαι ἡμᾶς καθάπερ μωϋσῆς, δυνατοὶ γὰρ ὑμεῖς ἰδεῖν εἰς τὴν δόξαν ταύτην ἣν περικείμεθα, καίτοι πολλῷ μείζονα, καὶ φανοτέραν οὖσαν ἐκείνης· εἰδὲς τὴν προφητείαν; ὁ γὰρ ἐν τῇ προτέρᾳ εἰπὼν γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα, ἐν ταύτῃ λέγει· ὅτι πολλῇ παῤῥησίᾳ χρώμεθα, καὶ μυσταγωγίαν εἰς μέσον παράγει κατὰ σύγκρισιν προάγων τὸν λόγον, καὶ ταύτῃ τὴν ἀκροατὴν ἀναλαμβάνων· καὶ τέως ἰουδαίων αὐτοὺς προτίθησι λέγων, ὅτι οὐ δεόμεθα καλύμματος· καθάπερ ἐκεῖνος τῶν ἀρχομένων· τὰ δὲ μετὰ ταῦτα, καὶ εἰς αὐτὸ τὸ νομοθέτου πρόσωπον ἀναλαμβάνει, ἢ καὶ πολλῷ μεῖζον· τέως δὲ τῆς ἐξῆς ἀκούσωμεν. Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν· ἄχρι γὰρ τῆς σήμερον, τὸ αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν χριστῷ καταργεῖται. Ὁρᾶτε πῶς κατασιγᾷ τὸν λόγον· ὅπερ γὰρ τοῦτ' ὅπερ γέγονεν ἐπὶ μωϋσέως τότε ἅπαξ, τοῦτο ἐπὶ τοῦ νόμου γίνεται διὰ παντός, οὐκοῦν ἄρα τοῦ νόμου διαβολὴ τὸ εἰρημένον· ὥσπερ οὐδὲ μωϋσέως τότε καλυπτομένου, ἀλλὰ τῶν ἀγωνιώντων ἰουδαίων, ἐκεῖνος μὲν γὰρ εἶχε τὴν οἰκείαν δόξαν· οὗτοι δὲ αὐτὴν ἰδεῖν οὐκ ἠδυνήθησαν· τί οὖν φησιν ἡ θεία γραφή, εἰ τὴν δόξαν ταύτην ἰδεῖν, οὐ δυνατὸν τὸ χαίρειν; ὅπουγε τὸ ἐλάττω τὴν μωϋσέως οὐκεῖδον· οὐδὲ πρὸς τὸ πρόσωπον ἴσχυσαν ἀτενίσαι τὸ ἐκείνου· τί δὲ παράπτεσθε εἰ οὐ πιστεύουσιν ἰουδαῖοι χῶ; ὅπουγε οὐδὲ τῷ νόμῳ πιστεύουσι· διὰ γὰρ τοῦτο μὴ τὸ χαίρειν ἠγνόησαν· ἐπειδὴ οὐδὲ τὴν παλαιὰν διαθήκην εἶδον, οὐδὲ τὸ ἐν αὐτῇ δόξαν· δόξα γὰρ νόμου, πρὸς ὃν ἐπιφέρωμεν· ὁρᾶς πῶς κἀντεῦθεν καθαιρεῖ τὸ τῶν ἰουδαίων φύσημα; ἀφ' ὧν γὰρ ἐδόκουν πλεονεκτεῖν· τοῦτο δὲ δόξαν μωϋσέως ἐξασφάλισιν, ἀπὸ τούτου δείκνυσιν αὐτῶν τὸ παχύ, μὴ χαμαίζηλον· μὴ τοίνυν τούτῳ καλλωπιζέσθωσαν· τί γὰρ ὄφελος πρὸς ἰουδαίους τοὺς μὴ ἀπολαύσαντας; διὸ καὶ συνεχῶς αὐτὸ περιφέρει· νῦν μὲν λέγων, ὅτι τὸ αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον· ὅτι ἐν χριστῷ καταργεῖται· νῦν δὲ ὅτι ἕως σήμερον ἡνίκα ἀναγινώσκεται μωϋσῆς, τὸ αὐτὸ κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· μὴ ἐν τῇ ἀναγνώσει, καὶ ἐν τῇ καρδίᾳ αὐτῶν δεικνὺς ἐπικείμενον· ἀνωτέρω δὲ ὥστε μὴ ἀτενίσαι τοὺς υἱοὺς ἰσραὴλ εἰς τὸ πρόσωπον μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτῦ τὴν καταργουμένην. οὔτι γένοιτ' ἂν τελέσφορον; ὅταν μὲν δὲ καταργουμένης δόξης, μὴ δὲ τῆς, μὴ δὲ οὔσης τῇ συγκείσει, δύνανται, θεαταὶ γενέσθαι, ἀλλὰ καλύπτηται ἀπ' αὐτῶν εἰς τὸ μὴ ἀτενίσαι εἰς τὸ τέλος τῦ καταργουμένου· τουτέστι τῦ νόμου, ὅπερ τέλος ἔχει· ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν, καὶ τί ὄφελος πρὸς τὸ κάλυμμα φησὶ τότε; ὅτι τὰ μέλλοντα προδιέγραφεν· οὐ γὰρ μόνον τότε

οὐκεῖδον·

οὐκεἶδον. ἀλλ' οὐδὲ νῦν ὁρῶσι τὸν νόμον, καὶ ἡ αἰτία, παρ' αὐτοὺς. ἡ γὰρ πώρωσις, γνώμης ἐστὶν ἀναισθήτου, καὶ ἀγνώμονος, ὥστε ἡμεῖς ἐσμὲν οἱ καὶ τὸν νόμον εἰδότες. ἐκείνοις δὲ οὐχ ἡ χάρις μόνον, ἀλλὰ καὶ οὗτος συνεσκίασται. ἄχρι γὰρ τῆς σήμερον, τὸ αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει φησί. Μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν
» Χῷ καταργεῖται. Ὁ δὲ λέγει, τοῦτό ἐστι, τὸ αὐτὸ οὐ δύνανται συνιδεῖν, ὅτι πέπαυται. Ἐπειδὴ τῷ Χῷ, οὐ πιστεύουσιν. εἰ γὰρ διὰ τοῦ Χῦ πέπαυται, ὥσπερ οὕτω καὶ πέπαυται, καὶ ὁ νόμος δῆλον προλαβὼν εἶπε, πῶς οἱ μὴ δεχόμενοι τὸν χριστὸν τὸν καταργήσαντα τὸν νόμον συνήσονται ἰδεῖν, ὅτι κατήργηται ὁ νόμος; οὐ χωροῦντες δὲ δῆλον ἰδεῖν, δῆλον ὅτι καὶ αὐτοῦ τοῦ νόμου τοῦ ταῦτα λέγοντος τὴν ἰσχὺν ἀγνοοῦσι, καὶ τὴν δόξαν ἅπασαν. καὶ που δῆλον εἶπε φησὶν, ὅτι ἐν χριστῷ καταργεῖται; οὐκεἶπε μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων ἐδείξε, καὶ πρῶτον μὲν τῷ τὰς θυσίας, καὶ τὴν ἀγιστείαν ἅπασαν ἐν ἑνὶ κατακλεῖσαι τόπῳ τῷ ναῷ, καὶ αὐτὸν ὕστερον καθελεῖν. εἰ γὰρ μὴ ἐβούλετο αὐτὰς παύσασθαι, καὶ τὸν περὶ τούτων νόμον ἅπαντα, λυσῖν δεύτερον οὐ ἐποίησεν, ἢ οὐκᾶν καθεῖλε τὸν ναὸν, ἢ καθελὼν, οὐκᾶν ἀπεπήδησεν ἀλλαχοῦ θύεσθαι. νῦν δὲ τὴν οἰκουμένην ἅπασαν, καὶ αὐτὴν δὲ τὴν ἱερουσαλὴμ, ἅβατον τοῖς τοιούτοις κατέφησεν ἱερουργίαις. μόνον δὲ τὸν ναὸν αὐτοῖς ἀνοῖς, καὶ ἀποτάξασ εἶτα αὐτὸν δῆλον ὕστερον καθελὼν, καὶ εἰς τέλος ἔδειξε διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι πέπαυται τὰ τοῦ νόμου διὰ χριστοῦ. καὶ γὰρ τὸν ναὸν καθεῖλεν ὁ χς. εἰ δὲ βούλει, καὶ διὰ ῥημάτων ἰδεῖν πῶς διὰ τοῦ χριστοῦ καταργεῖται, ἄκουσον αὐτοῦ τοῦ νομοθέτου λέγοντος οὕτως. προφήτην ὑμῖν ἀναστήσει κύριος ἐκτῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ. αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα αὐ ἂν τελῆται ὑμᾶν. καὶ ἔσται πᾶσα ψυχὴ ἥτις αὐ μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται. εἶδες πῶς ἐδείξεν ὁ νόμος, ὅτι ἐν χριστῷ παύεται; ὁ γὰρ προφήτης οὗτος, οὗτός ἐστιν ὁ χς ὁ κατὰ σάρκα, οὗ ἀκούειν ἐκέλευσε μωϋσῆς, καὶ σάββατον, καὶ περιτομὴν, καὶ τἆλλα πάντα ἔπαυσε. καὶ ὁ δαβὶδ δὲ τὸ αὐτὸ δῆλον δηλῶν, ἔλεγε περὶ τοῦ χριστοῦ. σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελχισεδέκ. οὐ κατὰ τὴν τάξιν ἀαρών. διὸ καὶ σαφῶς ὁ παῦλος ἑρμηνεύων αὐτὸ, φησίν. ὅτι μετατιθεμένης τῆς ἱερωσυνῆς ἐξ αὐτάγκης, καὶ νόμου μετάθεσις γίνεται. καὶ ἀλλαχοῦ δὲ πάλιν φησί. θυσίαν καὶ προσφορὰν οὐκἠθέλησας, ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας οὐκἐνεδόκησας, τότε εἶπον ἰδοὺ ἥκω. καὶ ἑτέρωσε δὲ πολλῷ τούτων πλείους δυνατὸν ἐκτῆς παλαιᾶς παραγαγεῖν μαρτυρίας, δηλούσας πῶς διὰ τοῦ χριστοῦ καταργεῖται ὁ νόμος. ὥστε ὅταν ἀποστῇς τοῦ νόμου, τότε ὄψει τὸν νόμον καλῶς. ἕως δ' αὐ αὐτὸν κατέχῃς, καὶ μὴ πιστεύῃς χριστῷ, οὐκοἶδας οὐδὲ αὐτὸν τὸν νόμον. διὸ καὶ σπήγαγε, σα
» φέστερον δῆλον αὐτὸ καταστενάξων. Ἀλλ' ἕως σήμερον ἡνίκα αὐ ἀναγνώσεται μωϋσῆς,
» κάλυμμα κεῖται τὴν καρδίαν αὐτῶν κεῖται. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει τὸ κάλυμμα, ἵνα μήτις νομίσῃ τῆς ἀσαφείας τοῦ νόμου εἶναι τὸ εἰρημένον, καὶ δι' ἑτέρων μὲν αὐτὸ, καὶ ἔμπροσθεν ἔδειξε. τῷ γὰρ εἰπεῖν ἐπηρώθη τὰ νοήματα αὐτῶν, δείκνυσιν αὐτῶν τὸ ἐγκλημα ὄν, καὶ ἐν αὐτῷ δὲ τούτῳ πάλιν. οὐ γὰρ εἶπεν ἐν τοῖς γράμμασι μένει τὸ κάλυμμα, ἀλλ' ἐν τῇ ἀναγνώσει. ἡ δὲ

σει. ἡ δὲ ἀνάγνωσις, ἐνέργεια τῶν ἀναγινωσκόντων ἐστὶ, καὶ πάλιν ἡνίκα ἀναγινώσκεται
μωϋσῆς. σαφέστερον δὲ αὐτὸ τῇ λέξει τῇ ἑξῆς ἐδήλωσεν. ἀνακεκαλυμμένως εἰπὼν, κάλυμ
μα αὐτῇ τὴν καρδίαν αὐτῶν κεῖται. ὅπου καὶ ἐν τῇ ὄψει μωϋσέως, οὐ δόξαν μωϋσέα ἐκεῖτο,
ἀλλὰ δόξαν τὴν παχύτητα, καὶ σαρκικὴν γνώμην, κατηγορήσας τοίνυν αὐτῶν ἱκανῶς, δεί-
» κνυσι, καὶ τὸν τρόπον τῆς διορθώσεως. τίς δὲ οὗτος ἐστίν; Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς
» κύριον ὅπερ ἐστὶν ἀποστῆναι τῷ νόμῳ, περιαιρεῖται τὸ κάλυμμα. Ὁρᾷς ὅτι οὐ τῷ προ-
σώπου μωϋσέως κάλυμμα ἦν ἐκεῖνο, ἀλλὰ τῆς ὄψεως τῆς ἰουδαϊκῆς; οὐ γὰρ ἵνα κρύπτη-
ται ἡ δόξα μωϋσέως ἦν ἐγίνετο, ἀλλ' ἵνα ἐκεῖνοι, μὴ βλέπωσιν. οὐδὲ γὰρ ἐχώρουν, ὥστε
ἐκείνων ἐλάττωμα ἦν. οὐδὲ γὰρ ἦν ποιεῖ τι ἀγνοεῖν, ἀλλ' ἐκείνους. καὶ οὐκεῖπε μὲν
ἡνίκα ἂν ἀφῇς τὸν νόμον. ἦν δὲ ἠνίξατο. ὅτε γὰρ ἐπιστρέψεις πρὸς κύριον, περιαιρεῖται
τὸ κάλυμμα, μέχρι τέλους ἐπέμεινε τῇ ἱστορίᾳ. καὶ γὰρ ὅτε ἰουδαίοις διελέγετο μωϋσῆς,
ἐκάλυπτεν αὐτῆ τὸ πρόσωπον. ὅτε δὲ πρὸς τὸν θεὸν ἐπέστρεφεν, ἀποκεκαλυμμένον ἦν. τῦ-
το δὲ τύπος ἦν τῆ μέλλοντος ἔσεσθαι. ὅτι ὅταν ἐπιστρέψωμεν πρὸς κύριον, τότε ὀψόμεθα
τὴν δόξαν τῦ νόμου, καὶ γυμνὸν τὸ πρόσωπον τῦ νομοθέτου. μᾶλλον δὲ οὐ τότε μόνον, ἀλλὰ τότε
ἐσόμεθα, καὶ συνταξει μωϋσέως. εἶδες πῶς ἐκκαλεῖται τὸν ἰουδαῖον διὰ τὴν πίστιν; δεικνὺς
ὅτι οὐ μόνον μωϋσέα δύναται ἰδεῖν πρὸς τὴν χάριν ἐλθών, ἀλλὰ καὶ ἐν αὐτῇ γενέ-
σθαι τῇ τάξει τῦ νομοθέτου. οὐ γὰρ μόνον φησὶ τὴν δόξαν ὄψει ἦν τότε οὐκεῖδες, ἀλλὰ
καὶ αὐτὸς ἐν δόξῃ ἔσῃ τῇ αὐτῇ. μᾶλλον δὲ πολλῷ πλείονι, καὶ τοσαύτῃ, ὡς μὴ δὲ δόξαν
ἐκείνῃ φαίνεσθαι ταύτῃ παραβαλλομένῃ. πῶς καὶ πίνι τρόπῳ; ὅτι πρὸς τὸν κύριον ἐπι-
στρέψας, καὶ γενόμενος ἐν τῇ χάριτι, ἐκείνης ἀπολαύσῃ τῆς δόξης πρὸς ἣν ἡ δόξα μωϋσέως
συγκεκινομένη, οὕτως ἐλάττων ἐστὶν, ὡς μὴ δὲ δόξα εἶναι. ἀλλ' ὅμως εἰ καὶ μικρὰ, καὶ
σφόδρα ἀποδέουσα ἐκείνης, ἰουδαῖος μὲν ὢν, οὐδὲ ταύτης ἠξιώθησε. πιστὸς δὲ γενόμε-
νος, καὶ τῷ πολλῷ μείζονα αὐτῆς καταξιωθήσῃ θεάσασθαι. καὶ ὅτε μὲν τοῖς πιστοῖς
διελέγετο, οὐ δεδόξασθαι τὸ δεδοξασμένον ἔλεγεν. ἐνταῦθα δὲ οὐχ' οὕτως, ἀλλὰ
πῶς; ὅταν ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα. κατὰ μικρὸν αὐτὸν ἐ-
νάγων, καὶ συνταξει μωϋσέως πρῶτον ἵστησι, καὶ τότε τῶν μειζόνων ποιῶν κοινωνόν. ὅταν
γὰρ ἴδῃς τὸν μωϋσέα ἐν δόξῃ, τότε λοιπὸν καὶ πρὸς τὸν θεὸν ἐπιστρέψεις, καὶ μεί-
ζονος ἀπολαύσεις ταυτῆς. ὅρα τοίνυν ἐξ ἀρχῆς πόσα τέθεικε τὰ ποιοῦντα τὴν διαφοράν, καὶ δεικνύοντα τῆς καινῆς πρὸς τὴν παλαιὰν τὴν ὑπεροχὴν, οὐ τὴν μάχην,
οὐδὲ τὴν ἐναντίωσιν. ἐκείνη γράμμα φησὶ, καὶ λίθος, καὶ θανάτου διακονία, καὶ κατ-
αργεῖται. καὶ ὅμως οὐδὲ ταύτης ἠξιώθησαν οἱ ἰουδαῖοι τῆς δόξης. αὕτη σαρκίνη ἡ πλάξ,
καὶ πνεῦμα, καὶ δικαιοσύνη, καὶ μένει, καὶ πάντες αὐτῆς καταξιούμεθα, οὐχ' εἷς μό-
νος καθάπερ μωϋσῆς τῆς ἐλάττονος τότε. ἡμεῖς γάρ φησι πάντες ἀνακεκαλυμμένῳ
προσώπῳ τὴν δόξαν τοῦ κυρίου κατοπτριζόμεθα, οὐ τὴν μωϋσέως. ἀλλ' ἐπειδή τινες
τὸ ἡνίκα ἂν ἐπιστρέψῃ πρὸς κύριον περὶ τοῦ υἱοῦ εἰρῆσθαι φασὶ, τοῖς σφόδρα ὁμολογημέ-
νοις ἀντιπίπτοντες, ἀκριβέστερον αὐτὸ ἐξετάσομεν. ἔστι πρότερον ἐκεῖνο ἀφ' οὗ δοκοῦ-
σιν αὐτὸ κατασκευάζειν. τί δὲ τοῦτό ἐστι; καθάπερ φησὶ λέγει πνεῦμα ὁ θεὸς, οὕτω καὶ
ἐνταῦθα,

σανταῦθα. πνεῦμα ὁ κύριος, ἀλλ' ὁ κύριος τὸ πνεῦμά ἐστι. πολὺ δὲ τοῦτο καὶ ἐκείνης τῆς σωματικῆς τὸ μέσον. ὅταν γὰρ βούληται, οὕτω λέγειν, ὡς σὺ φῂς, τῷ Ἐπιστάτῃ ἄρθρον, οὐ προστίθησιν. ἄλλως δὲ ἴσμεν πάντα, ὅσα διελέχθη ἄνωθεν περί τινος εἴρηκεν. οἷον ὅτε ἔλεγε, τὸ γράμμα ἀποκτείνει τὸ δὲ πνεῦμα ζωοποιεῖ, καὶ πάλιν. ἐγγεγραμμένη, οὐ μέλανι, ἀλλὰ πνεύματι θεοῦ ζῶντος. ἆρα περὶ τοῦ γοῦν, ἢ περὶ τοῦ πνεύματος; δῆλον ὅτι περὶ τοῦ πνεύματος. πρὸς γὰρ τοῦτο ἀπὸ τοῦ γράμματος αὐτοὺς ἐκάλει. ἵνα γὰρ μὴ ἀκούσας τις πνεῦμα εἶτα λογισάμενος, εἰ μωϋσῆς πρὸς κύριον ἐπεφεύγει, αὐτὸς δὲ πρὸς πνεῦμα, ἔλαττον ἔχειν νομίσῃ, διορθούμενος τοιαύτην ὑπόνοιαν φησίν. ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι, καὶ οὗτος, κύριος ἐστὶ φησί. καὶ ἵνα μάθῃς, ὅτι περὶ τοῦ παρακλήτου ὁ λόγος, ἐπήγαγεν. οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία. οὐ γὰρ δήπου οὗτος αὖ εἴποις αὐτὸν λέγειν, οὗ δὲ ὁ κύριος τοῦ κυρίου. ἐλευθερίαν δὲ εἶπε πρὸς τὴν ἔμπροσθεν δουλείαν. εἶτα ἵνα μὴ νομίσῃς, ὅτι περὶ μέλλοντος χρόνου λέγει, φησί. ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι, οὐ τὴν παυομένην ἐκείνην, ἀλλὰ τὴν μένουσαν, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν. καθάπερ ἀπὸ κυρίου πνεύματος. εἶδες πῶς πάλιν ἀντάξει τοῦ θεοῦ τὸ πνεῦμα πάθησι; καὶ αὐτοὺς εἰς τὴν τάξιν ἀναβιβάζει τῶν ἀποστόλων; καὶ γὰρ ἔμπροσθεν εἴρηκεν Ἐπιστολὴ ἐστε χριστοῦ. καὶ ἀνταῦθα, ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ. καίτοι αὐτοὶ ἦλθον φέροντες κατὰ μωσέα νόμον. ἀλλ' ὥσπερ ἡμεῖς φησιν, οὐκ ἐδεήθημεν καλύμματος, οὕτως οὐδὲ ὑμεῖς οἱ δεξάμενοι. καίτοιγε πολλῷ μείζων αὕτη ἡ δόξα. οὐ γὰρ τοῦ προσώπου ἡμῶν αὕτη, ἀλλὰ τοῦ πνεύματος, ἀλλ' ὅμως ἡμῖν ὁμοίως ἀπενίσαι δίδωσι δι' εἰς ταύτην. ἐκεῖνοι μὲν γὰρ οὐδὲ ἀπὸ μέσου, ὑμεῖς δὲ καὶ χωρὶς μέσου δίδοσθε τὴν μείζονα. ἐκεῖνοι εἰς τὴν μωϋσέως, οὐκ ἴσχυσαν. ὑμεῖς καὶ εἰς τὴν τοῦ πνεύματος. οὐκοῦν δὲ εἰ κατασκεύαζον τὸ πνεῦμα ἰῶ, ὡς μείζονα ταῦτα ἐκείνων ἔθηκε. τί δέ ἐστι τὴν δόξαν κυρίου κατοπτριζόμενοι; τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα. σαφέστερον μὲν οὖν ἐδείκνυτο νῦν τῶν σημείων τὰ χαρίσματα ἐνῆργει. πλὴν οὐδενὶ οὕτω δύσκολον αὐτὰ κατιδεῖν τῷ πεπυρωμένους ὀφθαλμοὺς ἔχοντι. ὁμοῦ τε γὰρ βαπτιζόμεθα, καὶ ὑπὲρ τὸν ἥλιον ἡ ψυχὴ λάμπει τῷ πνεύματι καθαιρομένη. καὶ οὐ μόνον ὁρῶμεν εἰς τὴν δόξαν τοῦ θεοῦ, ἀλλὰ καὶ ἐκεῖθεν δεχόμεθα πηγὰς ἄλλας. ὥσπερ αὖ εἰ ἄργυρος καθαρὸς πρὸς τὰς ἀκτῖνας κείμενος, καὶ αὐτὸς ἀκτῖνας ἐκπέμψειεν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς λαμπηδόνος τῆς ἡλιακῆς. οὕτω καὶ ἡ ψυχὴ καθαιρομένη, καὶ ἀργύρου λαμπροτέρα γινομένη, δέχεται ἀκτῖνα ἀπὸ τῆς δόξης τοῦ πνεύματος εἰς δόξαν τὴν ἡμετέραν τὴν ἐγγινομένην, καὶ τοιαύτην, οἵαν εἰκὸς ἀπὸ κυρίου πνεύματος. ὅρα πῶς καὶ ἐνταῦθα τὸ πνεῦμα κύριον καλεῖ, καὶ ἀλλαχοῦ δὲ αὐτὸ τὴν κυριότητα ἐφίησιν ἰδεῖν. λειτουργούντων γὰρ αὐτῶν, καὶ νηστευόντων τῷ κυρίῳ φησὶ, εἶπε τὸ πνεῦμα. ἀφορίσατέ μοι παῦλον, καὶ βαρνάβαν. ἀλλὰ γὰρ οὗτος εἶπε. λειτουργούντων αὐτῶν τῷ κυρίῳ. ἀφορίσατέ μοι, ἵνα τὸ ὁμόζυγον δείξῃ. καὶ πάλιν ὁ χὲ φησίν. ὁ δοῦλος οὐκοῖδε τί ποιεῖ ὁ κύριος αὐτοῦ. τὸ δὲ πνεῦμα, ὡς ἄνθρωπος οἶδε τὰ ἑαυτοῦ, οὕτως οἶδε τὰ τοῦ θεοῦ, οὐχὶ διδασκόμενον. ἐ-

τωσὶ ἡ εἰκὼν,

ωεὶ ἡ εἰκών, οὐ μένει, καὶ τὸ ἐνεργεῖν δὲ καθ' ὡς βούλεται, δείκνυσιν αὐτῶ τὴν ἐξουσίαν, καὶ τὴν κυριότητα. ἵνα μεταμορφοῖ, ἵνα οὐκέτ' συσχηματίζεσθαι ἡμᾶς τῷ αἰῶνι τούτῳ ἵνα δημιουργὸν τῆς τοιαύτης πίστεως. ὥσπερ γάρ φησι καθεύδοντας ἐν χριστῷ ἰησοῦ, οὕτως φησὶ καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοισμοῖς.

Η' ὑπόν.

Β οὐλεισοι δείξω ἵνα, καὶ ἀπὸ τῶν ἀποστόλων αἰσθητικώτερον; ἐννόησον παῦλον οὗ τὰ ἱμάτια ἐνήργει. ωέτερον, οὗ καὶ αἱ σκιαὶ ἴσχυον. οὐ γὰρ αὖ εἰ μὴ βασιλέως ἔφερον εἰκόνα, καὶ ἀπρόσιτοι ἦσαν αὐτῶν αἱ μαρμαρυγαὶ, τοσοῦτον τὰ ἱμάτια αὐτῶν, καὶ αἱ σκιαὶ ἐνήργησαν. βασιλέως γὰρ ἱμάτια, καὶ τοῖς λῃσταῖς ὅτι φοβερά. θέλεις ἰδεῖν, καὶ διὰ τοῦ σώματος λάμπουσαν ταύτην; ἀτενίσαντες φησὶν εἰς τὸ πρόσωπον στεφανοῦ, εἶδον ὡς πρόσωπον ἀγγέλου, ἀλλ' οὐδὲν ἵνα πρὸς τὴν ἔνδοθεν ἀφαιρέωσουσαν δόξαν. ὅπερ γὰρ μωῦσῆς ἐπὶ τῷ προσώπου εἶχε, ἵνα οὗτοι ἐπὶ τῆς ψυχῆς περιέφερον. μᾶλλον δὲ καὶ πολλῷ πλέον. τὸ μὲν γὰρ μωῦσέως, αἰσθητικώτερον ἦν. τοῦτο δὲ ἀσώματον, καὶ καθάπερ πυραυγῆ σώματα ἀπὸ τῶν λαμπρῶν σωμάτων ἐπὶ τὸ πλησίον ἀπορρέοντα, καὶ ἐκείνοις μεταδίδωσι τῆς οἰκείας αὐγῆς, οὕτω δὴ καὶ ἐπὶ τῶν πιστῶν συμβαίνει. διὰ δὴ τοῦτο, τῆς γῆς ἀπαλλαττόμενοι οἱ τοῦτο πάσχοντες, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ὀνειροπολοῦσιν. οἶμαι καλὸν γάρ ἐν ταῦθα, καὶ σπουδάσαι πικρὸν, ὅπι τοσαύτης ἀπολαύοντες εὐγενείας, οὐδὲ τὰ λεγόμενα ἴσμεν. διὰ τὸ ταχέως ἀπολλύσθαι τὰ πράγματα, καὶ πρὸς τὰ αἰσθητὰ ἐπτοῆσθαι. αὕτη γὰρ ἡ δόξα ἡ ἀπόρρητος, καὶ φευκώδης, μέχρι μὲν μεσημβρίας, καὶ δευτέρας ἡμέρας, ἐν ἡμῖν μένει. λοιπὸν δὲ αὐτὴν καταστέννυμεν, τὸν χειμῶνα ἐπάγοντες τῶν βιωτικῶν πραγμάτων, καὶ τῇ ωυκνότητι τῶν νεφῶν ἀποκρυόμενοι τὰς ἀκτῖνας. χειμὼν γὰρ τὰ βιωτικὰ, καὶ χειμῶνος σκυθρωπότερα. οὐ γὰρ ὑρυμὸς πίπτεται ἐντεῦθεν, οὐδὲ νιφὰς, οὐδὲ πηλὸν ποιεῖ, καὶ τέλμα βαθὺ, ἀλλὰ τὰ πάντων χαλεπώτερα τούτων. γέενναν σωίφησι, καὶ τὰ τῆς γεέννης κακά. καὶ καθάπερ ἐν ὑρυμῷ σφοδρῷ ωέπηγε πάντα τὰ μέλη, καὶ ἐπὶ νεκρᾶς, οὕτω δὴ, καὶ ἐν τῷ χειμῶνι τῶν ἁμαρτημάτων φέρουσα ἡ ψυχὴ, οὐδὲν τῶν αὐτῆς ἐργάζεται, ωεπηγυῖα καθάπερ ὕδατι ὑρυμῷ, τὸ σωειδὲς. ὅπερ γὰρ τῷ σώματι ἡ ψυχὴ, ἵνα πονηρὸν σωειδὲς τῇ ψυχῇ. ὅθεν καὶ δειλία γίνεται. οὐδὲν γὰρ δειλότερον τοῦ τοῖς βιωτικοῖς προσηλωμένου. ἐν γὰρ τῷ κατὰ βίον ὁ τοιοῦτος ζῇ, καθ' ἑκάστην ἡμέραν, τρέμων. καὶ τί λέγω θανάτου, καὶ ζημίας, καὶ προσηρουμάτα, καὶ κολακείας, καὶ δόξαωείας. καὶ γὰρ καὶ τούτων χωρὶς, μυρίας δέδωκε μεταβολάς, καὶ τὸ μὲν ταμεῖον, γέμει χρυσίου. ἡ ψυχὴ δὲ οὐκέτ' πέπλακται τοῦ τῆς ωενίας φόβου, καὶ μάλα εἰκότως. ὡς ἵνα πραγμάτων γὰρ ὁρμᾷ σαθρῶν, καὶ δυμεταωέωτων. κἂν μὴ αὐτὸς ὑπομείνῃ τὴν μεταβολὴν, ἐν ἑτέροις γινομένην ὁρῶν, ἀπόλωλε. καὶ πολλὴ μὲν ἡ δειλία. πολλὴ δὲ ἡ ἀνανδρία. οὐ γὰρ μόνον πρὸς κινδύνους ἄτολμος ὁ τοιοῦτος, ἀλλὰ καὶ πρὸς τὰ ἄλλα πάντα. κἂν ἐπιθυμίᾳ χρημάτων ἐμωέσῃ, οὐχ' ὡς ἀνὴρ ἐλεύθερος ἀποκρύεται τὴν προσβολὴν, ἀλλ' ὡς ἀργυρώνητος πάντα πράττει. καθάπερ δεωοίνῃ χαλεπῇ τῇ φιλαργυρίᾳ δουλεύων. κἂν δύμορφον τινὰ κόρην ἴδῃ, κατέωτηκεν δυδέως ἁλούς, καὶ ὥσπερ κύων λυττῶν ἔωεται, δέον τοὐναντίον ποιεῖν. ὅταν γὰρ ἴδῃς γυναῖκα ὡραίαν,

ναῖκα ὡραίαν, μὴ δῆθεν σπόωσι ὅπως ἀπολαύσης τῆς ἐπιθυμίας, ἀλλὰ πῶς ἀπαλλαγῆς τῆς ἐπιθυμίας. καὶ πῶς δῆθεν ἕνι φησίν; οὐ γάρ ὅτι τὸ ἐρᾶν ἐμόν, ἀλλὰ τίνος εἰπέμοι; τῆς τοῦ δαίμονος ἐπηρείας. ὅλως δαίμονα εἶναι νομίζεις τὸ ἐπιβουλεῦον; οὐκοῦν πάντευε, καὶ μάχου νοσήματι. ἀλλ' οὐ δύναμαι φησί. φέρε οὖν πρῶτον δῆθεν σε διδάξομεν, ὅτι τῆς σῆς ἐραθυμίας τὸ γινόμενον, καὶ ὅτι σὺ παρὰ τὴν ἀρχὴν τῷ δαίμονι δέδωκας πάροδον. καὶ νῦν αὖ ἐθέλῃς, μετὰ πολλῆς αὖ τὸν ἀπώσῃ τῆς δυκολίας. εἰπὲ γάρμοι οἱ μοιχεύοντες ἐρῶντες μοιχεύουσιν, ἢ ἁπλῶς κινδύνων ἐπιθυμοῦντες; δῆλον ὅτι ἐρῶντες. ἆρ' οὖν συγγνώμης τυγχάνουσιν; οὐδαμῶς. τί δήποτε; ὅτι αὐτῶν ὅτι τὸ ἁμάρτημα. ἀλλὰ τίμοι συλλογισμοὺς πλέκεις φησίν; ἐγὼ σωίσθι ἐμαυτῷ βουλόμενος ἀποκρούσασθαι τὸ πάθος, καὶ οὐκ ἀχύω, ἀλλ' ἐφέπηκε, καὶ πίεζει, καὶ ὀδυνᾷ χαλεπῶς. βούλει μὴν ἀποκρούσασθαι αὖθρωπε; οὐ ποιεῖς δὲ ἃ τῶν ἀποκρουομένων ἐστίν, ἀλλὰ ζωὸν πάχεις, οἷον αὖ εἴ τις ωυρετὸν, καὶ ψυχρῶν ἐμφορούμενος ναμάτων, λέγει. πόσα ἐπινοῶ βουλόμενος σβέσαι τὸν ωυρετὸν, καὶ οὐκ ἀχύω, ἀλλὰ μᾶλλονμν τὴν φλόγα αὐάω. ἴδωμεν οὖν, μήποτε καὶ σὺ τὰ μὲν ἐκκαίοντα ποιεῖς. νομίζεις δὲ ἐπινοεῖν τὰ σβεννύοντα, οὔφησιν. εἰπὲ οὖν πότε ἐπεχείρησας ποιῆσαι πρὸς τὸ σβέσαι τὸ πάθος. τί δέ ἐστιν ὅλως τοῦ πάθους αὐξητικόν; εἰ γὰρ καὶ μὴ πάντες ὑπεύθυνοι τοῖς ἐγκλήμασι τούτοις ἐσμέν. πλείους γὰρ αὖ εὑρομεν τῷ τῶν χρημάτων, ἢ τῷ τῶν σωμάτων ἁλισκομένους ἔρωτι, ἀλλὰ κοινὸν πᾶσι προκεῖσεται τὸ φάρμακον, καὶ τοῦτοις κἀκείνοις. καὶ γὰρ κἀκεῖνο ἔρως ἄτοπος, καὶ δῆθεν, ἀλλ' οὗτος ἐκείνου ἀριμύτερος, καὶ ὀξύτερος. ὅταν οὖν τοῦ μείζονος περιγενώμεθα, δῆλον ὅτι καὶ τὸν ἐλάττω ῥᾳδίως αἱρήσομεν. καὶ πῶς εἰ ἀριμύτερος οὗτος φησίν, οὐ πάντες ἁλίσκονται τῷ κακῷ; ἀλλ' οἱ πλείους περὶ χρήματα μεμήνασιν, ὅτι πρῶτον μὲν ἀνάνδιμος αὖ τι εἶναι δοκεῖ ἡ ἐπιθυμία. ἔπειτα εἰ καὶ ὀξυτέρα ἐστὶν ἡ τῶν σωμάτων, ἀλλὰ θᾶττον ἐκείνη σβέννυται, ὡς εἴγε παρέμενε, ὡς ἡ τῶν χρημάτων, κἂν ἀπώλεσε τὸν ἁλόντα ἄρδην. φέρε οὖν περὶ τούτου ὑμῖν διαλεχθῶμεν τοῦ τῶν σωμάτων, καὶ ἴδωμεν πόθεν αὔξεται τὸ κακόν. οὕτω γὰρ εἰσόμεθα, εἴτε ἡμέτερον δῆθεν ἔγκλημα, εἴτε οὐχ ἡμέτερον. καὶ εἰ μὲν ἡμέτερον, πάντα πράξομεν, ὥστε περιγενέσθαι. εἰ δὲ οὐχ ἡμέτερον, τί μάτην πονῶμεν ἑαυτούς; τί δὲ οὐ συγγινώσκομεν, ἀλλ' ἐγκαλοῦμεν τοῖς ἁλισκομένοις; πόθεν οὖν πίπτεται οὗτος ὁ ἔρως; ἀπὸ δυμορφίας προσώπου φησίν, ὅταν κακὴ, καὶ δυειδὴς ἡ προσπίπτουσα ᾖ. εἰκῇ ζωῦτα λέγεις, καὶ μάτην. εἰ γὰρ τῆς δυμορφίας τὸ ἐρασθῆς ἐπιπίπτειν, πάντας αὖ ἔχειν ἐρασθῆς ἡ τοιαύτη πόρη. εἰ δὲ οὐ πάντας ἔχει, οὐ τῆς φύσεως δῆθεν. οὐδὲ ἐξ δυμορφίας, ἀλλ' ἐξ ἀκολάστων ὀφθαλμῶν. ὅταν γὰρ ἴδωσι περιέργως θαυμάσῃς, καὶ ἐραθῇς, ἐδέξω τὸ βέλος. καὶ τίς αὖ δύναιτο καλὴν γυναῖκα ὁρῶν, μὴ ἐπαινέσαι τὴν ὁρωμένην φησίν; εἰ τοίνυν, οὐ τῆς προαιρέσεως ἡμῶν τὸ τὰ τοιαῦτα θαυμάζειν, οὐκ ἐν ἡμῖν ἄρα ὁ ἔρως. ἐπίσχες αὖθρωπε. τί πάντα φύρεις ὁμοῦ, πάντα χοῦ περιτρέχων, καὶ τοῦ κακοῦ τὴν ῥίζαν οὐκ ἐθέλων ἰδεῖν; καὶ γὰρ πολλοὺς ὁρῶ θαυμάζοντας, καὶ ἐπαινοῦντας, οὐκ ἐρῶντας δέ. μὴ πῶς ἕνι θαυμάζοντας, μὴ ἐρᾶν; μὴ ἀτρύβει. δῆθεν γὰρ ἔρχομαι εἰπεῖν. ἀλλ' αὐάμενον, καὶ ἀκούσῃ τοῦ μωσέως θαυμάζοντος τὸν ταῦδε τοῦ ἰακώβ, καὶ λέγοντος. μὴ ἰδοὺ ἰωσὴφ καλὸς τῷ εἴδει, μὴ ὡραῖος τῇ ὄψει σφόδρα. ἆρα οὖν ἦρα ὁ ταῦτα λέγων; οὐδαμῶς. οὐδὲ γὰρ ἑώρα φησὶ τὸν ἐπαινούμενον,

τωαινούμενον, ἀλλὰ καὶ πρὸς τὰ ἀκουόμενα καὶ λλη πάσχομέν τι τοιοῦτον, οὐ πρὸς τὰ ὁ-
ρώμενα μόνον. ἵνα δὲ μὴ φιλονεικῆς ἡμῖν ἐν τούτοις, ὁ δαβὶδ οὐκ ἁπλῶς ὡραῖος σφόδρα, καὶ
ὑπέρυθρος μετὰ κάλλους ὀφθαλμῶν; ὃ δὴ μάλιστά ὄβι τυραννικώτερον μέρος τῆς δυμορ-
φίας, τῶν ὀφθαλμῶν τὸ κάλλος. ἆρ' οὖν ἠράσθη τις αὐτοῦ; οὐδαμῶς. οὐκ ἄρα μετὰ
τοῦ θαυμάζειν, καὶ τὸ ἐρᾶν γίνεται. καὶ γὰρ καὶ μητέρας ἔχον πολλοὶ σφόδρα ἀνθούσας τῇ
τοῦ σώματος ὥρᾳ. τί οὖν ἠράσθησαν αὐτῶν οἱ παῖδες; ἄπαγε. ἀλλὰ θαυμάζουσι μὲν
τὸ ὁρώμενον, οὐκ ἐμπίπτουσι δὲ εἰς ἔρωτα αἰσχρόν. πάλιν γὰρ τῆς φύσεως τὸ κατόρθωμα
ἐστί. ποίας φύσεως εἰώθεμεν; ὅτι μητέρες εἰσίφασιν. εἶτα οὐκ ἀκούεις, ὅτι πέφυκε μηδενὸς
καταναγκάζοντος ταῖς αὐτῶν μίγνυσθαι μητράσι, καὶ οὐχ εἷς, οὐδὲ δεύτερος, ἀλλ' ὁ-
λόκληρον ἔθνος; χωρὶς δὲ τούτων, κἀκεῖθεν δῆλον, ὅτι τὸ νόσημα δῆλον, οὐ τῆς ὥρας τοῦ
σώματος, οὐδὲ τῆς δυμορφίας ἐστὶν ἁπλῶς, ἀλλὰ τῆς ῥᾳθυμίας, καὶ πλανωμένης ψυχῆς.
πολλοὶ γοῦν πολλάκις μυρίας δυσωπήσεις παρασβαμόντες γυναῖκας, ταῖς αἰσχροτέ-
ραις ἔδωκαν ἑαυτούς. ὅθεν δῆλον ὅτι, οὐ τῆς δυμορφίας τὸ ἐρᾶν. ἡ γὰρ ἂν εἶλον ἐκεῖναι πρὸ
τούτων τοὺς ἐμπεσόντας. τί οὖν τὸ αἴτιον; εἰ γὰρ μὴ τῆς δυμορφίας τὸ ἐρᾶν, πόθεν ἔχει τὴν
ἀρχήν, καὶ τὴν ῥίζαν φησίν; ἀπὸ δαίμονος πονηροῦ; ἔχει μὲν καὶ ἐκεῖθεν, ἀλλ' οὐ δῆλον
ὅτι τὸ ζητούμενον, ἀλλ' εἰ μή, καὶ ἡμεῖς αἴτιοι. οὐ γὰρ ἐκείνων μόνον ἡ ἐπιβουλή, ἀλλὰ μετ'
ἐκείνων, καὶ ἡμῶν πρώτων. οὐδαμόθεν γὰρ ἑτέρωθεν δῆλον πίπτεται τὸ πονηρὸν νόσημα, ὡς
ἀπὸ σωφροσύνης, καὶ κολακείας ῥημάτων, καὶ σχολῆς, καὶ ἀργίας, καὶ τοῦ μηδὲν ἔχειν
ποιεῖν. μεγάλη γὰρ μεγάλη τῆς σωφροσύνης ἡ τυραννὶς, καὶ τοσαύτη, ὡς εἰς φύσεως ἀνάγ-
κην καθίστασθαι. εἰ δὲ σωφροσύνη τὸ πίπτειν αὐτῷ, δῆλον, ὅτι καὶ τὸ σβέννυσθαι. πολ-
λοὶ γοῦν ἐρῶντες, οὕτως ἐπαύσαντο, μὴ ὁρωμένων τῶν ἐρωμένων. δῆλον δὲ πρὸς βραχὺ
μὲν δοκεῖ πικρὸν εἶναι, καὶ σφόδρα ἀνδρεῖς. τῷ χρόνῳ δὲ ἡδὺ γίνεται. καὶ οὐδὲ βουλομέ-
νοις λοιπὸν ἐνίοις ἀνακτήσασθαι τὸ πάθος. τί οὖν ὅταν σωφροσύνη χωρὶς ἀπὸ πρώτης τῆς ὄ-
ψεως ἁλῷ; κἀνταῦθα ἀργία τοῦ σώματος, ἡ τροφή, καὶ τὸ μὴ φροντίζειν τῶν προσ-
κόντων, μὴ δὲ ἐν ἀναγκαίοις εἶναι πράγμασι. καθάπερ γὰρ πλανὸς τίς ὁ τοιοῦτος πε-
ριερχόμενος, παντὶ περιτρέπεται πονηρῷ. καὶ καθάπερ παιδίον ἄφετον, ὁ βουλόμε-
νος ἀνδραποδίζεται τὴν τοιαύτην ψυχήν. ἐπειδὴ γὰρ ἔθος αὐτῇ ἐνεργεῖν, ὅταν αὐτῆς
παύσῃς τὴν ἐνέργειαν τὴν ἐν τοῖς ἀγαθοῖς, ἐπειδὴ ἀργεῖν, οὐ δύναται, ἀναγκάζεται
ἕτερα πίπτειν. καθάπερ ἡ γῆ, ὅταν μὴ σπείρηται, μὴ δὲ φυτεύηται βοτάνῃ αὐθαδίδω-
σιν ἁπλῶς. οὕτω καὶ ἡ ψυχὴ, ὅταν μηδὲν ἔχῃ τι πρᾶξαι τῶν ἀναγκαίων, πάντως τοῦ πράτ-
τειν ἐπιθυμοῦσα, πονηροῖς ἑαυτὴν διδῶσι πράγμασι, καὶ ὥσπερ ὀφθαλμὸς τοῦ μὲν ὁ-
ρᾶν, οὐ παύεται. καὶ δῆλον ὄψεται πονηρὰ, ὅταν ἀγαθὰ, μὴ ᾖ ὑποκείμενα.
οὕτω καὶ ὁ λογισμὸς, ὅταν τῶν ἀναγκαίων ἑαυτὸν ἀπαγάγῃ, περὶ τὰ ἄχρηστα τρέφε-
ται λοιπόν. ἐπεὶ ὅτι καὶ τὴν πρώτην προσβολὴν δύναται ἀπορρούσασθαι ἀσχολία,
καὶ φροντὶς, πολλαχόθεν δῆλον. ὅταν οὖν ἴδῃς γυναῖκα καλὴν, καὶ πάθῃς τι πρὸς
αὐτὴν, μηκέτι ἴδῃς, καὶ ἀπηλλάγης. καὶ πῶς δυνήσομαι μηκέτι ἰδεῖν ὑπὸ τῆς ἐπιθυμίας
ἑλκόμενος φησίν; ἑτέροις σεαυτὸν δὸς περιέλκουσι τὴν ψυχὴν, βιβλίοις, φροντίσιν ἀναγ-
καίοις, προστασίαις, βοηθείαις ἀδικουμένων, δυνάμεσι, φιλοσοφίᾳ τῇ περὶ τῶν μελλόν-

των, τοιούτοις κατάδηπον τὴν ψυχὴν, οὕτως οὐχὶ νεαρὸν ἕλκος διορθώσῃ μόνον, ἀλλὰ παγὲν, καὶ χρόνιον γενόμενον, ἀποτρίψῃ ῥᾳδίως. εἰ γὰρ ὕβρεις τὸν ἐρῶντα πείθει καταλύειν τὸν ἔρωτα κατὰ τὴν παροιμίαν, πῶς οὐ πολλῷ μᾶλλον αἱ πνευματικαὶ αὗται ἐπῳδαὶ περιέσονται τοῦ κακοῦ, μόνον αὖ ἐθέλωμεν ἀποῆναι. αὖ δὲ ἀεὶ προσομιλῶμεν, καὶ συναναφερόμεθα ταῖς τοξευούσαις ἡμᾶς τὰ τοιαῦτα τοξεύματα, καὶ λέγοντες, καὶ ἀκούοντες τὰ παρ' ἐκείνων, τρέφομεν τὸ νόσημα. πῶς οὖν ἀξιοῖς σβεσθῆναί τὸ πῦρ, καθ' ἑκάστην ἡμέραν τὴν φλόγα ἀνάπτων; καὶ ταῦτα μὲν ἡμῖν τὰ τῆς συνηθείας πρὸς τοὺς νέους εἰρήσθω, ὡς γοῦν ἀνδράσι, καὶ φιλοσοφεῖν σπουδάζουσι, πάντων μείζων ὁ τοῦ θεοῦ φόβος, ἡ τῆς γεέννης μνήμη, ἡ τῆς βασιλείας τῶν οὐρανῶν σπουδή. ἱκανὰ γὰρ ταῦτα σβέσαι τὸ πῦρ. μετὰ δὲ τούτων, καὶ ἐκεῖνο συνόει, ὅτι οὐδὲν ἕτερόν ἐστι τὸ ὁρώμενον, ἢ φλέγμα, καὶ αἷμα, καὶ τροφῆς διασεσηπὸς χυμός. ἀλλὰ φαυλότερον τὸ ἄνθος τῆς ὄψεως φησίν. ἀλλ' οὐδὲν τῶν ἀνθῶν τῶν ἀπὸ τῆς γῆς φαυλότερον, ἀλλὰ καὶ ταῦτα σήπεται, καὶ μαραίνεται. μὴ τοίνυν, μὴ δὲ συνταῦθα τῷ ἀνθεῖ πρόσεχε, ἀλλ' ἐνδότερον διάβαινε τῷ λογισμῷ, καὶ τὸ δέρμα τὸ καλὸν ἐκεῖνο περιελὼν τῷ λογισμῷ, περιεργάζου τὰ ὑπὸ δέρμα κείμενα. ὅπου καὶ τὸ τῶν ὑδρειόντων σῶμα, ἀποστίλβει λαμπρὸν, καὶ οὐδὲν ἡ σπουδαία φαῦλον ἔχει, ἀλλὰ τῇ ἐννοίᾳ τοῦ ἔνδον ἀποκειμένου χυμοῦ πλησπόμενοι, φιλεῖν τοὺς τοιούτους, οὐ δυνάμεθα. ἀλλ' ὑγρὸς ὁ ὀφθαλμὸς, καὶ γοργὸς, καὶ καλῶς ἀποτεταμένη ἡ ὀφρῦς, καὶ κυανοῖ αἱ βλεφαρίδες, καὶ ἵμερος ἡ κόρη, καὶ γαλινὸν τὸ ὄμμα. ἀλλ' ὅρα, ὅπου καὶ τὸ ὕδωρ πάλιν, οὐδὲν ἕτερόν ἐστιν, ἢ νδρα, καὶ φλέβες, καὶ ὑμένες, καὶ ἀρτηρίαι. σὺ δὲ μοι τὸν καλὸν ὀφθαλμὸν σύνοπτον νοσοῦντα, μηρῶντα, ὑπὸ ἀθυμίας μαραινόμενον, ὑπὸ ὀργῆς οἰδοῦντα, πῶς εἰδεχθής, πῶς ταχέως ἀπόλλυται, καὶ τῶν γεγραμμένων τάχιον ἀφανίζεται. ἀπὸ τούτων μετάγαγε τὴν διανοιαν ἐπὶ τὸ κάλλος τὸ ἀληθινόν. ἀλλ' οὐχ ὁρῶ φησὶ κάλλος ψυχῆς. ἀλλ' οὐ θέλεις, ὄψει, καὶ ὥσπερ τοὺς ἀπόντας καλοὺς ἐστὶν ὀφθαλμοῖς, μὴ ἰδόντα θαυμάσαι. οὕτω δυνατὸν ψυχῆς κάλλος χωρὶς ὀφθαλμῶν ἰδεῖν. οὐχ ὑπέρογκας πολλάκις μορφὴ δυσειδῆ, καὶ ἐπαχθῆ τὰ πρὸς τὴν διάπλασιν; ἀνατύπωσον, καὶ νῦν ψυχῆς κάλλος, καὶ συντρύφα τῇ δυμορφίᾳ. ἀλλ' οὐχ ὁρῶ φησὶ σώματα. καὶ μὴν τῶν σωμάτων αὐτὰ μᾶλλον ὁρῶμεν τῷ νῷ. διαγοῦν θαυμάζομεν, καὶ ἀγγέλους, καὶ ἀρχαγγέλους, καίτοιγε μὴ ὁρῶντες, καὶ τρόπων ἤθη, καὶ ψυχῆς ἀρετὴν. κἂν ἴδῃς ἄνθρωπον σπιεικῆ, καὶ μέτριον, μᾶλλον θαυμάσῃ διαγοῦν, ἢ ἐκεῖνο τὸ δύμορφον ὄψιν. κἂν ἴδῃς ὑβριζόμενον, καὶ φέροντα ἀδικούμενον, μετὰ τοῦ θαυμάζειν ἔρα τῶν τοιούτων, κἂν γεγηρακότες ὦσι. καὶ γὰρ τοιοῦτον τῆς ψυχῆς τὸ κάλλος, καὶ ἐν γήρᾳ πολλοὺς ἔχει τοὺς ἐραστὰς, καὶ οὐδέποτε μαραίνεται, ἀλλ' ἀνθεῖ διηνεκῶς. ἵν' οὖν καὶ αὐτοὶ τοῦτο κτησώμεθα, τοὺς ἔχοντας αὐτὸ θηρῶμεν, καὶ ἐρασταὶ τούτων γινώμεθα. οὕτω γὰρ καὶ αὐτοὶ σωσόμεθα ταύτην λαβόντες τὴν ἀμορφίαν, τῶν αἰωνίων σπιτυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς, καὶ φιλανθρωπίᾳ.

Λόγος, ή. Κεφ. δ'.

» Ἔχοντες οὖν τὴν διακονίαν ταύτην καθὼς ἠλεήθημεν, οὐκ ἐνκακοῦμεν, ἀλλ' ἀπειπάμε-
» θα τὰ κρυπτὰ τῆς αἰσχύνης. Ἐπειδὴ μεγάλα ἐφθέγξατο, καὶ μωϋσέως

ἑαυτὸν

ἑαυτὸν προύθηκε, καὶ τοὺς πιστοὺς πάντας, αὐξόμενος τῆς ὑπερβολῆς, καὶ τῷ μεγέθους τῶν εἰρημένων, ὅρα πῶς μετριάζει πάλιν. καὶ γὰρ ἐξαίρειν ἔδει διὰ τοὺς ψευδαποστόλους, καὶ τοὺς ἀκροατάς, καὶ πάλιν παραμυθεῖσθαι τὸν ὄγκον οὐκ ἀφαιρῶν. ὅπερ οὖν ποιῶν ἐπαίζοντος ἴσως. διόπερ ἑτέρως αὖ τὸ μεθοδεύει. τῷ δεικνύναι, ὅτι οὐκ ἐκ τῶν οἰκείων κατορθωμάτων γέγονεν, ἀλλ' ἐκ τῆς τοῦ θεοῦ φιλανθρωπίας τὸ πᾶν. διὸ καὶ φησὶν, ἔχοντες οὖν τὴν διακονίαν ταύτην. οὐδὲν γὰρ πλέον ἡμεῖς εἰσηνέγκαμεν, ἀλλ' ἢ διάκονοι μόνον ἐγενόμεθα, καὶ τοῖς παρὰ τοῦ θεοῦ δοθεῖσιν ὑπηρετήσαμεν. διόπερ οὐκεῖπε παροχήν, οὐδὲ χορηγίαν, ἀλλὰ διακονίαν. καὶ οὐδὲ τούτῳ ἠρέσθη, ἀλλ' ἐπήγαγε, καθὼς ἠλεήθημεν. καὶ γὰρ οὗτος αὐτόφησι τὸ διακονήσασθαι τούτοις, ἀπὸ ἐλέους, καὶ φιλανθρωπίας. καίτοιγε ἐλέους ἐστὶ τὸ κακῶν ἀπαλλάξαι, οὐχὶ τὸ καὶ τοσαῦτα δοῦναι ἀγαθά. ἀλλ' ὁ τοῦ θεοῦ ἔλεος, καὶ οὗτος ἔχει. οὐκέκακοῦμεν. καὶ οὗτος δὲ αὖ τῇ φιλανθρωπίᾳ λογιστέον. τὸ γὰρ καθὼς ἠλεήθημεν, καὶ ὑπὲρ τῆς διακονίας, καὶ ὑπὲρ τοῦ οὐκέκακοῦμεν εἰρῆσθαι νόμιξε. καὶ σκόπει πῶς συνδέξει τὰ καθ' ἑαυτὸν καθαιρεῖν. τὸν γὰρ τοιούτων ἀξιωθέντα φησὶ, καὶ τηλικούτων, καὶ ταῦτα ἀπὸ ἐλέους μόνον, καὶ φιλανθρωπίας, οὐδὲν μέγα τοιούτους ἐπιδείκνυσθαι πόνους, καὶ κινδυνεύειν, καὶ πειρασμοὺς ὑπομένειν. διὰ τοῦτο οὐ μόνον, οὐ καταπίπτομεν, ἀλλὰ καὶ χαίρομεν, καὶ παῤῥησιαζόμεθα. εἰπὼν γοῦν οὐκέκακοῦμεν, ἐπήγαγεν. Ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μὴ δὲ δολοῦντες τὸν λόγον τοῦ θεοῦ. Καὶ τί ὅτι τὰ κρυπτὰ τῆς αἰσχύνης; οὐκέπαγγελλόμεθα φησὶ, καὶ ὑπισχνούμεθα μεγάλα, καὶ ἕτερα δὲ ὧν τῶν ἔργων δείκνυμεν καθάπερ ἐκεῖνοι. διὸ καὶ ἔλεγε, τὰ κατὰ πρόσωπον βλέπετε. ἀλλὰ τοιοῦτοι ἐσμὲν οἷοι ὁρώμεθα, οὐχὶ διπλόην τινὰ ἔχοντες, οὔτε τοιαῦτα λέγοντες, καὶ ποιοῦντες ἃ κρύπτειν δεῖ, καὶ συσκιάζειν αἰσχυνομένους, καὶ ἐρυθριῶντας. καὶ οὗτος ἑρμηνεύων, ἐπήγαγε, μὴ περιπατοῦντες ἐν πανουργίᾳ. ὁ γὰρ ἐνόμιζον ἐγκώμιον εἶναι ἐκεῖνοι, οὗτος αἰσχρὸν, καὶ καταγέλαστον ἀποφαίνει. τί δέ ἐστιν ἐν πανουργίᾳ; δόξαν εἶχον μὴ λαμβανόντων ἐκεῖνοι, ἐλάμβανον δὲ καὶ ἔκρυπτον. δόξαν εἶχον ἁγίων, καὶ ἀποστόλων δυνάμεων, ἦσαν δὲ μυρίων γέμοντες κακῶν. ἀλλ' ἡμεῖς φησὶ τούτοις ἀπειπάμεθα. ταῦτα γὰρ καὶ κρυπτὰ αἰσχύνης καλεῖ. τοιοῦτοι ὄντες οἷοι φαινόμεθα, καὶ οὐδὲν ἔχοντες συνεσκιασμένον, καὶ οὐκεν τῷ βίῳ μόνον τούτῳ, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ κηρύγματι. οὗτος γάρ ἐστιν οὐδὲ δολοῦντες τὸν λόγον τοῦ θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας, οὐ τῷ προσώπῳ, καὶ τῇ ἐπιδείξει, ἀλλ' αὐτῇ τῇ τῶν πραγμάτων ἀποδείξει. Συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων. Οὐ γὰρ πιστοῖς μόνον, ἀλλὰ καὶ ἀπίστοις ἐσμὲν καταδηλοι, προκείμενοι πᾶσιν εἰς τὸ βασανίσαι τὰ ἡμέτερα, ὡς αὐ ἐθέλοιεν. καὶ ἀπὸ τούτου συνίσταμεν ἑαυτοὺς, οὐκ ἀπὸ τοῦ ὑποκρίνεσθαι, καὶ προσωπεῖον περιφέρειν φαιδρόν. λέγομεν οὖν μηδὲν λαμβάνειν, καὶ μάρτυρας ὑμᾶς καλοῦμεν. λέγομεν μηδὲν συνειδέναι ἑαυτοῖς πονηρὸν, καὶ τούτου πάλιν τὴν μαρτυρίαν παρ' ὑμῶν ἔλκομεν, οὐ καθάπερ ἐκεῖνοι συσκιάζοντες τὰ καθ' ἑαυτοὺς, πολλοὺς ἀπατῶσιν. ἡμεῖς δὲ καὶ τὸν βίον ἡμῶν πᾶσιν εἰς μέσον προτίθεμεν, καὶ τὸ κήρυγμα ἀπογυμνοῦμεν, ὥστε πάντας αὐτὸ κατὰ μανθάνειν. εἶτα ἐπειδὴ οἱ ἄπιστοι ἠγνόουν αὐτοῦ τὴν ἰσχὺν, ἐπήγαγεν. ὅπου οὐχ ἡμῶν τὸ ἔγκλημα,

ἀλλὰ

» ἀλλὰ τῆς ἐκείνων ἀναισθησίας. διὸ καὶ φησίν. Εἰ δὲ καὶ ἐστὶ κεκαλυμμένον τὸ εὐαγγέ-
» λιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον, ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλω
» σε τὰ νοήματα τῶν ἀπίστων. Ὅπερ καὶ ἔμπροσθεν εἶπεν. οἷς μὲν, ὀσμὴ θανάτου εἰς
θάνατον. οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν, οὗτος καὶ ἐνταῦθα φησί. τί δέ ἐστιν ὁ θεὸς τοῦ αἰῶνος
τούτου; οἱ μὲν τὰ μανιώνως νοσοῦντες, λέγουσι περὶ τοῦ δημιουργοῦ τοῦ δικαίου μόνον,
καὶ οὐκ ἀγαθοῦ, ταῦτα εἰρῆσθαι. λέγουσι γὰρ εἶναί τινα θεὸν δίκαιον, καὶ οὐκ ἀγαθόν.
μανιχαῖοι δέ φασι τὸν διάβολον ἐνταῦθα λέγεσθαι, ἐκ τούτου δημιουργὸν τῆς κτίσεως, ἕτε
ρον ἐωσεισαγαγεῖν παρὰ τὸν ὄντα βουλόμενοι σφόδρα ἀνοήτως. οἱ δὲ μὲν γὰρ πολλαχοῦ ἡ
γραφὴ θεὸν καλεῖ, οὐκ ἀπὸ τῆς ἀξίας τοῦ καλουμένου, ἀλλ' ἀπὸ τῆς ἀσθενείας τῶν ὑ-
ποτασσομένων. ὡς ὅταν τὸν μαμωνᾶν, κύριον λέγῃ, καὶ τὴν κοιλίαν θεὸν, ἀλλ' οὐ παρὰ
τοῦτο, οὔτε ἡ κοιλία θεὸς, οὔτε ὁ μαμωνᾶς κύριος, ἀλλ' ἐκείνων τῶν ὑποκατακλινόντων
ἑαυτούς. ἡμεῖς δὲ ἐκεῖνο φαμὲν, ὅτι οὔτε περὶ τοῦ διαβόλου τοῦτο εἴρηται, ἀλλὰ τοῦ τῶν
ὅλων θεοῦ. καὶ οὕτως ἀναγνωστέον, ὅτι τῶν ἀπίστων τοῦ αἰῶνος τούτου, ἐτύφλωσεν ὁ θς
τὰ νοήματα. ὁ γὰρ μέλλων, οὐκ ἔχει ἀπίστους, ἀλλ' ὁ παρὼν μόνος. εἰ δὲ καὶ ἑτέρως τις ἀ-
ναγινώσκει, οἷον ὅτι ὁ θεὸς τοῦ αἰῶνος τούτου, οὐδὲ τοῦτο ἔχει τινὰ λαβεῖν. οὐ γὰρ τοῦτο
δείκνυσιν αὐτὸν τοῦτον μόνον ὄντα τοῦ αἰῶνος θεόν. καὶ γὰρ ὁ θεὸς, οὐρανοῦ λέγεται, ἀλ
λ' οὐκ ἔστιν οὐρανοῦ μόνον. καὶ ὁ θεὸς τῆς παρουσίας ἡμέρας λέγομεν, καὶ οὐκεῖς ἐκείνῃ μό-
νῃ συγκλείοντες αὐτοῦ τὴν ἀρχὴν, τοῦτο φαμέν. καὶ ὁ θεὸς δὲ ἀβραὰμ λέγεται, καὶ ὁ
θεὸς ἰσαὰκ, καὶ ὁ θεὸς ἰακὼβ, καὶ οὐκ ἐκείνων μόνον ἐστὶ θεός. καὶ πολλαχοῦ αὖτις, καὶ ἑτέ-
ρωσι τοιαύτας ἐν ταῖς γραφαῖς εὕροι μαρτυρίας. πῶς οὖν ἐτύφλωσεν. οὐκ ἐνεργήσας εἰς
τοῦτο; ἄπαγε, ἀλλ' ἀφεὶς, καὶ συγχωρήσας. καὶ γὰρ ἔθος τῇ γραφῇ οὕτως λέγειν, ὡς ὅ-
ταν λέγῃ. παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν. ἐπειδὴ γὰρ αὐτοὶ ἠπίστησαν πρῶ-
τοι, καὶ ἀνάξιους ἑαυτοὺς κατεσκεύασαν τοῦ ἰδεῖν τὰ μυστήρια, καὶ αὐτὸς λοιπὸν εἴα-
σεν. ἀλλὰ τί ἔδει ποιῆσαι; πρὸς βίαν ἕλκειν, καὶ ἐκκαλύπτειν, μὴ βουλομένοις ἰδεῖν;
» ἀλλὰ μᾶλλον αὐ κατεφρόνησαν, καὶ οὐδ' αὖ εἶδον. διὸ καὶ ἐπήγαγεν. Εἰς τὸ μὴ αὐ-
» γάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ χριστοῦ. Οὐ πρὸς τὸ ἀπιστῆ-
σαι τῷ θεῷ, ἀλλὰ πρὸς τὸ τὴν ἀπιστίαν, μὴ ἰδεῖν τινὰ ὅτι τὰ ἔνδον. ὃ καὶ ἡμῖν ἐπέταξε,
μὴ ῥίπτειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων πελάζοντας. εἰ γὰρ καὶ ἀπιστοῦσιν ἐξεκά-
λυψε, μᾶλλον αὖ ἡ νόσος αὐτῶν ἐπετρέβη. καὶ γὰρ εἰ ὀφθαλμιῶντα τις ἀναγκάσειε
πρὸς τὰς ἀκτῖνας ἰδεῖν, ἐπιτείνει μᾶλλον αὐτοῦ τὴν ἀσθένειαν. διαβλέπε, καὶ ἐν σκό-
τει κατακλείουσιν αὐτοὺς ἰατρῶν ὠδῖνες, ὥστε μὴ ἐπιτρέψαι τὸ νόσημα. οὕτω τοίνυν,
καὶ ἐνταῦθα νοητέον, ὅτι οὗτοι μὲν γεγόνασιν ἄπιστοι δι' ἑαυτούς, γενόμενοι δὲ ἄπιστοι, οὐ-
κέτι ἑώρων τὰ ἀπόῤῥητα τοῦ εὐαγγελίου, τοῦ θεοῦ λοιπὸν ἀποκλείοντος τὰς ἀκτῖνας
αὐτοῖς. ὅπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν. ὅτι διαβλέπε ἐν παροιμίαις λαλῶ αὐτοῖς, ὅτι
ἀκούοντες, οὐκ ἀκούουσιν. ἵνα δὲ καὶ τοῦτο παραδείγματος σαφέστερον ὃ λέγω γένηται, ὑπόθου τι-
νὰ ἕλληνα εἶναι μύθους τὰ ἡμέτερα ἡγούμενον, οὕτως οὖν πῶς ὠφεληθήσεται μηδὲν εἰσελθών,
καὶ ἰδὼν τὰ μυστήρια, ἢ ἔξω μένων; διαβλέπε ἕνεκα τοῦ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν, ἐπι
μένων ἐπὶ τῆς ἰδιοτείας μωρίας. ὅπερ γὰρ πρὸς ἰουδαίους γέγονεν ἐπ' ἐκείνου, διαβλέπε καὶ πάντων

τῶν ἀπίστων

τῶν ἀπίστων γίνεται διὰ τὸ εὐαγγελίου. καὶ τί ὅτι τὸ σωθησόμενον, καὶ ὅπερ αὐτοῖς οὐκ
» ὅτι σεφωτισμένον, ἀκουσον αὐτὸ λέγοντος. Εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τὸ
» εὐαγγελίου τῆς δόξης τὸ χυ, ὅς ὅστιν εἰκὼν τὸ θυ. Οἷον ὅπου ὁ σαυρὸς, τῆς οἰκουμένης σω
τηρία, καὶ αὐτὸ δόξα, ὅπου αὐτὸς οὗτος ὁ σαυρωθεὶς, μετὰ πολλῆς περιφανείας μέλλει πα
ραγίνεσθαι τὰ ἄλλα πάντα, τὰ παρόντα, τὰ μέλλοντα, τὰ ὁρώμενα, τὰ οὐχ ὁρώμενα, ἡ ἀ-
πόῤῥητος τῶν προσδοκωμένων περιφάνεια. διὸ καὶ αὐγάσαι εἶπεν, ἵνα μὴ τὸ ὅλον ἐν τού-
τοις ζητῆς. ὥσπερ γὰρ αὐγὴ τίς ὅστι μόνον τὸ πνεύματος ἡ δεδομένη. οὕτω γοῦν, καὶ αὐτὸ τε-
ρῶ δηλῶν, ὁμοίως εἶπε, καὶ πάλιν ἀῤῥαβῶνα, δεικνὺς ὅτι τὸ πλέον ἐκεῖ μένει, ἀλλ' ὅμως τού-
τοις ἅπαντα κέκρυπται αὐτῶν, κέκρυπται δὲ ὅπερ δὴ καὶ πίστησαν πρότεροι. εἶτα δεικνὺς,
ὅτι οὐχὶ τὴν τὸ χριστοῦ δόξαν ἀγνοοῦσι μόνον, ἀλλὰ καὶ τὴν τὸ πατρὸς· οἱ τοιαύτην οὐκ ἀδόν
τες, ὅπήγαγεν. ὅς ὅστιν εἰκὼν τὸ θεοῦ. μὴ γὰρ μέχρι τὸ χριστοῦ σῆς μόνον. ὥσπερ γὰρ διὰ τού-
» του τὸν πατέρα ὁρᾷς, οὕτως ἀγνοήσας τὴν τούτου δόξαν, οὐδὲ τὴν ἐκείνου εἴσῃ. Οὐ γὰρ
» ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ χριστὸν ἰησοῦν κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ ἰησοῦ.
Καὶ ποία αὖ πάλι ἀκολουθία; τί ὅστε πρὸς τὰ εἰρημένα ἔχει κοινόν; ἢ ἐκείνους αἰνίττεται, ὡς
ἐθαύροντας ἑαυτούς, καὶ οἰομένους τοὺς μαθητὰς ἀπ' αὐτῶν αὐτοὺς ὀνομάζειν; ὅπερ ἐν
τῇ προτέρᾳ ἔλεγεν, ἐγὼ εἰμὶ παύλου, ἐγὼ δὲ ἀπολλώ, ἢ ἕτερόν τι βαρύτατον; ποῖον δὴ τοῦ-
το; ὅτι δὴ σφόδρα αὐτοὺς ἐπολέμουν, καὶ ὅτι βουλόμενον αὐτοῖς πάντοθεν. μὴ γὰρ ἡμῶν
μάχεσθε φησὶ, καὶ πολεμεῖτε, τῷ δι' ἡμῶν κηρυττομένῳ; οὐ γὰρ ἑαυτοὺς κηρύττομεν, ἐγὼ δοῦ
λος εἰμὶ, ἐγὼ διάκονος εἰμὶ, καὶ τῶν δεχομένων τὸ κήρυγμα, ἕτερῳ πάντα πραγματευόμε-
νος, καὶ ὑπὲρ τῆς ἐκείνου δόξης πᾶν ὁτιοῦν ποιῶν, ὥστε ἐμοὶ πολεμῶν, τὰ ἐκείνου καταβάλ-
λεις. τοσοῦτον γὰρ ἀπέχω εἰς ἐμαυτὸν περισπᾶσαι τῶν τὸ εὐαγγελίου, ὅπου καὶ ὑμῶν οὐ πα-
ραιτήσομαι εἶναι δοῦλος διὰ τὸν χριστὸν, ὅπερ δὴ ἐκείνῳ ἔδοξεν, οὕτω ζημῶσαι ὑμᾶς, ὅπερ δὴ
οὕτως ὑμᾶς ἐφίλησε, καὶ πάντα ὑπὲρ ὑμῶν ἔπραξε. διὸ καὶ λέγει, ἑαυτοὺς δὲ δούλους ὑ-
μῶν διὰ χριστόν. εἶδες ψυχὴν δόξης καθαρᾶς; οὐ γὰρ δὴ μόνον φησὶ τῶν δεσποτικῶν, οὐδὲν
» νοσφιζόμενος, ἀλλὰ καὶ ὑμῖν ἑαυτοὺς ὑποτάσσομεν δι' ἐκεῖνον. Ὅτι ὁ θεὸς ὁ εἰπὼν ἐκ σκότους
» φῶς λάμψαι, ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν. Εἶδες πῶς πάλιν τοῖς ζητοῦσι τὴν δό
ξαν ἐκείνῳ ἰδεῖν τὴν ὑπερβάλλουσαν, τὴν μωσέως λέγω, δεικνυσι μετὰ προθυμίας ἀφαι-
ρουσαν; καθάπερ εἰς τὸ πρόσωπον μωϋσέος, οὕτως εἰς τὰς ὑμετέρας καρδίας ἔλαμψε
φησί. καὶ πρότερον ἀναμιμνήσκει τῶν ἐν ἀρχῇ τῆς κτίσεως γενομένων αὐθεντικὸς φωτὸς, καὶ
σκότους αὐθεντικὸς, δεικνὺς ὅτι αὕτη μείζων ἡ δημιουργία. καὶ που εἶπεν ἐκ σκότους φῶς λάμ
ψαι. ἐν ἀρχῇ, καὶ ἐν προοιμίοις τῆς κτίσεως. σκότος γὰρ ἰωφησιν ἐπάνω τῆς ἀβύσσου. καὶ
εἶπεν ὁ θεὸς, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. ἀλλὰ τότε μὲν εἶπε γενηθήτω, καὶ ἐγένετο. νῦν
δὲ οὐκ εἶπεν, ἀλλ' αὐτὸς ἡμῖν γέγονε φῶς. οὐ γὰρ εἶπεν, ὅτι καὶ νῦν εἶπεν, ἀλλ' αὐτὸς ἔλαμψε.
διὰ τὸ οὐδὲ αἰσθητὰ πράγματα ὁρῶμεν τὸ φωτὸς λάμποντος τούτου, ἀλλ' αὐτὸν τὸν θεὸν
διὰ τὸ χυ. ὁρᾷς τὸ ἀπαράλλακτον τῆς τριάδος; πδὶ μὲν γὰρ τὸ πνεύματος φησίν. ἡμεῖς δὲ
πάντες ἀνακεκαλυμμένῳ προσώπῳ; τὴν δόξαν κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰ-
κόνα μεταμορφούμεθα, ἀπὸ δόξης εἰς δόξαν καθάπερ ἀπὸ κυρίου πνεύματος. πδὶ δὲ
τὸ γοῦν, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τὸ εὐαγγελίου τῆς δόξης τὸ χριστοῦ, ὅς ὅστιν

» εἰκὼν τ̃ θ̃υ, πρὶ δὲ τ̃ πατρός. Ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ἔλαμψεν ἐν ταῖς
» καρδίαις ὑμῶν, πρὸς φωτισμὸν τ̃ς γνώσεως τ̃ς δόξης τ̃ θ̃υ ἐν προσώπῳ χ̃υ. Ὥσπερ
γὰρ εἰπὼν τ̃ εὐαγγελίου τ̃ς δόξης τ̃ χ̃υ, ἐπήγαγεν ὅς ἐστιν εἰκὼν τ̃ θ̃υ, δεικνὺς ὅτι καὶ τ̃ς
ἐκείνου δόξης ἀπεστράφησαν, οὕτως εἰπὼν τ̃ς γνώσεως τ̃ θεοῦ, ἐπήγαγεν, ἐν προσώπῳ
χ̃υ, δεικνὺς ὅτι διὰ τούτου τὸν πατέρα γνώσομεν, ὥσπερ οὖν καὶ διὰ τ̃ πνεύματος αὐτῷ
» προσαγόμεθα. Ἔχομεν δὲ τὸν θησαυρὸν τ̃τον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ
» τ̃ς δυνάμεως ᾖ τ̃ θ̃υ, καὶ μὴ ἐξ ἡμῶν. Ἐπειδὴ γὰρ πολλὰ καὶ μεγάλα εἶπε περὶ τ̃ς
ἀποῤῥήτου δόξης, ἵνα μήτις λέγῃ, καὶ πῶς τοσαύτης δόξης ἀπολαύοντες μένομεν ἐν θνητῷ
σώματι, φησὶν ὅτι τ̃το μὲν οὖν αὐτὸ μάλιστα ἐστὶ τὸ θαυμαστὸν, καὶ δεῖγμα μέγιστον τ̃ς τοῦ
θεοῦ δυνάμεως, ὅτι σκεύους ὀστρακίνου, τοσαύτην ἐδυνήθη λαμπρότητα ἐνεγκεῖν, καὶ τη-
λικοῦτον φυλάξαι θησαυρόν. ὅπερ οὖν καὶ τὸ θαυμάζων, ἔλεγεν, ἵνα ἡ ὑπερβολὴ τ̃ς δυ-
νάμεως ᾖ τ̃ θεοῦ, καὶ μὴ ἡμῶν. πάλιν ἐκείνους αἰνιττόμενος τοὺς καυχωμένους ἐφ' ἑαυτοῖς.
τότε γὰρ μέγεθος τῶν δοθέντων τό τε ἀσθενὲς τῶν δεξαμένων, δείκνυσι τιθεὶς χωὺ, οὐχ ὅτι με
γάλα ἐχαρίσατο μόνον, ἀλλ' ὅτι καὶ μικροῖς οὖσι. τὸ γὰρ ὀστράκινον, τὸ δύφθαρτον τ̃ς θνη-
τ̃ς φύσεως αἰνιττόμενος, ἔλεγε, καὶ τὸ τ̃ς σαρκὸς ἡμῶν ἀσθενὲς ἐμφαίνων. ὀστράκου γὰρ ἄ-
μεινον οὐδὲν αὕτη διάκειται, οὕτως ἐστὶν εὐεπιρέαστος, καὶ θανάτῳ, καὶ νόσοις, καὶ ἀέρων
ἀνωμαλίαις, καὶ ἑτέροις μυρίοις διαλυομένη ῥᾳδίως. ταῦτα δὲ ἔλεγε, καὶ καταγέλωνε-
κείνων τὸ φύσημα, καὶ πᾶσι δεικνὺς, ὅτι οὐδὲν ἀνθρώπινον τῶν καθ' ἡμᾶς. καὶ γὰρ τότε μά-
λιστα διαφαίνεται ἡ τ̃ θεοῦ δύναμις, ὅταν δι' ὐτελῶν ἐνεργῇ μεγάλα. διὸ καὶ ἀλλαχοῦ
ἔλεγεν. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται, καὶ ἐν τῇ παλαιᾷ δὲ διδ̃ κωνώπων, καὶ
μυιῶν, ὁλόκληρα στρατόπεδα βαρβάρων ἐτρέψατο. διὸ καὶ μεγάλῳ δύναμιν αὐτ̃ τὸ τιὼ
κάμπην ἐκάλει. καὶ ἐν ἀρχῇ γλώττας συγχέων μόνον, τὸν μέγαν τῦργον ἐκεῖνον τὸν ἐν βαβυ-
λῶνι κατέλυε. καὶ ἐν τοῖς πολέμοις δὲ νῦν μὲν διὰ τριακοσίων ἀπείρα στρατόπεδα ἔλαυ-
σε. νῦν δὲ διὰ σαλπίγγων πόλεις καθεῖλε. μετὰ δὲ ταῦτα διὰ παιδίου μικροῦ, καὶ δυ-
τελοῦς τ̃ δαβὶδ, ἅπασαν τῶν βαρβάρων τιὼ παράταξιν ἐτρέψατο, οὕτω δὴ καὶ ἐν-
ταῦθα δώδεκα μόνους ἀποστόλους, τ̃ς οἰκουμένης περιεγένετο, δώδεκα, καὶ τούτους ἐλαυ
νομένους πολεμουμένους. Η' θικόν.

Ε' κπλαγῶμεν οὖν τ̃ θεοῦ τιὼ δύναμιν, θαυμάσωμεν, προσκυνήσωμεν, ἐρωτήσωμεν Ἰουδαίους, ἐρωτήσωμεν Ἕλληνας, τίς ἔπεισε τιὼ οἰκουμένῳ ἅπασαν ἀποθέσθαι τῶν πατρίων ἐθῶν, καὶ πρὸς ἑτέραν μετατάξασθαι πολιτείαν; ὁ ἁλιεύς; ἢ ὁ σκηνοποιός, ὁ τελώνης, ἢ ὁ ἀ-
γράμματος, καὶ ἰδιώτης. καὶ πῶς αὖ ἔχει ταῦτα λόγον, εἰ μὴ θεία δύναμις ἦν ἡ πάντα κα
τορθοῦσα δι' ἐκείνων. τί δὲ καὶ λέγοντες ἔπεισαν ἐκεῖνοι, βαπτίσθητε ἐν τῷ ὀνόματι τ̃ θαυ
μαστοῦ τ̃ς. ποίους; οὐκ εἰδον, οὐδὲ ἐθεάσαντο. ἀλλ' ὅμως ταῦτα λέγοντες, καὶ κηρύττοντες,
ἔπεισαν, ὅτι οἱ μὲν μαντευόμενοι, καὶ ἐκ προγόνων αὐτοῖς παραδοθέντες, οὐκέτι θεοί. ὁ δὲ
προσηλωθεὶς οὗτος χ̃ς, πάντας ἐφείλκυσε. καίτοιγε ὅτι μὲν ἐταφη, παντὶ
που δῆλον ἦν, ὅτι δὲ ἀνέστη, οὐδεὶς πλὴν ὀλίγων εἶδον, ἀλλ' ὅμως τ̃ λόγῳ ἔπεισαν τοὺς οὐχ
ἑωρακότας, καὶ οὐχ ὅτι ἀνέστη μόνον, ἀλλ' ὅτι καὶ εἰς οὐρανοὺς ἀνῆλθε, καὶ ἔρχεται κρῖναι
ζῶντας, καὶ νεκρούς. πόθεν οὖν τὸ πιθανὸν τοῖς λόγοις τούτοις εἰσέρρει; οὐδαμόθεν ἄλλοθεν,

ἀλλ' ἀπὸ

ἀλλ' ἀπὸ τῆς τοῦ θεοῦ δυνάμεως. καὶ γὰρ πρῶτον αὐτὴ ἡ καινοτομία πᾶσι προσῆκε τὸ, ὅταν τε, μὴ τοιαῦτα τις καινοτομῇ, χαλεπώτερον τὸ πρᾶγμα γίνεται, ὅταν ἀναμοχλεύῃ παλαιὰ σωτηρίας, τὰ μέλια, ὅταν ἐκβάθρων αἴρῃ νόμους. πρὸς δὲ τούτοις, οὐδὲ ἡ κήρυκες ἀξιόπιστοι εἶναι ἐδόκουν, ἀλλὰ καὶ ἔθνος παρὰ πᾶσι μεμισημένον, καὶ δειλοί, καὶ ἀμαθεῖς. πόθεν οὖν περιεγένοντο τῆς οἰκουμένης; πόθεν ὑμᾶς καὶ τοὺς ὑμετέρους προγόνους τοὺς δοκοῦντας φιλοσοφεῖν, μὴ τῶν θεῶν αὐτῶν ἐξέβαλον; οὐκοῦν δῆλον ὅτι ἀπὸ τοῦ τὸν θεὸν ἔχειν μεθ' ἑαυτῶν; οὐδὲ γὰρ ἔνι ζῶντα ἀνθρωπίνης δυνάμεως κατορθώματα, ἀλλὰ θείας τινὸς, καὶ ἀπορρήτου. οὐ χάφησιν, ἀλλὰ γοητείας, οὐκοῦν ἀνεκτέον ἐστὶ τὴν τῶν δαιμόνων ἀρχήν, μὴ ὅτι τὰ δαίμονα τὴν τῶν εἰδώλων θεραπείαν. πῶς οὖν κατῄρηται, καὶ ἠφάνισται, καὶ ἀσθενακία ἐκείνοις τὰ ἡμέτερα; ὥστε καὶντεῦθεν δῆλον, ὅτι τοῦ θεοῦ ψῆφος ἐστὶ τὰ γινόμενα, οὐκ ἀπὸ τοῦ κηρύγματος μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πολιτείας αὐτῆς. πότε γὰρ παρθενία τοσαύτη παντα χοῦ τῆς γῆς ἐφυτεύθη; πότε χρημάτων ὑπεροψία, καὶ ξωῆς, καὶ τῶν ἄλλων ἁπάντων; οἱ γὰρ μοχθηροὶ, καὶ γόητες, οὐδὲν τοιοῦτον ἐνύσαμεν, ἀλλὰ τἀναντία ἅπαντα. οὗτοι δὲ ἀγγέλων ἡμῖν εἰσηγήσαντο πολιτείαν, οὐκ εἰσηγήσαντο δὲ μόνον, ἀλλὰ καὶ κατώρθωσαν, ἐν τῇ ἡμετέρᾳ, ἐν τῇ τῶν βαρβάρων ἐν αὐτοῖς, τῆς γῆς τοῖς ἐσχατιαῖς. ὅθεν δῆλον ὅτι πάντα ἡ τοῦ παντοκράτορος δύναμις ἰῶσιν, ἡ παντοκράτορος λάμπουσα, μὴ ἀφραπῆς ἀπάσης ὀξύτερον τὰς τῶν ἀνθρώπων καταυγάζουσα διανοίας. ταῦτ' οὖν ἅπαντα λογισάμενοι, καὶ τῆς τῶν μελλόντων ὑποχέσεως τὰ γεγενημένα λαβόντες ἀπόδειξιν ἐναργῆ, προσκυνήσατε μεθ' ἡμῶν τὸν ἄμαχον τοῦ σταυρωθέντος ἰσχύν, ἵνα καὶ τὰς ἀφορίζους φύγητε πολάσεις, καὶ τῆς αἰωνίου βασιλείας ἐπιτύχητε. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, θ'.

» Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι, ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι, διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι. Ἔπι μένει δεικνὺς, ὅτι τῆς τοῦ θεοῦ δυνάμεως ἔργον τὸ πᾶν ὅτι, καταστέλλων ἐκείνων τὰ φρονήματα τῶν καυχωμένων ἐφ' ἑαυτοῖς. οὐδὲ γὰρ ἔστιν μόνον ἐφ' ἡμῖν θαυμαστὸν, ὅτι ἐν ὀστρακίνοις σκεύεσι φυλάττομεν τὸν θησαυρὸν τοῦτον, ἀλλ' ὅτι, καὶ μυρία πάσχοντες δεινὰ, καὶ πανταχοῦ περικρυπτόμενοι, πιεζούμεν αὐτὸν, καὶ οὐκ ἀπολλύμεν. καίτοι εἰ καὶ ἀδαμάντινον σκεῦος ἦν, οὔτε θησαυρὸν τοσοῦτον βαστάσαι ἴσχυσεν αὖ, οὐδ' αὖ πρὸς τοσαύτας ἤρκησεν ἐπιβουλάς. νῦν δὲ καὶ φέρει, καὶ οὐδὲν πάσχει δεινὸν. διὰ τί τὸ θεοῦ χάριν. ἐν παντὶ γὰρ θλιβόμενοι φησὶν, ἀλλ' οὐ στενοχωρούμενοι. πῇ ὄντιν ἐν παντί; ἐν τοῖς ἐχθροῖς, ἐν τοῖς φίλοις, ἐν τοῖς ἀναγκαίοις, ἐν ταῖς ἄλλαις χρείαις, ὑπὸ τῶν πολεμίων, ὑπὸ τῶν οἰκείων. ἀλλ' οὐ στενοχωρούμεθα. καὶ ὅρα πῶς πράγματα ἐναντία λέγει, ἵνα καὶντεῦθεν δείξῃ τοῦ θεοῦ τὴν ἰσχύν. θλιβόμενοι γὰρ οὐ στενοχωρούμεθα φησὶν, ἀπορούμενοι, οὐκ ἐξαπορούμεθα. τουτέστιν οὐκ εἰς τέλος ἐκπίπτομεν. ἀλγοῦμεν γὰρ πολλαχοῦ, καὶ ἀποτυγχάνομεν, ἀλλ' οὐχ οὕτως, ὥστε ἐκπεσεῖν τῶν προκειμένων. εἰς γυμνασίαν γὰρ ὑμῶν ταῦτα, οὐκ εἰς ἦπαν συγκεχώρηται παρὰ τοῦ θεοῦ. » Διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι, καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. Οἱ μὲν γὰρ πειρασμοὶ συμβαίνουσι, τὰ δὲ ἀπὸ τῶν πειρασμῶν, οὐκέτι. καὶ ἔστιν δὲ ἰδεῖν τὴν τοῦ θεοῦ δύναμιν, καὶ χάριν. ἀλλαχοῦ δὲ φησὶ, καὶ ἰδεῖν τὴν αὐτῶν ταπεινοφροσύνην, καὶ ἰδεῖν τὴν ἑτέρων ἀσφάλειαν συγκεχω-

ρῆσθαι ταῦτα· ἵνα γὰρ μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ φησί· καὶ πάλιν ἵνα μὴ τις λογίσηται εἰς ἐμὲ ὑπὲρ ὃ βλέπει, καὶ ἀκούει τί ἐξ ἐμοῦ· μὴ ἀλλαχοῦ πάλιν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς· ἐν ταῦθα μέν τοι, ἵνα φανῇ τὸ θεῖον ἡ δύναμις· ὁρᾷς ὅσον τῶν πειρασμῶν τὸ κέρδος; καὶ γὰρ τὸ θεῖον τὴν δύναμιν ἐδείκνυ, καὶ τὴν χάριν ἀπεκάλυπτε μείζονος· ἀρκεῖ γάρσοι ἡ χάρις μου φησί· καὶ εἰς ταπεινοφροσύνην ἤλειφε, καὶ τοὺς ἄλλους καταγέλλεσθαι παρεσκεύαζε, καὶ αὐτοὺς καρτερικωτέρους εἰργάζετο· ἡ γὰρ ὑπομονὴ φησι δοκιμὴν κατεργάζεται, ἡ δὲ δοκιμὴ, ἐλπίδα· οἱ γὰρ μυρίοις περιπεσόντες κινδύνοις, καὶ ἐκ τῆς εἰς τὸν θεὸν ἐλπίδος ἀνενεγκόντες, ἐπαύοντο ταύτης ἔχεσθαι σπουδῆς πλεῖον ἐν πᾶσι. Γαύτοτε τὴν νέκρωσιν τοῦ κυρίου ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ ἰησοῦ φανερωθῇ ἐν τῷ σώματι ἡμῶν. Καὶ τί θέλει ἡ νέκρωσις τοῦ κυρίου ἰησοῦ ἵνα περιφέρωμεν; οἱ θάνατοι οἱ καθημερινοί, δι' ὧν καὶ ἡ ἀνάστασις ἐδείκνυτο. εἰ γάρτις ἀπιστεῖ φησιν, ὅτι ἀπέθανεν ἰησοῦς, μὴ ἀνέστη, ἡμᾶς ὁρῶν τοὺς καθ' ἑκάστην ἡμέραν ἀποθνήσκοντας, καὶ ἀνισταμένους, πεισθήτω λοιπὸν τῇ ἀναστάσει. εἶδες πῶς καὶ ἑτέραν αἰτίαν εὕρηκε τῶν πειρασμῶν; ποίαν δὴ ταύτην; ἵνα καὶ ἡ ζωὴ αὐτοῦ φανερωθῇ ἐν τῷ σώματι ἡμῶν φησι, τῷ ἐξαρπάζειν ἡμᾶς τῶν κινδύνων· ὥστε τοῦτο ὁ δοκεῖ ἀδυνατεῖσθαι εἶναι, καὶ ἐγκαταλήψεως, τοῦτο αὐτοῦ κηρύττει τὴν ἀνάστασιν. οὐ γὰρ αὖ οὕτως ἔφαινε μηδὲν παθόντων ἡμῶν ἀνδρὸς, ἡ δύναμις ἡ ἐκείνου, ὡς νῦν δείκνυται· παθόντων μὲν οὐ νικωμένων δέ. Καὶ γὰρ ἡμεῖς οἱ ζῶντες, εἰς θάνατον παραδιδόμεθα διὰ ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ ἰησοῦ, φανερωθῇ ἐν ἡμῖν ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Γαυταχοῦ γὰρ ὅταν τι ἀσαφὲς εἴπῃ, ἑαυτὸν ἑρμηνεύει πάλιν· ὃ δὴ καὶ ἐν τούτοις ἐποίησε. δῆλον ὅπερ εἶπον ἑρμηνεύων σαφῶς· διατοῦτο γὰρ παραδιδόμεθα φησὶ τούτέστι τὴν νέκρωσιν περιφέρομεν, ἵνα ἡ δύναμις αὐτοῦ τῆς ζωῆς φανῇ· μὴ συγχωροῦντος σαρκὶ θνητῇ τοσαῦτα πάσχουσαν, ὑπὸ τῆς νικώσης τῶν κακῶν νικηθῆναι· καὶ ἑτέρως δὲ αὖ τὸ εἰλικρινέστερον· πῶς; ὡς ἀλλαχοῦ φησὶν, εἰ σωθησόμεθα θανόντες, καὶ συζήσομεν· ὡς περ γὰρ τὸν θάνατον αὐτοῦ ὑπομένομεν νῦν, καὶ αἴρουμεθα ζῶντες ἀποθανεῖν δι' αὐτὸν, οὕτω καὶ αὐτὸς αἴρήσεται ἀποθανόντας ζωογονῆσαι τότε· εἰ γὰρ ἡμεῖς ἀπὸ ζωῆς εἰς θάνατον ἐρχόμεθα, καὶ αὐτὸς ἀπὸ θανάτου, εἰς ζωὴν ἡμᾶς χειραγωγήσει. Ὥστε ὁ θάνατος ἐνεργεῖται ἐν ἡμῖν, ἡ δὲ ζωὴ ἐν ὑμῖν. Οὐκέτι περὶ τοῦ θανάτου λέγων, ἀλλὰ περὶ πειρασμῶν, καὶ ἀνέσεως· ἡμεῖς μὲν γὰρ ἐν κινδύνοις, καὶ ἐν πειρασμοῖς φησιν, ὑμεῖς δὲ ἐν ἀνέσει, τὴν ἐκ τούτων τῶν κινδύνων καρπούμενοι ζωήν· καὶ τὰ μὲν ἐπικίνδυνα ἡμεῖς ὑπομένομεν, τῶν δὲ χρηστῶν ὑμεῖς ἀπολαύετε· οὐ γὰρ ἐπὶ σοὺς ὑπομένετε πειρασμούς. Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον, ἐπίστευσα διὸ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν· ὅτι ὁ ἐγείρας τὸν κύριον ἰησοῦν, καὶ ἡμᾶς διὰ ἰησοῦ ἐγερεῖ. Ἀνέμνησεν ἡμᾶς θαλαμοῦ πολλῶν ἐχόντος φιλοσοφίαν, καὶ ἱκανοῦ μάλιστα ἐν κινδύνοις ἀλείφειν· τὴν γὰρ ῥῆσιν ταύτην, ἐν μεγάλοις κινδύνοις ὢν ὁ δίκαιος ἐκεῖνος ἐφθέγξατο, καὶ ἐξ ὧν οὐκ ἦν ἄλλως ἀνενεγκεῖν, ἢ διὰ τῆς τοῦ θεοῦ βοηθείας· ἐπεὶ οὖν τὰ συγγενῆ μάλιστα οἶδε παραμυθεῖσθαι, διατοῦτο φησιν, ἔχοντες τὸ αὐτὸ πνεῦμα· τουτέστιν ἀπὸ τῆς αὐτῆς συμμαχίας, ἀφ' ἧς ἐκεῖνος ἐσώθη, καὶ ἡμεῖς σωζόμεθα· ἀπὸ τοῦ πνεύματος ἀφ' οὗ ἐφθέγξατο, καὶ ἡμεῖς φθεγγόμεθα· ὅθεν δείκνυσι πολλῷ τῇ καινῇ πρὸς τὴν παλαιὰν οὖσαν, καὶ τὸ αὐτὸ πνεῦμα ἐν ἑκατέροις ἐνεργῆσαν,

καὶ ὅτι

καὶ ὅπου οὐχ ἡμεῖς μόνον ἐν κινδύνοις, ἀλλὰ καὶ οἱ παλαιοὶ πάντες. καὶ δεῖ πίστεως, καὶ ἐλπίδι διορθοῦσθαι, καὶ μὴ λῦσιν βούλεσθαι ζητεῖν τῶν ἐπικειμένων. ἐπειδὴ γὰρ ἔδειξε διὰ τῶν λογισμῶν τὴν ἀνάστασιν, καὶ τὴν ζωὴν, καὶ ὅτι οὐκ ἀδυνάτου, οὐδὲ ἐγκαταλείψεως ὁ κίνδυνος, λοιπὸν καὶ τὴν πίστιν εἰσάγει, καὶ αὐτῇ τὸ πᾶν ἐπιτρέπει. ἀλλ' ὅμως, καὶ
» αὐτῆς ἀπόδειξιν παρέχεται τοῦ χριστοῦ τὴν ἀνάστασιν εἰπών. Ὅτι καὶ ἡμεῖς πι-
» στεύομεν, διὸ καὶ λαλοῦμεν. τί πιστεύομεν εἰπέ μοι; ὅτι ὁ ἐγείρας Ἰησοῦν, καὶ ἡμᾶς ἐγερεῖ,
» καὶ παραστήσει σὺν ὑμῖν. τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα, διὰ τῶν πλειό-
» νων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ θεοῦ. Πάλιν πληροῖ φρονήματος
αὐτοὺς, ἵνα μὴ ἀνθρώποις χάριν εἰδῶσι, τοῖς ψευδαποστόλοις λέγω. τὸ γὰρ θεοῦ τὸ πᾶν,
ὃς βούλεται πολλοῖς χαρίσασθαι, ὥστε μείζονα ἀφθῆναι τὴν χάριν. δι' ὑμᾶς γοῦν ἡ ἀ-
νάστασις, καὶ τὰ ἄλλα πάντα. οὐ γὰρ ἑνὸς ἕνεκεν μόνου ταῦτα ἐποίησεν, ἀλλὰ πάν-
» των. Διὸ καὶ οὐκ ἐκκακοῦμεν, ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ
» ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. Πῶς φθείρεται; μαχιζόμενος, ἐλαυνόμενος, μυ-
ρία πάσχων δεινά, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. πῶς ἀνακαινοῦται; τῇ
πίστει, τῇ ἐλπίδι, τῇ προθυμίᾳ, τὸ λοιπὸν τὸν δεῖ καταπολεμῶν τῶν δεινῶν. ὅσῳ γὰρ αὖ μυ
ρία πάσχει τὸ σῶμα, τοσούτῳ χρηστοτέρας ἔχει τὰς ἐλπίδας ἡ ψυχὴ, καὶ λαμπροτέρα γί-
νεται, καθάπερ χρυσίον πυρούμενον ἐπὶ πλέον. καὶ ὅρα πῶς καθαιρεῖ τὰ λυπηρὰ τοῦ πα-
» ρόντος βίου. Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως φησὶν, εἰς ὑπερβολὴν καθ' ὑ-
» περβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται, μὴ σκοποῦντων ἡμῶν τὰ βλεπόμενα, ἀλ-
» λὰ τὰ μὴ βλεπόμενα. Εἰς τὴν ἐλπίδα τὸ πρᾶγμα κατακλείσας, καὶ ὅπερ ἐν τῇ πρὸς
Ῥωμαίους ἔλεγεν, ὅτι τῇ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς· οὕτω καὶ ἐν-
ταῦθα κατασκευάζων, πίστει παραλλήλους τὰ παρόντα τοῖς μέλλουσι, τὸ παραυτίκα,
πρὸς τὸ αἰώνιον, τὸ ἐλαφρὸν, πρὸς τὸ βαρὺ, τὴν θλῖψιν πρὸς τὴν δόξαν. καὶ οὐδὲ τούτοις ἀρ
κεῖται, ἀλλ' ἕτερον πίστει λέξιν διαπλασιάζων αὖθις, καὶ λέγων, καθ' ὑπερβολὴν εἰς ὑπερβο
λήν. εἶτα καὶ τὸν τρόπον δείκνυσι πῶς ἐλαφρὸν τὸ τῶν τοσούτων θλίψεων. πῶς οὖν ἐλα-
φρόν; μὴ σκοποῦντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. οὕτως καὶ ἐνταῦ
» κοῦφον τὸ παρὸν, καὶ ἐκεῖνο μέγα τὸ μέλλον, αὖθις ὁρωμένων ἀπαγάγωμεν ἑαυτούς. Τὰ γὰρ
» βλεπόμενα, πρόσκαιρα. Οὐκοῦν καὶ αἱ θλίψεις τοιαῦται. Τὰ δὲ μὴ βλεπόμενα,
» αἰώνια. Οὐκοῦν καὶ οἱ στέφανοι τοιοῦτοι, καὶ οὐκεῖθεν αἱ θλίψεις τοιαῦται, ἀλλὰ τὰ
βλεπόμενα πάντα, κἂν πόλασις ᾖ, κἂν αὐάπαυσις, ὥστε μήτε ἐκεῖθεν χαυνοῦσθαι, μήτε
ἐντεῦθεν διαίρεσθαι. διὰ τοῦτο οὐδὲ περὶ τῶν μελλόντων λέγων εἶπεν, ἡ βασιλεία αἰώνιος, ἀλ
λὰ τὰ μὴ βλεπόμενα, αἰώνια, κἂν βασιλεία, κἂν πόλασις ᾖ πάλιν, ὥστε καὶ ἐκεῖθεν φο
βῆσαι, καὶ ἐκεῖσε προτρέψασθαι. Ἡ θικόν.

Ε' ωεὶ οὖν τὰ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια, πρὸς ἐκεῖνα βλέπωμεν.
ποίαν γὰρ καὶ ἀπολογίαν, τὰ πρόσκαιρα αὐτὶ τῶν αἰωνίων αἱρούμενοι; εἰ γὰρ
καὶ τὸ παρὸν ἡδύ, ἀλλ' οὐ διαμενεῖ, τὸ μέντοι ὀδυνηρὸν αὐτοῦ, διαμενεῖ, καὶ ἀσύγγνω-
στον. ποίαν γὰρ ἕξουσιν ἀπολογίαν οἱ πνεύματος καταξιωθέντες, καὶ τοσαύτης ἀπολαύ-
σαντες δωρεᾶς, καὶ χαμαίζηλοι γινόμενοι, καὶ καταπίπτοντες πρὸς τὴν γῆν; καὶ γὰρ πολ-

λῶν ἀκούω λεγόντων τὰ κατηγέλασα ταῦτα ῥήματα. δύσμοι τῶν σήμερον, καὶ λαβὲ τὴν
αὐλειον. αὖ μὴν γὲ τοιαῦτα ἔφησιν, οἷα καὶ φατὲ ἐκεῖ, ἓν αὖθ' ἑνὸς γέγονεν. αὖ δὲ μηδὲν
ὅλως ἤ, δύο αὐτ' οὐδενός. τί τῶν ῥημάτων τούτων παρανομώτερον; τί δὲ λυπωδέστερον;
ἡμεῖς περὶ οὐρανοῦ διαλεγόμεθα, καὶ τῶν ἀποῤῥήτων ἀγαθῶν ἐκείνων, καὶ σὺ τὰ τῶν ἱπ-
ποδρομίων ἡμῖν ἄγεις εἰς μέσον; καὶ οὐκαὶ χωῇ; οὐδὲ ἐγκαλύπτῃ τοιαῦτα φθεγγόμενος,
ἃ τῶν παρακωμαιόντων ἐστίν; οὐκ ἐρυθριᾷς, οὕτω προσηλωμένος τοῖς παροῦσιν; οὐ παύσῃ
παραφρονῶν, καὶ ἐξεστηκὼς, καὶ συντεθλιμμένος λυπῶν; καὶ τὸ μὴν ἐλλίπασι ταῦτα λέγειν, οὐ-
δὲν θαυμαστόν. τὸ δὲ πῶς οὐθρώπους τοιαῦτα λυπεῖν, ποίαν ἔχει συγγνώμην; ὅλως γὲ
ὑποστὰς τὰς ἀθανάτους ἐλπίδας ἐκείνας; ὅλως νομίζεις ἀμφίβολα ζῶντα εἶναι; καὶ
ποῦ ζῶντα ἄξια συγγνώμης; καὶ τίς ἦλθε φησὶ, καὶ ἀπήγγειλε τὰ αὐτόθι; ἀνθρώπων
μὲν οὐδείς, ὁ θεὸς δὲ ὁ πάντων ἀξιοπιστότερος ταῦτα ἀσφαλίσατο. ἀλλ' οὐχ ὁρᾷς τὰ ἐ-
κεῖ; οὐδὲ γὰρ τὸν θεὸν βλέπεις. ἆρ' οὖν οὐχ ἡγήσῃ εἶναι θεὸν, ὅτι θεὸν μὴ ὁρᾷς; καὶ
σφόδρα ἡγοῦμαι φησίν. αὖ οὖν σε ἔρηταί τις τῶν ἀπίστων, καὶ τίς ἦλθεν ἀπὸ τοῦ οὐρανοῦ,
καὶ ταῦτα ἀπήγγειλε; τί ἐρεῖς; πόθεν οἶθα, ὅτι ἐστὶ θεός; ἀπὸ τῶν ὁρωμένων φησίν,
ἀπὸ τῆς ὑποταξάσης τῆς ἐν πάσῃ τῇ κτίσει, ἀπὸ τοῦ πᾶσιν εἶναι δῆλον καταφανές. οὐκοῦν,
καὶ τὸν περὶ κρίσεως, οὕτω δέχου λόγον. πῶς φησιν ἐρήσομαί σε. σὺ δέμοι ἀπόκριναι. δί-
καιός ἐστιν οὗτος ὁ θεός; καὶ τὸ κατ' ἀξίαν ἀπονέμει ἑκάστῳ; ἢ πῶς ἀντίον τοὺς μὲν ἀδίκους
βούλεται διημερεῖν, καὶ τρυφᾶν, τοὺς δὲ ἀγαθοὺς ἐν τοῖς ἐναντίοις εἶναι; οὐδαμῶς φη-
σιν. οὐδὲ γὰρ ἀνθρωπος δῆλον πάσχει. ποῦ οὖν οἱ καλῶς ἐν ζωῇ θέντες πράξαντες τῶν ἀγα-
θῶν ἀπολαύσονται; ποῦ δὲ οἱ πονηροὶ τῶν ἐναντίων, εἰ μὴ μέλλοι τις ζωὴ μετὰ ταῦτα, καὶ
ἀντίδοσις εἶναι; ὁρᾷς ὅπερ ἐν αὐθ' ἑνὸς τέως; καὶ οὐχὶ δύο αὐθ' ἑνός; ἐγὼ δέσοι δείξω προϊών,
ὅτι οὐδὲ ἓν αὐθ' ἑνός, ἀλλὰ δύο αὐθ' ἑνὸς ἔσαι τῆς δικαίοις. τοῖς δὲ ἁμαρτωλοῖς, καὶ ἐν-
ταῦθα τρυφῶσι, τοὐναντίον ἅπαν. οἱ μὲν γὲ ἐνταῦθα τρυφήσαντες, οὐδὲ ἓν αὐθ' ἑνὸς
ἔλαβον. οἱ δὲ ἐν ἀρετῇ διάγοντες, δύο αὐτ' οὐδενός. τίνες γὰρ ἐν ἀνέσει, οἱ τῷ παρόντι
παραχρησάμενοι βίῳ, ἢ οἱ φιλοσοφήσαντες; σὺ μὲν ἴσως ἐκείνους ἐρεῖς, ἐγὼ δὲ τούτους
δείκνυμι μάρτυρας αὐτοὺς ἐκείνους καλῶν, τοὺς ἀπολελαυκότας τῶν παρόντων, καὶ οὐκ
ἀναιχωτήσουσι πρὸς ἃ μέλλω λέγειν. καὶ γὲ προμνηστρίαις ἐπηράσαντο πολλάκις, καὶ
τῇ ἡμέρᾳ καθ' ἣν ἐπλάκησαν αἱ πασάδες, καὶ τοὺς μὴ γεγαμηκότας ἐμακάρισαν. πολ-
λοὶ δὲ τῶν νέων, καὶ παρὸν αὐτοὺς γαμεῖν, δι' οὐδὲν ἕτερον παρῃτήσαντο, ἀλλ' ἢ διὰ τὸ
φορτικὸν τοῦ πράγματος. καὶ ταῦτα λέγω, οὐ τὸν γάμον διαβάλλων, τίμιος γάρ. ἀλλὰ
τοὺς κακῶς αὐτῷ κεχρημένους. εἰ δὲ οἱ γάμοις ὠμιληκότες ἀβίωτον πολλάκις τὸν βίον ἐνό-
μισαν, τί ἂν εἴποιμεν περὶ τῶν εἰς πορνικὰ βάραθρα κατενεχθέντων; καὶ πάντες οὐχ μα-
λῶν δουλικώτερον, καὶ ἀθλιώτερον διατεθέντων; περὶ τῶν ἐν τρυφῇ καταπατηθέντων,
καὶ μυρία τῷ σώματι νοσήματα περιβεβλημότων; ἀλλὰ τὸ ἐν δόξῃ εἶναι ἡδύ; οὐδὲν μὴν
οὖν ταύτης δόξης πικρότερον. καὶ γὰρ πάντων ἀνθρωπόδων μᾶλλον ἐστὶ δουλικώτερος ὁ
κενόδοξος, καὶ τῆς τυχοῦσιν ἀρέσαι βουλόμενος. ὁ δὲ ταύτην κατατιθέμενος, πάντων ἐστὶν
ἀνώτερος. ὁ μὴ φροντίζων τῆς παρ' ἑτέρων δόξης. ἀλλὰ τὸ χρήματα ἔχειν ἑτέρασον; ἀλλὰ
πολλάκις ἀποδέδειχαμεν, ὅτι ἐν πλείονι πλούτῳ, καὶ ἀνέσει, οἱ τούτων ἀπηλλαγμένοι, καὶ

μηδὲν ἔχοντες

μηδὲν ἔχοντες μεθ' ἡμῶν εἰσίν, ἀλλὰ τὸ μεθύειν ἡδύ; καὶ τίς αὖ εἴποι ἂν ταῦτα; οὐκοῦν εἰ τὸ μὴ πλουτεῖν τῷ πλουτεῖν ἥδιον, ἢ τὸ μὴ γαμεῖν τῷ γαμεῖν, ἢ τὸ μὴ κενοδοξεῖν τῷ κενοδοξεῖν, καὶ τὸ μὴ τρυφᾶν τῷ τρυφᾶν, καὶ σύνταθι τὸ πλέον ἔχουσιν οἱ μὴ τοῖς παροῦσι προσηλωμένοι. καὶ οὕτω λέγω, ὅτι ἐκεῖνος μὲν κἂν μυρίαις βασάνοις κατατείνηται, ἔχει τὴν χρηστὴν ἐλπίδα διαβαστάζουσαν αὐτόν. οὗτος δὲ κἂν μυρίασ ἀπολαύῃ τρυφῆς, ἔχει τὸν φόβον τῶν μέλλοντων συνιταράττοντα αὐτοῦ τὴν ἡδονήν, καὶ συγχέοντα. καὶ γὰρ καὶ οὗτος οὐ μικρὸς τρόπος κολάσεως, ὥσπερ οὖν ὁ ἐναντίος, τρυφῆς, καὶ ἀνέσεως. καὶ περὶ τούτων ἐστὶ τρόπος. ποῖος δὲ οὗτος; ὅτι τὰ μὲν τῆς τρυφῆς τῆς βιωτικῆς, οὐδὲ νίκα ἐστὶ, φαίνεται, τῇ τε φύσει, καὶ τῷ χρόνῳ ἐλεγχόμενα. ἐκεῖνα δὲ οὐ μόνον ἐστὶν, ἀλλὰ καὶ ἀκίνητα μένει. ὁρᾷς ὅτι οὐ δύο αὐτοῦ οὐδενὸς μόνον, ἀλλὰ καὶ τρία, καὶ πέντε, καὶ δέκα, καὶ εἴκοσι, καὶ μυρία αὐτοῦ οὐδενὸς διωνησόμεθα εἶναι; ἵνα δὲ καὶ διὰ ὑποδείγματος αὐτὸ μάθῃς, ὁ πλούσιος, καὶ ὁ Λάζαρος, ὁ μὲν τῶν παρόντων, ὁ δὲ τῶν μελλόντων ἀπήλαυσαν. ἆρ' οὖν σοι δοκεῖ ἓν εἶναι, καὶ ἓν τὸ ἐν παντὶ τῷ χρόνῳ κολάζεσθαι, καὶ τὸ ἐν βραχείᾳ ὥρᾳ πεινῆν; τὸ νοσεῖν ἐν φθαρτῷ σώματι, καὶ τὸ ἐν ἀθανάτῳ χαλεπῶς ἀποπηγανίζεσθαι; τὸ στεφανοῦσθαι, καὶ τρυφᾶν ἀθάνατα μετὰ τὴν μυρίαν ἀῤῥωστίαν ἐκείνην, καὶ τὸ βασανίζεσθαι ἀπέραντα μὴ τῆ βραχείαν τῶν ὄντων ἀπόλαυσιν; μὴ τίς αὖ ταῦτα εἴποι; τί γὰρ βουληθῶμεν, τὴν ποσότητα, ἢ τὴν ποιότητα, τὴν τάξιν τοῦ θεοῦ, ἢ περὶ ἑκάτερον ψῆφον; μέχρι τίνος τὰ κατ' ἀξίαν φθέγγεσθε ῥήματα, τῶν τῷ βορβόρῳ διωνεκῶς ἐγκαλινδουμένων; οὐδὲ γὰρ ἀνθρώπων ταῦτα λογικῶν, ψυχὴν οὕτω τιμίαν αὐτοῦ οὐδενὸς προέσθαι, δέον ὀλίγου πόνου, τοὺς οὐρανοὺς λαβεῖν. βούλεσθε καὶ ἑτέρωθεν διδάξω, ὅτι ἐστὶν ἐκεῖ κρίτηριον φοβερὸν, ἀνοιξόν σου τὰς θύρας τοῦ σωθησόμενος, καὶ βλέπε τὸν ἐν τῇ διανοίᾳ σου καθήμενον δικαστήν. εἰ δὲ σὺ σαυτὸν κατακρίνεις, καὶ τοίγε φίλαυτος ὤν, καὶ οὐκ ἂν ἀνάσχοιο μὴ δικαίαν τὴν κρίσιν ἐνεγκεῖν, οὐ πολλῷ μᾶλλον ὁ θεὸς πολλῷ ποιήσεται τὸ δικαίου πρόνοιαν, ἢ τὴν ἀδέκαστον περὶ πάντων οἴσει ψῆφον; ἀλλ' ἁπλῶς, καὶ εἰκῇ πάντα φέρεσθαι ἐάσει; καὶ τίς αὖ ταῦτα εἴποι; οὐκ ὄθνειοι οὐδεὶς, ἀλλὰ καὶ Ἕλληνες, καὶ βάρβαροι, καὶ ποιηταὶ, καὶ φιλόσοφοι, καὶ πᾶν ἀνθρώπων γένος, συμφωνοῦσιν ἐν τούτοις ἡμῖν, εἰ καὶ μὴ ὁμοίως. καὶ φασὶν εἶναί τινα δικαστήρια ἐν ᾅδου. οὕτω φανερὸν, καὶ ὁμολογημένον τὸ πρᾶγμα ἐστί. καὶ τίνος ἕνεκεν οὐκ ἐνταῦθα κολάζει φησίν; ἵνα τὴν μακροθυμίαν ἐπιδείξηται τὴν αὐτοῦ, καὶ τὴν ἐς μετανοίασ ἡμῖν παράκλησιν σωτηρίαν, καὶ μὴ τότε τὸ γένος ἡμῶν ἀναίρπαστον ἐργάσηται. τοὺς τε ἐς μεταβολῆς ἀρίστης διωαμένους σωθῆναι, μὴ προεξαρπάσῃ τῆς σωτηρίασ. εἰ γὰρ δὴ θεὸς ἐκόλαζε παρὰ τὰ ἁμαρτήματα, καὶ ἀνῄρει, πῶς ἂν ἐσώθη παῦλος; πῶς δὲ ἕτεροι οἱ κορυφαῖοι τῆς οἰκουμένης διδάσκαλοι; πῶς αὖ ὁ δαβὶδ τὴν ἀπὸ τῆς μετανοίασ ἐκαρπώσατο σωτηρίαν; πῶς οἱ γαλάται; πῶς ἕτεροι πλείους; διὰτοῦτο, οὔτε πάντας ἐνταῦθα ἀτιμωρεῖ δίκας, ἀλλ' ἐκτῶν πάντων ἐνίους, οὔτε ἐκεῖ πάντας, ἀλλὰ τὸν μὲν ἐνταῦθα, τὸν δὲ ἐκεῖ. ἵνα καὶ τοὺς σφόδρα ἀναισθήτους διεγείρῃ δι' ὧν κολάζει, καὶ τὰ μέλλοντα προσδοκᾶν ποιήσῃ, δι' ὧν οὐ κολάζει. ἢ οὐχ ὁρᾷς ἐνταῦθα κολαζομένους πολλοὺς, οἷον ὡς τοὺς τῷ πύργῳ καταχωσθέντας; ὡς ἐκείνους ὧν τὸ αἷμα ταῖς θυσίαις ἀνέμιξεν ὁ πιλάτος; ὡς τοὺς ἀώρῳ θανάτῳ παρὰ κορινθίοις τελευτήσαντας διὰ

τὸ τῶν μυστηρίων ἀναξίως μεταχεῖν; ὡς τὸν φαραὼ, ὡς τῶν ἰουδαίων τοὺς ὑπὸ τῶν βαρβάρων καταστραγέντας; ὡς ἑτέρους πολλούς; καὶ τότε, μὴ νῦν, καὶ διὰ νεκῶς; καὶ ἕτεροι δὲ πολλὰ ἁμαρτόντες, ἀπῆλθον μὴ δόντες ἐν ταύτῃ δίκην, ὡς ὁ πλούσιος ἐπὶ τοῦ λαζάρου, ὡς ἕτεροι πολλοί. ταῦτα δὲ ποιεῖ, καὶ τοὺς διαπεσοῦντας τοῖς μέλλουσι διεγείρων, καὶ τοὺς πεσόντας, καὶ ῥᾳθυμοῦντας ἀνυσιμωτέρους ποιῶν. ὁ γὰρ θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. αὖ δὲ τῇ μακροθυμίᾳ παραχρησώμεθα, ἕως καιρὸς, ὅτε οὐδὲ βραχὺ μακροθυμήσει λοιπὸν, ἀλλὰ δίκης ἐπάξει τῷ δίκαιῳ. μὴ τοίνυν, ἵνα μίαν ῥοπὴν πρυφήσωμεν, τοῦτο γὰρ ὁ παρὼν βίος, ἀνυσίμων ἀγώνων ἐπισπασώμεθα πόλασιν. ἀλλὰ ῥοπὴν πονήσωμεν, ἵνα δίκαιος στεφανωθῶμεν. οὐχ ὁρᾶτε, ὅτι καὶ ἐν τοῖς βιωτικοῖς, οὕτως οἱ πλείους τῶν ἀνθρώπων ποιοῦσι; καὶ τὸν ὀλίγον πόνον αἱροῦνται ὑπὲρ τῆς μακρᾶς ἀναπαύσεως; εἰ καὶ τοὐναντίον αὐτοῖς ἐκβαίνει; ἐν ταύτῃ μὲν γὰρ ἰσομοιρία, καὶ πόνων, καὶ κέρδους. πολλάκις δὲ τοὔμπαλιν. ὁ μὲν πόνος, ἄπειρος, ὁ δὲ καρπὸς ὀλίγος, ἢ οὐδὲ ὀλίγος πολλάκις. ἐπὶ δὲ τῆς βασιλείας, αὐτάφραφος. ὀλίγον μὲν τὸ ἐπίπονον, πολὺ δὲ τὸ ἡδύ, καὶ ἄπειρον. σπόρος δὲ, ὁ γεωργὸς δι' ὅλου πονεῖ τὸ ἔτους, καὶ πρὸς αὐτῷ τῷ τέλει, τοῦ κέρδους ἐκπίπτει πολλάκις τὸ καρποῦ τῶν πολλῶν πόνων. ὁ κυβερνήτης πάλιν, καὶ ὁ στρατιώτης, μέχρις ἡλικίας ἐχάτης ἐν πολέμοις, καὶ πόνοις, καὶ πολλάκις ἑκάτερος αὐτῶν ἀπῆλθεν. ὁ μὲν τὸ πλούτου τῶν φορτίων, ὁ δὲ μετὰ τῆς νίκης, καὶ τῆς ζωῆς αὐτῆς ἐκτεσών. τίνα οὖν ἔξομεν ἀπολογίαν εἰπεῖν; ἐν μὲν τοῖς βιωτικοῖς τὰ ἐπίπονα προτιμῶντες, ἵνα μικρὸν ἀναπαυσώμεθα, ἢ οὐδὲ μικρόν. καὶ γὰρ ἄδηλος ἡ ἐλπίς. ἐν δὲ τοῖς πνευματικοῖς αὐτιστρόφως τοῦτο ποιοῦντες, καὶ ἄφατον πόλασιν ἐπισπώμενοι δι' μικρὰν ῥᾳθυμίαν. διὸ παρακαλῶ πάντας ὑμᾶς ὀψὲ γοῦν ποτὲ ἐκ τῆς παρανοίας ταύτης ἀνενεχθῆναι. οὐδεὶς γὰρ ἡμᾶς ἐξαιρήσεται ἐν ἐκείνῳ τῷ καιρῷ, οὐκ ἀδελφὸς, οὐ πατὴρ, οὐ υἱὸς, οὐ φίλος, οὐ γείτων, οὐκ ἄλλος οὐδείς, ἀλλ' αὐτὸ τοῦτο τῶν ἔργων προσδοθῶμεν, πάντα οἰχήσεται, καὶ ἀπολούμεθα πάντως. πόσα ὁ πλούσιος ἐθρήνησεν ἐκεῖνος, καὶ τὴν πατριάρχην παρεκάλεσε, καὶ πεμφθῆναι τὸν λάζαρον ἠτήσεν. ἀλλ' ἄκουσον τί πρὸς αὐτὸν ἔλεγεν ἀβραάμ. χάος μεταξὺ ὑμῶν, καὶ ἡμῶν, ὥστε μὴ δὲ βουλομένοις ἐξεῖναι διαβῆναι ἐκεῖ. πόσα παρεκάλεσαν αἱ παρθένοι ἐκεῖναι τὰς ὁμηλικας ὑπὲρ ὀλίγου ἐλαίου, ἀλλ' ἄκουσον, καὶ ἐκεῖναι τί λέγουσι. μήποτε οὐ μὴ, ἀρκέσῃ ὑμῖν, καὶ ἡμῖν. καὶ οὐδεὶς αὐτὰς ἴσχυσεν εἰς τὸν νυμφῶνα εἰσαγαγεῖν. ταῦτα δὴ λογιζόμενοι, καὶ ἡμεῖς ἐπιμελώμεθα τῆς ἡμετέρας ζωῆς. ὅσους γὰρ αὖ εἴποις πόνους, καὶ ὅσας αὖ προσενέγκῃς πιμωρίας, οὐδὲν ἅπαντα ταῦτα ἔσται πρὸς τὰ μέλλοντα ἀγαθά. πῦθι γοῦν εἰ βούλει σῦρ, καὶ σίδηρον, καὶ θηρία, καὶ εἴ τι τούτων χαλεπώτερον, ἀλλ' ὅμως οὐδὲ σκιὰ ταῦτα πρὸς ἐκεῖνα τὰ βασανιστήρια. ταῦτα μὲν γὰρ ὅταν σφοδρότερον ἐπιτεθῇ, τότε μάλιστα γίνεται κοῦφα, ταχεῖαν ποιοῦντα τὴν ἀπαλλαγὴν, τοῦ σώματος οὐκ ἀρκοῦντος, καὶ εἰς σφοδρότητα, καὶ εἰς μῆκος κολάσεως. ἐκεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀμφότερα συμέρχεται, καὶ παράτασις, καὶ ὑπερβολὴ, καὶ ἐν τοῖς χρηστοῖς, καὶ ἐν τοῖς λυπηροῖς. ἕως οὖν ἔστι καιρὸς, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. ἵνα ἥμερον αὐτὸν ἴδωμεν τότε, καὶ γαλήνιον, ἵνα τὰς

ἀσυμφόρους

ἀπειληφόρους ἐκείνας δυνάμεις διαφύγωμεν. οὐχ ὁρᾷς τοὺς ἐν ταύτῃ τραπεζίτας; τοὺς τοῖς ἄρχουσι διακονουμένους; πῶς ἕλκουσι, πῶς δεσμοῦσι, πῶς μαστιγοῦσι, πῶς τὰς πλευρὰς διορύττουσι; πῶς λαμπάδας ταῖς βασάνοις προσάγουσι; πῶς ἀποτέμνουσι; ἀλλὰ πάντα ταῦτα παίγνια, καὶ γέλως πρὸς ἐκείνας τὰς ἀμοιβάς. καὶ γὰρ πρόσκαιροι αὗται αἱ κολάσεις. ἐκεῖ δὲ οὔτε ὁ σκώληξ τελευτᾷ, οὔτε τὸ πῦρ σβέννυται. καὶ γὰρ τὸ σῶμα ἄφθαρτόν ἐστιν. ἀλλὰ μὴ γένοιτο τοῦτα ἡμᾶς παθεῖν, ἀλλὰ μέχρι ῥήματος ἦναι ἡμῖν τὰ φοβερά. μὴ δὲ παραδοθῆναι τοῖς βασανισταῖς ἐκείνοις. ἀλλ' ἐν ταύτῃ σωφρονισθῶμεν. πόσα τότε ἐροῦμεν ἑαυτῶν κατηγοροῦντες; πόσα ὀλοφυρούμεθα; πόσα οἰμώξομεν; ἀλλ' οὐδὲν ὄφελος λοιπόν. ὅταν γὰρ οἱ ναῦται τὸ πλοῖον διαλυθέντος, καὶ καταδυομένου, ὠφελῆσαι τί δύνανται λοιπόν. οὔτε ἰατροὶ τὸν κάμνοντος ἀποθανόντος. ἀλλ' ἐροῦσι μὲν πολλάκις, ὅπερ, καὶ ἐρῶ, ποιῆσαι ἐχρῆν. πάντα δὲ εἰκῇ, καὶ μάτην. ἕως μὲν γὰρ ἐκτῆς διορθώσεως ἐλπίδες μένουσι, καὶ λέγειν ἅπαντα, καὶ ποιεῖν χρή. ὅταν δὲ μηκέτι κύριοι μηδενὸς ὦμεν τῶν παρὸς διαφθαρέντος, εἰκῇ, καὶ λέγεται πάντα, καὶ γίνεται. καὶ γὰρ καὶ ἰουδαῖοι ἐροῦσι τότε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ἀλλ' οὐδὲν τούτῃς ἀπόναασθαι δυνήσονται τῆς φωνῆς, εἰς τὸ τὴν κόλασιν διαφυγεῖν. ὅτε γὰρ ἔδει εἰπεῖν, οὐκ εἶπον. ἵν' οὖν μὴ καὶ ἡμεῖς ὦμεν τῆς πολιτείας τοῦτο πάθωμεν, ἐντεῦθεν ἤδη μεταβαλλώμεθα, ἵνα τῷ βήματι τοῦ Χυ μετὰ παῤῥησίας παραστῶμεν πάσης, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, ί. Κεφ. ε.

» Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ θεοῦ ἔ-
» χομεν, οἰκίαν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς. Πάλιν τὴν προθυμίαν αὐτῶν διεγείρει, διὰ τὸ πολλοὺς ἐπάγεσθαι πειρασμούς. καὶ γὰρ ἐκ τούτους διὰ τὴν ἀπουσίαν τὴν αὐτοῦ, πρὸς τοῦτο ἀθενεστέρους γεγενῆσθαι. τί οὖν φησιν; οὐ δεῖ θαυμάζειν, ὅτι κακῶς πάσχομεν, οὐδὲ θορυβεῖσθαι. καὶ γὰρ πολλὰ κέρδη ἐντεῦθεν καρπούμεθα. καὶ τὰ μὲν ἔμπροσθεν εἴρηται, οἷον ὅτι καὶ νέκρωσιν τοῦ ἰησοῦ περιφέρομεν, καὶ τῆς δυνάμεως αὐτοῦ τὴν ἀπόδειξιν παρεχόμεθα μείζονα. ἵνα μάθωσιν ἡ ὑπερβολὴ τῆς δυνάμεως ἧ τοῦ θεοῦ, καὶ τῆς ἀναστάσεως τεκμήριον ἐκφέρομεν σαφές. ἵνα μάθωσιν ἡ ζωὴ τοῦ ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Ἐπειδὴ δὲ μετὰ τούτων εἶπεν, ὅτι καὶ ὁ ἔσω ἡμῶν ἄνθρωπος βελτίων γίνεται οὕτως. εἰ γὰρ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται φησὶν, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ, καὶ ἡμέρᾳ. δείκνυς πάλιν, ὅτι τοσούτῳ χρήσιμον τοῦτο τὸ μαστίζεσθαι, καὶ ἐλαύνεσθαι, ἐπάγει λέγων. ὅτι ὅταν ὁλοχερῶς τοῦτο γένηται, τότε τὰ μυρία ἀγαθὰ ἀναβλαστήσει τοῖς ταῦτα ὑπομεμενηκόσιν. ἵνα γὰρ μὴ ἀκούων, ὅτι φθείρεται ὁ ἄνθρωπός σου ὁ ἔξω ἀλγῇς; λέγει, ὅτι ὅταν παντελῶς τοῦτο γένηται, τότε μάλιστα χαρήσῃ, καὶ ἥξεις ἐπὶ βελτίονα λῆξιν. ὥστε οὐ μόνον ἀλγεῖν οὐ δεῖ ἐπὶ μέρους αὐτοῦ φθειρομένου νῦν, ἀλλὰ καὶ τὸ ὅλον τῆς φθορᾶς ταύτης ἐπιζητεῖν. αὕτη γάρ σε μάλιστα εἰς ἀφθαρσίαν ἄγει. διὸ καὶ ἐπήγαγεν. οἴδαμεν γὰρ ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν

κοσμικὴν ἐκτεῦθεν ἔχομεν οἰκίαν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς. Ἐπειδὴ γὰρ ἐν πολλῇ ἀναστάσεως γυμνάζει λόγον, πάλιν εἰς ἣν μάλιστα ἐνόσουν, προσλαμβάνει, καὶ τ̀ τῶν ἀκουόντων κρίσιν, καὶ οὕτως αὖθις καταπλήττει. ἀλλ' οὐχ ὁμοίως, ὡς ἔμπροσθεν, ἀλλ' ὡς ἐξ ἑτέρας ὑποθέσεως εἰς ταὐτὸν ἐλθών. καὶ γὰρ ἦσαν διορθωθέντες ἤδη, καὶ φησίν. οἴδαμεν ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, ὅτι οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς. Τινὲς μὲν τὴν οἰκίαν τὴν ἐπίγειον, τὸν κόσμον ταύτην φασίν. ἐγὼ δὲ τὸ σῶμα μᾶλλον αὐτὴν φαίην αὐτὴν αἰνίττεσθαι. σὺ δέμοι σκόπει πῶς ἀπὸ τῶν ὀνομάτων δείκνυσι τὴν ὑπεροχὴν τῶν μελλόντων πρὸς τὰ παρόντα. εἰπὼν γὰρ ἐπίγειον, ἀντέθηκε τὴν οὐρανίαν, εἰπὼν οἰκίαν σκήνους, καὶ τὸ διάλυτον, καὶ πρόσκαιρον δείξας ἐντεῦθεν, ἀντέθηκε τὴν αἰωνίαν. τὸ γὰρ τῆς σκηνῆς ὄνομα, τὸ πρόσκαιρον πολλαχοῦ δείκνυσι. διὸ φησὶν ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου, μοναὶ πολλαί εἰσιν. εἰ δὲ πον, καὶ σκηνασὶ καλοῖς τῶν ἁγίων τὰς ἀναπαύσεις, οὐχ ἁπλῶς σκηνασί, ἀλλὰ μετὰ προθήκης. οὐ γὰρ εἶπεν, ἵνα δέξωνται εἰς τὰς σκηνασὶ αὐτῶν, ἀλλ' εἰς τὰς αἰωνίους σκηνασί. εἰπὼν δὲ καὶ ἀχειροποίητον, ἠνίξατο τὴν χειροποίητον, τί οὖν τὸ σῶμα χειροποίητον; οὐδαμῶς. ἀλλ' ἢ τὰς οἰκίας ἐνταῦθα αἰνίττεται τὰς χειροποιητούς, ἢ εἰ μὴ τοῦτο, ἀλλ' οἰκίαν σκήνους, τὸ σῶμα ἐκάλεσε τὸ ἀχειροποίητον. οὐ γὰρ πρὸς ἀντιδιαστολὴν τούτου ἀντέθηκεν, ἀλλ' αὔξων τὰ ἐγκώμια, καὶ
» προσιθεὶς τοὺς ἐπαίνους. Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ
» οὐρανοῦ, ἐπενδύσασθαι ἐπιποθοῦντες. Ποῖον οἰκητήριον εἰπέμοι; τὸ σῶμα τὸ ἄφθαρτον. καὶ διατὶ στενάζομεν νυνί; ἐπειδὴ πολλῷ βέλτιον ἐκεῖνο. ἐξ οὐρανοῦ δὲ αὐτόφησι δηλῶν τὸ ἄφθαρτον. οὐ γὰρ δὴ ἄνωθεν ἡμῶν κάτεισι σῶμα, ἀλλὰ τὴν ἐκεῖθεν μεμπομένην χάριν δηλοῖ τῷ ὀνόματι τούτῳ. τοσοῦτον οὖν οὐ δεῖ ἀλγεῖν ἐπὶ τοῖς κατὰ μέρος πειρασμοῖς, ὅτι καὶ τὸ καθόλικόν δεῖ ζητεῖν, ὡς αὖ εἰ ἔλεγε, στένεις ὅτι διώκη, ὅτι φθείρεται σου ὁ ἄνθρωπος οὗτος; στέναξον ὅτι οὐ μετ' ὑπερβολῆς τοῦτο γίνεται, μὴ δὲ ὁλοκλήρως φθείρεται. εἶδες πῶς εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον; ἀποδείξας, ὅτι ὑπὲρ τούτων δεῖ στενάζειν, μὴ γινομένων ὁλοκλήρως; ὑπὲρ ὧν μειζόνως γινομένων ἐστέναζον; διατοῦτο οὐδὲ σκηνῶς αὐτὸ καλεῖ λοιπόν, ἀλλ' οἰκητήριον, καὶ μάλα εἰκότως. ἡ μὲν γὰρ σκηνὴ καταλύεται ῥᾳδίως. ἐκεῖνο δὲ μένει διηνεκῶς. Εἴγε καὶ
» ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. Τοῦτέστι κἂν ἀποθώμεθα τὸ σῶμα, οὐ χωρὶς σώματος ἐκεῖ παραστησόμεθα, ἀλλὰ καὶ μετὰ τοῦ αὐτοῦ ἀφθάρτου γενομένου. Τινὲς δὲ φασὶν ὃ καὶ μάλιστα ἐγκειτέον. εἴπερ καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. ἵνα γὰρ μὴ ἀπὸ τῆς ἀναστάσεως πάντες θαῤῥῶσι φησίν, εἴγε καὶ ἐνδυσάμενοι. τουτέστιν ἀφθαρσίαν, καὶ σῶμα ἄφθαρτον λαβόντες, οὐ γυμνοὶ εὑρεθησόμεθα δίχης, καὶ ἀσφαλείας. ὃ καὶ ἐν τῇ πρὸ ταύτης ἔλεγεν, ὅτι πάντες μὲν ἀναστησόμεθα, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. καὶ ἐστὶ σώματα ἐπ' οὐρανίᾳ, καὶ σώματα ἐπίγεια. ἡ μὲν γὰρ ἀνάστασις, κοινὴ πάντων, ἡ δὲ δόξα, οὐκέτι κοινή. ἀλλ' οἱ μὲν ἐν τιμῇ, οἱ δὲ, ἐν ἀτιμίᾳ. καὶ οἱ μὲν εἰς βασιλείαν, οἱ δὲ, εἰς κόλασιν ἀναστήσονται. τοῦτο γοῦν, καὶ ἐνταῦθα ἐδήλωσεν εἰπὼν, εἴγε ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.

» θαι. Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκιώματι τούτῳ, γενάζομεν, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι,
» ἀλλ' ἐπενδύσασθαι. Ἐνταῦθα πάλιν ὁλοχερῶς, καὶ σαφῶς ἀπέφραξε τὰ στόματα
τῶν αἱρετικῶν, δείξας ὅτι οὐ περὶ σώματος ἁπλῶς διαλέγεται ἄλλου, καὶ ἄλλου, ἀλ
λὰ περὶ φθορᾶς, καὶ ἀφθαρσίας. οὐ γὰρ διατοῦτο γενάζομεν, ἵνα τοῦ σώματος ἀπαλ
λαγῶμεν. τοῦτο γὰρ οὐδὲ ἐκδύσασθαι βουλόμεθα, ἀλλὰ τῆς φθορᾶς τῆς ἐν αὐτῷ σπεύ-
δομεν ἐλευθερωθῆναι. διὸ φησὶν, οὐ θέλομεν ἐκδύσασθαι τὸ σῶμα, ἀλλ' ἐπενδύσασθαι
» αὐτῷ τὴν ἀφθαρσίαν. εἶτα καὶ ἑρμηνεύει αὐτό. Ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ
» τῆς ζωῆς. Εἰκότως δὴ γὰρ πολλοῖς φορτικὸν εἶναι δύκει τὸ ἀποθέσθαι τὸ σῶμα, καὶ ταῖς
ψήφοις ταῖς ἀπάντων ἐναντιοῦτο λέγων, ὅτι γενάζομεν, οὐ βουλόμενοι αὐτοῦ ἀπαλλαγῆ-
ναι. εἰ γὰρ τοιαῦτα πάσχει, καὶ ὀδύρεται αὐτοῦ ἡ ψυχὴ χωριζομένη, πῶς σὺ λέγεις φησὶν, ὅτι
γενάζομεν ἐπειδὴ, οὐ χωριζόμεθα αὐτοῦ; ἵν' οὖν μὴ ζῶντα αὐτῷ ἀνθυποφέρηται, οὐδὲ
ἐγὼ τοῦτο λέγω φησὶν, ὅτι διατοῦτο γενάζομεν, ἵνα αὐτὸ ἀποθώμεθα. οὐδεὶς γὰρ ἀλύπως
αὐτὸ ἀποτίθεται. ὅπουγε καὶ περὶ ὑπέρου φησὶν ὁ Χς, ὅτι οἴσουσί σε, καὶ ἄξουσιν, ὅπου οὐ θέ-
λεις. ἀλλ' ἵνα ἐπενδυσώμεθα αὐτῷ τὴν ἀφθαρσίαν. καὶ γὰρ τοῦτο ἐστὶν, ᾧ τὸ σῶμα βαρυ
νόμεθα. οὐχ ὅτι σῶμα, ἀλλ' ὅτι φθαρτὸν περικείμεθα σῶμα, καὶ παθητόν. τοῦτο γὰρ ἡμῖν,
καὶ τὴν λύπην παρέχει, ἀλλὰ καὶ ἀναλίσκει, καὶ διαπανᾷ τὴν φθορὰν ἡ ζωὴ παραγινομένη τῇ
φθορᾷ, οὐ τὸ σῶμα. καὶ πῶς γίνεται τοῦτο φησὶ, μὴ ζήτει. ὁ δὲ ποιεῖ, μὴ περιεργάζου. διὸ καὶ
» ἐπήγαγεν. Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο, θς'. Ἐντεῦθεν δείκνυσι ζῶν-
τα ἄνωθεν προτυπωθέντα. οὐ γὰρ νῦν τοῦτο ἔδοξεν, ἀλλ' ὅτε ἐξ ἀρχῆς ἔπλατεν ἡμᾶς ἀπὸ
γῆς, καὶ τὸν ἀδὰμ ἐδημιούργει. οὐκοῦν τοῦτο δὲ ἐδημιούργει, ἵνα ἀποθάνῃ, ἀλλ' ἵνα καὶ ἀθά-
» νατον ἐργάσηται. εἶτα τὸ ἀξιόπιστον δείκνυς, καὶ τὴν ἀπόδειξιν παρέχων, ἐπήγαγεν. Ὁ καὶ
» δοὺς τὸν ἀῤῥαβῶνα τοῦ πνς'. Καὶ γὰρ καὶ τότε ὢν τούτῳ διέπλασε, μὴ νῦν εἰς τοῦτο κα
τειργάσατο ἀλλὰ τοῦ βαπτίσματος, καὶ τοῦτο παρέχει ἡμῖν ἐνέχυρον οὐ μικρὸν τὸ πνεῦμα τὸ ἄ-
γιον. σωρεχῶς δὲ ἀῤῥαβῶνα καλεῖ, ὀφείλετην αὐτὸν ἀποδεῖξαι βουλόμενος τοῦ παντὸς, καὶ
» ἀξιοπιστότερον, μὴ ἐντεῦθεν καταφῆσαι τὸν λόγον. Θαῤῥοῦντες οὖν πάντοτε, μὴ εἰδότες.
Τὸ θαῤῥοῦντες, πρὸς τοὺς διωγμούς, πρὸς τὰς ἐπιβουλάς, πρὸς τοὺς θανάτους τοὺς συνε
χεῖς εἴρηται. ὡς αὖ εἴ τις ἔλεγεν, ἐλαύνει σέ τις, μὴ διώκει, καὶ ἀναιρεῖ, μὴ καταπτόησης, ὑπὲρ σοῦ τὸ
πᾶν γίνεται, μὴ φοβηθῇς, ἀλλὰ θαῤῥεῖ. καὶ γὰρ διὸ γενάζεις, καὶ ἀλγεῖς, ὅτι φθορᾷ δου-
λεύεις, τοῦτο ἀναιρεῖ λοιπὸν ἐκτοῦ μέσου, μὴ ταχύτερόν σε τούτης ἀπαλλάττει τ δουλείας.
διὸ καὶ λέγει. Θαῤῥοῦντες οὖν πάντοτε, οὐχὶ ἐν ταῖς ἀνέσεσιν, ἀλλὰ καὶ ἐν ταῖς θλίψεσι.
» Καὶ εἰδότες, ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι ἀποδημοῦμεν ἀπὸ τοῦ κυρίου. Διὰ πίστεως γὰρ
» περιπατοῦμεν, οὐ διὰ εἴδους. Θαῤῥοῦμεν δὲ καὶ εὐδοκοῦμεν, ἀποδημῆσαι ἐκτοῦ σώματος,
» καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον. Τὸ μεῖζον πάντων, ὕψος τέθεικε. τοῦ γὰρ ἀφθαρ-
τον λαβεῖν, τὸ μετὰ χριστοῦ εἶναι βέλτιον. ὃ δὲ λέγει, τοῦτο ἐστίν. οὐ σβέννυσιν αὐτῶν τὴν
ζωὴν ὁ πολεμῶν, καὶ ἀναιρῶν, μὴ φοβηθῇς, θαῤῥεῖ κατακοσμούμενος. οὐ γὰρ μόνον
φθορᾶς σε ἀπαλλάττει, καὶ βάρους, ἀλλὰ καὶ τῷ κυρίῳ σε παραστέμωει ταχέως. διὸ
οὐδὲ εἶπεν ὄντες ἐν τῷ σώματι, ὡς ἐν ἀλλοτρίᾳ ὄντων, καὶ ξένῃ. εἰδότες οὖν ὅτι ἐν-
δημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου. Θαῤῥοῦμεν δὲ, καὶ εὐδοκοῦ-

μεν

μεν ἐκδημῆσαι ἀπὸ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον. εἶδες πῶς τὰ λυπηρὰ ἀποκρυψάμενος τὰ ὀνόματα τοῦ θανάτου, καὶ τῆς τελευτῆς, τὰ σφόδρα ποθεινὰ αὐτ' αὐτῶν τέθεικεν; Ἐπιδημίαν αὐτὰ καλῶν πρὸς τὸν θεόν. καὶ τὰ δυσκολώτατα εἶναι γλυκέα ἀφεὶς τὰ τῆς ζωῆς, ἀπὸ τῶν λυπηρῶν αὐτὰ ὠνόμασεν, ἐκδημίαν ἀπὸ κυρίου τὴν ἐνταῦθα καλέσας ξενιτείαν. ἅπαν δὲ ἐποίησεν, ἵνα μηδεὶς, μήτε τοῖς παροῦσιν ἐμφιλοχωρῇ, ἀλλὰ καὶ βαρυώηται, μήτε μέλλων τελευτᾶν ἀλύῃ, ἀλλὰ καὶ χαίρῃ, ὡς τὴν μείζονα ἀπιὼν ἀγαθά. εἶτα ἵνα μηδεὶς εἴπῃ ἀκούων, ὅτι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου. τί ταῦτα λέγεις, ἀλλοτριούμεθα οὖν αὐτοῦ ἐνταῦθα ὄντες; προδιώρθωσε τοῦτο εἰπών. διὰ πίστεως γὰρ περιπατοῦμεν οὐ διὰ εἴδους. καὶ ἐνταῦθα μὲν οὐκ ἐσμεν, ἀλλ' οὐχ οὕτω σαφῶς. ὃ καὶ ἀλλαχοῦ λέγει ἐν ἐσόπτρῳ, καὶ ἐν αἰνίγματι. θαρροῦμεν δὲ καὶ δυσκοῦμεν. βαβαί πῶν τὸν λόγον περιήγαγεν, εἰς ἐπιθυμίαν ἄκραν τελευτῆς, τὸ φορτικὸν, ἁπλοῦ δείξας, καὶ τὸ ἁπλοῦ φορτικόν. τὸ γὰρ δυσκοῦμεν, ἐπιθυμοῦμεν φησί. τί ἐπιθυμοῦμεν; ἐκδημῆσαι ἐκτοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς κύριον. ἅπαν δὲ ἀεὶ ποιεῖ, ὃ μὴ ἐμπροσθεν ἔδειξα,

» εἰς τἀναντία περιτρέπων τὸν λόγον τῶν ἀντιλεγόντων αὐτῷ. Διὸ καὶ φιλοτιμούμεθα, εἴ-

» τε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι. Τὸ γὰρ ζητούμενον, τοῦτό ἐστι φησὶν, οὔτε ἐκεῖ ὤμεν, οὔτε ἐνταῦθα, κατὰ γνώμην αὐτοῦ ζῶμεν. ἅπαν γὰρ ὅτι τὸ προκρινόμενον, ὥστε ἐντεῦθεν ἤδη τὴν βασιλείαν ἔχεις οὐδὲ δοκιμῆς. ἵνα γὰρ μὴ πάλιν εἰς τοσαύτην ἐλθόντες ἐπιθυμίαν ἀλύωσι πρὸς τὴν μέλησιν τῆς ἐπιδημίας, ἐντεῦθεν ἤδη δίδωσιν αὐτοῖς τὸ κεφάλαιον τῶν ἀγαθῶν. τί δὲ τοῦτό ἐστι, τὸ εὐαρέστους εἶναι; οὐδὲ γὰρ τὸ ἀπελθεῖν ἁπλῶς, καλὸν, ἀλλὰ τὸ εὐδοκιμοῦντα. διὰ ὃ γίνεται καλὸν καὶ ἐκεῖνο, οὐδὲ τὸ ἁπλῶς ἐνταῦθα εἶναι βαρὺ, ἀλλὰ τὸ προσκρούοντα. μὴ τοίνυν νόμιζε τὴν ἐκτοῦ σώματος ἀποδημίαν ἀρκεῖν. ἀρετῆς γὰρ παντὸς χρεία. ὥσπερ γὰρ εἰπών ἀνάστασιν οὐκ ἀφῆκεν αὐτῇ θαρρεῖν μόνον λέγων. εἴγε καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα, οὕτως καὶ ἀποδημίαν δείξας, ἵνα μὴ νομίσῃς αὐτὴν ἀρκεῖνσι πρὸς σωτηρίαν, τὸ εὐαρέστους δεῖ εἶναι προσέθηκεν. ἐπειδὴ τοίνυν προύτρεψεν ἀπὸ πολλῶν χρηστῶν, λοιπὸν καὶ ἀπὸ τῶν σκυθρωποτέρων φοβεῖ. τὸ γὰρ συμφέρον, καὶ ἐν τῇ κτήσει τῶν ἀγαθῶν, καὶ ἐν τῇ φυγῇ τῶν κακῶν σωίζεται. ὅπερ ὅτι γέεννα, καὶ βασιλεία. ἐπειδὴ δὲ τοῦτο μείζονα ἔχει τὴν ἰσχὺν τὸ φυγεῖν κόλασιν. ἐνταῦθα μὲν γὰρ μέχρι τοῦ μὴ λαβεῖν τὰ ἀγαθὰ ἡ ζημία, δυκόλως οἱ πολλοὶ τοῦτο οἴσουσιν. αὖ δὲ καὶ μέχρι τοῦ κακῶς παθεῖν, οὐκέτι. ἐδεῖ μὲν γὰρ ἐκείνῳ ἀφορίζον νομίζειν, ἀλλὰ διὰ τὴν ἀθένειαν τῶν πολλῶν, καὶ τὸ χαμαίζηλον, τοῦτο φαίνεται αὐτοῖς χαλεπώτερον. ἐπεὶ οὖν οὐχ οὕτω διεγείρει τὸν ἀκροατὴν τὸν πολλὰ ἡ τῶν ἀγαθῶν δόσις, ὡς ἡ τῶν κολάσεων ἀπειλὴ, ἀναγκαίως ἐνταῦθα καταλύει λέ-

» γων. Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ χριστοῦ. Εἶτα φοβήσας, καὶ καταστείσας τῇ μνήμῃ τοῦ βήματος ἐκείνου τὸν ἀκούοντα, οὐδὲ ἐνταῦθα

» χωρεῖς τ χρηστῶν πέθεικε τὰ λυπηρὰ, ἵνα ἀνέμιξε πανταχοῦ ἡδονήν εἰπών. Ἵνα ἕκαστος κομίσηται

» τὰ διὰ τοῦ σώματος ὅσα ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. Ταῦτα δὲ λέγων, τούς τε καταρθωκότας, μὴ ἐλαυνομένους αὐτοὺς ταῖς ἐλπίσι, τούς τε ἀναστρεφομένους, ἀσυνδιαστρέφους ποιεῖ τῷ φόβῳ. μὴ τ περὶ τῆς ἀναστάσεως δὲ τ σωμάτ βεβαίου λόγον. οὐ γὰρ δήπου τὸ διανοησάμενον

κοινησάμενον εἰς τὸ Ζ, κἀκεῖνο, τῶν ἀμοιβῶν ἔξω φήσεται φησίν. ἀλλὰ μετὰ τῆς ψυχῆς, τὰ μὲν κολάζεται, τὰ δὲ στεφανοῦται. ἀλλὰ τίνες τῶν αἱρετικῶν φασὶν, ὅτι ἕτερον ἐγείρεται σῶμα, πόθεν εἰσέρχομαι; ἄλλο ἥμαρτε, καὶ ἄλλο κολάζεται; ἄλλο κατώρθωσε, καὶ ἄλλο στεφανοῦται; τί δὲ ἐρεῖτε λέγοντι παύλῳ, οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι. πῶς δὲ τὸ φθαρτὸν ὑπὸ τῆς ζωῆς καταπίνεται; οὐ γὰρ εἶπεν, ἵνα καταποθῇ τὸ θνητὸν, ἢ τὸ φθαρτὸν σῶμα ὑπὸ τοῦ ἀφθάρτου σώματος, ἀλλ' ἵνα ἡ φθορὰ ὑπὸ τῆς ζωῆς. τότε γὰρ τοῦτο γίνεται, ὅταν τὸ αὐτὸ ἐγείρηται σῶμα. ἐὰν δὲ ἐκεῖνο ἀφεὶς ἄλλο κατασκευάσῃ, οὐκέτι καταπίνεται, ἀλλὰ μένει ἡ φθορὰ κρατήσασα. διαφθορὰ οὐ γίνεται ὄντως, ἀλλὰ δεῖ τὸ φθαρτὸν ὄντως, τουτέστι τὸ σῶμα, ἐνδύσασθαι ἀφθαρσίαν. τὸ γὰρ σῶμα, μέσον ἐστὶ, νῦν μὲν ἐν τούτῳ γενόμενον, ὕστερον δὲ ἐσόμενον ἐν ἐκείνῳ. καὶ διὰ τοῦτο ἐν τούτῳ πρώτῳ. ἐπειδὴ πᾶν ἀφθαρσίαν λυθῆναι οὐκ ἔδει. οὐ γὰρ ἡ φθορὰ πᾶν ἀφθαρσίαν κληρονομεῖ φησίν. ἐπεὶ πῶς ἔνι ἀφθαρσία, ἀλλὰ τοὐναντίον καταπίνεται ἡ φθορὰ ὑπὸ τῆς ζωῆς. τοῦτο μὲν γὰρ ἐκείνου περιγίνεται, ἐκεῖνο δὲ τούτου οὐκέτι. ὥσπερ γὰρ κηρὸς λύεται μὲν ὑπὸ πυρὸς, αὐτὸς δὲ οὐκέτι λύει τὸ πῦρ, οὕτω καὶ ἡ φθορὰ τήκεται ὑπὸ τῆς ἀφθαρσίας, καὶ ἀφανίζεται. αὕτη δὲ ἐκείνης κρατῆσαι οὐδέποτε δύναται.

Ἡ δηλόν.

Α' κούσωμεν τοίνυν τῆς παύλου φωνῆς λεγούσης, ὅτι δεῖ ἡμᾶς παραστῆναι τῷ βήματι τοῦ Χῦ, καὶ ὑπομένωμεν ἐκεῖνο τὸ δικαστήριον, καὶ νομίσωμεν αὐτὸ παρεῖναι νῦν, καὶ τὰς βύθους ἀνοῖξαι. ἐγὼ γὰρ αὐτὸ πλατύτερον ἐρῶ. παῦλος γὰρ ἐπειδὴ περὶ ἀναστάσεως λόγος αὐτῷ, καὶ οὐκ ἐβούλετο πάλιν θλίψαι αὐτοὺς, οὐκ ἐνδιέτριψε τῷ λόγῳ, ἀλλ' ἐν βραχεῖ τὸ σύφορον εἶπεν, ἕκαστος νομίσεται πρὸς ἃ ἔπραξε, παρέδραμε. νομίσωμεν οὖν αὐτὸ παρεῖναι νῦν. καὶ ἕκαστος τὸ ἑαυτοῦ συνειδὸς ἀναλογιζέσθω, καὶ ἤδη λογιζέσθω παρεῖναι τὸν δικαστὴν, καὶ πάντα ἀνακαλύπτεσθαι, καὶ εἰς μέσον ἄγεσθαι. οὐ γὰρ παραστῆναι ἡμᾶς ἁπλῶς δεῖ, ἀλλὰ καὶ φανερωθῆναι. ἆρα οὐκ ἠρυθριάσατε; ἆρα οὐκ ἐξέστητε; εἰ δὲ νῦν οὔπω τὸ πράγματος παρόντος, ἀλλὰ καθ' ὑπόθεσιν δοθέντος, καὶ λογισμῷ τυπωθέντος ἀπολλόμεθα ὑπὸ τοῦ συνειδότος, τί ποιήσωμεν, ὅταν παραγένηται; ὅταν ἡ οἰκουμένη πᾶσα παρῇ; ὅταν ἄγγελοι, καὶ ἀρχάγγελοι, ὅταν ἐπάλληλοι τάξεις, καὶ δρόμος ἁπάντων, καὶ ἁρπαγαὶ ἐπὶ τῶν νεφελῶν, καὶ παράταξις τρόμῳ γέμουσα; ὅταν αἱ σάλπιγγες αἱ ἐπάλληλοι, καὶ αἱ συνεχεῖς ἐκεῖναι φωναί; εἰ γὰρ μὴ γέεννα ἦν, τὸ ἐν τοσαύτῃ λαμπρότητι ἀπωθεῖσθαι, καὶ ἅπαξ ἀναχωρῆσαι, πόση κόλασις. καὶ γὰρ εἰ νῦν βασιλέως εἰσελαύνοντος, καὶ τῶν μετ' αὐτὸν, θεωροῦντες ἕκαστος τὴν ἑαυτοῦ πενίαν οὐ τοσαύτην ἀπὸ τῆς θέας λαμβάνομεν ἡδονὴν, ὅσον ἀπὸ τοῦ μηδενὸς μετέχειν τῶν περὶ τὸν βασιλέα, μὴ δὲ ἐγγὺς εἶναι τοῦ κρατοῦντος ἀθυμίαν ὑπομένομεν; τί τότε ἔσται, ἢ μικρὰν εἶναι νομίζεις κόλασιν, τὸ μὴ καταστῆναι ἐν ἐκείνῳ τῷ χορῷ; τὸ μὴ καταξιοῦσθαι τῆς ἀπορρήτου δόξης; τὸ τῆς πανηγύρεως ἐκείνης, καὶ τῶν ἀφράστων ἀγαθῶν πόρρωπου, καὶ μακρὰν ἀπερρίφθαι; ὅταν δὲ καὶ σκότος ᾖ, καὶ βρυγμὸς ὀδόντων, καὶ δεσμὰ ἄλυτα, καὶ σκώληξ ἀτελεύτητος, καὶ πῦρ ἄσβεστον, καὶ θλῖψις, καὶ στενοχωρία, καὶ γλῶσσαι τηγανιζόμεναι καθάπερ ἡ τοῦ πλουσίου, καὶ ὀλοφυρόμεθα,

μεθα, καὶ μηδεὶς ἀκούῃ. καὶ σένωμεν, καὶ βρύχωμεν ὑπὸ τῶν ἀλγηδόνων, καὶ μηδεὶς προσέχῃ. καὶ παντα χοῦ βλέπωμεν, καὶ μηδαμοῦ μηδεὶς ὁ παραμυθούμενος ᾖ, ποῦ τάξομεν τοὺς ἐν τούτοις ὄντας; τί δὲ ἐκείνων ἀθλιώτερον τῶν ψυχῶν; τί δὲ ἐλεεινότερον; εἰ γὰρ εἰς δεσμωτήριον εἰσιόντες, καὶ τοὺς μὲν, αὐχμῶντας ὁρῶντες, τοὺς δὲ, δεδεμένους, καὶ πινῶντας, τοὺς δὲ ἐν σκότῳ κατακεκλιμένους, κατακλώμεθα, φείσομεν, πάντα ὑπὲρ τοῦ μήποτε ἐμπεσεῖν ἐκεῖσε πράξομεν, ὅταν ἀπαγώμεθα συρόμενοι εἰς αὐτὰ τῆς γεέννης τὰ βασανιστήρια, τίνες ἐσόμεθα; οὐ γὰρ ἐκσπάσει τὰ δεσμὰ ἐκεῖνα, ἀλλ' ἀπὸ πυρὸς οὐδέποτε σβεννυμένου. οὐδὲ ὁμόζυγοι οἱ σφεγγῶτες ἡμῖν, οὓς καὶ μειλίξασθαι πολλαχοῦ ἔνι, ἀλλ' ἄγγελοι. οἷς οὐδὲ προσβλέψαι ἔστιν, ὑπὲρ ὧν τ δεσπότην ὑβρίκαμεν ὀργίζομενοι. οὐκ ὄψει καθάπερ ἐνταῦθα τοὺς μὲ, ἀργύριον, τοὺς δὲ προφασὶ, τοὺς δὲ λόγους εἰσάγοντας παρακλητικοὺς ἰδεῖν, καὶ παραμυθίασθαι τυχεῖν, ἀλλὰ πάντα ἀσύγγνωστα ἐκεῖ. κἂν νωθρὸς ᾖ, κἂν ἰώβ, κἂν δανιὴλ, καὶ τοὺς οἰκείους ἴδῃ κολαζομένους, οὐ τολμᾷ παρασῆναι. καὶ γὰρ καὶ τὴν ἐκ τῆς φύσεως συμπάθειαν τότε ἀναιρεῖσθαι συμβαίνει. ἐπειδὴ γὰρ συμβαίνει δικαίους εἶναι πατέρας πονηρῶν, καὶ πατέρας πατέρων, ὥστε καθαρὰν εἶναι τὴν ἡδονὴν, καὶ μὴ τῆς συμπαθείας ἀνάγκη κατακλᾶσθαι τοὺς ἀπολαύοντας τῶν ἀγαθῶν. καὶ ταύτην σβέννυσθαι τὴν συμπάθειαν φημὶ, καὶ αὐτοὺς συναγανακτεῖν τῷ δεσπότῃ κατὰ τῶν οἰκείων σπλάγχνων. εἰ γὰρ ἄνθρωποι οἱ τυχόντες, ὅταν ἴδωσι φαύλους τοὺς αὐτῶν πατέρας, ἀποκηρύττουσι, καὶ τῆς συγγενείας ἐκτέμνουσι, πολλῷ μᾶλλον οἱ δίκαιοι τότε. τοιγαροῦν μηδεὶς ἐλπιζέτω χρηστὰ, μὴ ἐργαζόμενός τι χρηστὸν, κἂν μυρίους ἔχῃ προγόνους δικαίους. ἕκαστος γὰρ κομίσεται πρὸς ἃ ἔπραξε τὰ διὰ τοῦ σώματος. ἐνταῦθα μοι δοκεῖ, καὶ τοὺς πορνεύοντας αἰνίττεσθαι, καὶ τὸν ἐκεῖθεν ἐπιτείχιζων φόβον αὐτοῖς, οὐκ ἐκείνοις δὲ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς ὁπωσοῦν πλημμελοῦσιν. ἀκούωμεν τοίνυν καὶ ἡμεῖς, κἂν πῦρ ἔχῃς ἐπιθυμίας, ἀντίσχησον ἐκεῖνο τὸ πῦρ. καὶ τοῦτο δυσθέως κατασβεσθὲν οἴχεται. κἂν βουληθῇς τι φθέγξασθαι ἀπηχές, ἐννόησον τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ χαλινὸς ἔσται σοι ὁ φόβος. κἂν ἁρπάσαι βουληθῇς, ἄκουσον τοῦ διακονοῦ κελεύοντος, καὶ λέγοντος, δῆσατε αὐτοῦ χεῖρας, καὶ πόδας, καὶ ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον, καὶ ἐκβαλεῖς, καὶ ταύτην οὕτως τὴν ἐπιθυμίαν. κἂν μεθύῃς, καὶ κραιπαλῶν διατελῇς, ἄκουσον τοῦ πλουσίου λέγοντος, πέμψον λάζαρον, ἵνα ἄκρῳ δακτύλῳ καταψύξῃ τὴν πεπυρωμένην γλῶσσαν, καὶ οὐ τυγχάνοντος, καὶ ἀποφήσῃ τοῦ πάθους. εἰ δὲ πρυφῇς ἐρᾷς, ἐννόησον τὴν ἐκεῖ θλῖψιν, καὶ τὴν γενοχωρίαν, καὶ οὐδὲν ἐννοήσεις τοιοῦτον. εἰ δὲ ἀπηνὴς εἶ, καὶ ὠμὸς, ἀνάμνησθητι τῶν παρθένων ἐκείνων, αἱ τῶν λαμπάδων αὐταῖς σβεσθεισῶν, οὕτως τοῦ νυμφῶνος ἐξέκλεισαν, καὶ τοσοῦτον ἔσῃ φιλάνθρωπος. ἀλλὰ νωθρὸς εἶ, καὶ παρειμένος, λογίζου τὸν τάλαντον καταρύπαντα, καὶ ἔσῃ πυρὸς σφοδρότερος. ἀλλὰ κατεθίσει ἡ τῆς τοῦ πλησίον περιουσίας ἐπιθυμία; λογίζου τὸν σκώληκα τὸν ἀτελεύτητον, καὶ δυσκόλως μὴ τοῦτο ἀποθήσεις τὸ νόσημα, μὴ τὰ ἄλλα πάντα καρτερώσεις. οὐδὲν γὰρ φορτικὸν, οὐδὲ ἐπαχθὲς ἐπέταξε. πόθεν οὖν ἡμῖν φορτικὰ φαίνεται τὰ ἐπιτάγματα; ἀπὸ τ ἡμετέρας ῥᾳθυμίας. ὥσπερ γὰρ ἐὰν ἀσθενίζωμεν, μὴ τὰ δυσκοίτατα ἀφόρητα εἶναι νοοῦμεν, καὶ ῥᾴδια, οὕτως ἐὰν ῥᾳθυμῶμεν, καὶ τὰ φορητὰ, δύσκολα ἡμῖν φανεῖται. ταῦτ' οὖν ἅπαντα λογισάμενοι,

μὴ πρυφῶντας

μὴ κρυφῶντας ἐννοῶμεν, ἀλλὰ πὶ τὸ τέλος αὐτῶν. ἐν ζῷῦν δὲ μὴν κόπος, καὶ πολυσαρκία. ἐκεῖ δὲ σκώληξ, καὶ πῦρ. μὴ τοὺς ἁρπάζοντας, ἀλλὰ πὶ τὸ τέλος αὐτῶν, φροντίδες ἐνταῦθα, καὶ φόβοι, καὶ ἀγωνίαι. ἐκεῖ δὲ δεσμὰ ἄλυτα. μὴ τοὺς δόξης ἐρῶντας, ἀλλὰ πὶ τὸ ἐκ τούτων πικτόμενον. δουλεῖαι ἐνταῦθα, καὶ εἰρωνεῖαι. ἐκεῖ δὲ ξημία ἀφόρητος, καὶ τὸ ἐμπαυξίζεσθαι διηνεκῶς. αὖ γὰρ οὕτως ἑαυτοῖς διαλεγώμεθα, καὶ ζῶῦτα καὶ τὰ τοιαῦτα ἐπάδωμεν συνεχῶς ταῖς πονηραῖς ἡμῶν ἐπιθυμίαις, ταχέως καὶ τὸν τῶν παρόντων ἐκβαλοῦμεν ἔρωτα, καὶ τὸν τῶν μελλόντων ἀνάψομεν. ἀνάψωμεν τοίνυν αὐτὸν, καὶ ἐκκαύσωμεν. εἰ γὰρ ἡ ἔννοια αὐτῶν, καίτοιγε ἀμυδράζις οὖσα τοσαύτην παρέχει τὴν ἡδονήν· συννόησον ὅσην αὐτὴ ἡ πεῖρα ἡ σαφὴς οἴσει τὴν βυθροσύνην ἡμῖν. μακάριοι καὶ τρισμακάριοι, καὶ πολλάκις ἐκεῖνοι τῶν ἀγαθῶν ἀπολαύοντες ἐκείνων, ὥσπερ οὖν ἐλεεινοί, καὶ τρισάθλιοι οἱ τἀναντία τούτων ὑπομένοντες. ἵν' οὖν μὴ τούτων, ἀλλ' ἐκείνων γενώμεθα, ἑλώμεθα τὴν ἀρετήν. οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, ιά.

» Εἰδότες οὖν τὸν φόβον τοῦ κυρίου, ἀνθρώπους πείθομεν. θεῷ δὲ πεφανερώμεθα. ἐλπί-
» ζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι. Ταῦτα οὖν εἰδότες φησὶ, τὸ δικαιότατον ἐκεῖνο τὸ φοβερὸν, πάντα πράττομεν, ὡστε μὴ δυῶσαι ὑμῶν λαβεῖν, μὴ δὲ πρόσκομμα, μὴ δὲ ψυδρὰν τινὰ ὑποψίαν πονηρᾶς πράξεως κατ' ἡμῶν. εἴδες πολιτείας ἀκρίβειαν, καὶ σπουδὴν ψυχῆς κηδεμονικῆς; οὐ γὰρ δὴ μόνον, αὖ πονηρόν τι πράξωμεν φησὶν ἐγκαλοῦμεθα, ἀλλὰ κἂν μὴ πράξωμεν, ὑποπτεύομεν δὲ καὶ κύριοι τὴν ὑποψίαν ὄντες ἀποκρού-
» σασθαι καταφρονήσωμεν, δίκην τίνομεν. Οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορ-
» μὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ὑμῶν. Ὅρα πῶς συνεχῶς διορθοῦται τὴν τοῦ δοκεῖν ἐγκωμιάζειν ἑαυτὸν ὑπόνοιαν. οὐδὲν γὰρ οὕτως προσίσταται τοῖς ἀκούουσιν, ὡς τὸ περὶ ἑαυτοῦ τινὰ λέγειν μεγάλα, καὶ θαυμαστά. ἐπεὶ οὖν ἠναγκάζετο εἰς ταύτην τὸν λόγον ἐμπίπτειν τὴν ὑπόθεσιν, ἐπιδιορθώσει πέχρηται λέγων. ὅτι τοῦτο δι' ὑμᾶς ποιοῦμεν, οὐ δι' ὑμᾶς, ἵνα ὑμεῖς ἔχητε καλλωπίζεσθαι, οὐχ ἵνα ἡμεῖς. καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ διὰ
» τοὺς ψευδαποστόλους. διὸ καὶ ἐπήγαγε. Πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους, καὶ οὐ
» καρδίᾳ. Εἶδες πῶς αὖ τοὺς ἀπεσοβήσατο ἐκείνων; καὶ πρὸς ἑαυτὸν εἵλκυσεν; ἐνδεξάμενος, ὅτι καὶ αὐτοὶ πεπόθασιν οἱ κορίνθιοι λαβεῖν τινὰ ἀφορμὴν, δι' ἧς ἀπαλλάσσονται ὑπὲρ αὐτοῦ λέγειν, καὶ ἀπολογεῖσθαι τοῖς ἐγκαλοῦσιν; οὐ γὰρ ἵνα ἡμεῖς καυχησώμεθά φησι ταῦτα φαμὲν, ἀλλ' ἵνα ὑμεῖς ἔχητε ἐλευθερίαν ὑπὲρ ἡμῶν. ὅπερ πολλαχοῦ αὐτοῖς ὄντι μαρτυρῶν τὸς ἀγάπην. καὶ οὐχ ἵνα ἁπλῶς καυχήσησθε, ἀλλ' ἵνα μὴ παρασυρῆτε, ἀλλ' οὕτω μὲν οὐ λέγει σαφῶς. ἑτέρως δὲ καὶ ἡμερώτερον μεθοδεύει τὸν λόγον, καὶ χωρὶς τοῦ
» πλῆξαι ἐκείνους, λέγων. Ἵνα ἔχητε καυχᾶσθαι πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους. Ἀλλ' οὐδὲ οὕτως ἁπλῶς κελεύει ποιεῖν, αὐτίκα συγκοῦσης, ἀλλ' ὅταν ἐκεῖνοι ἑαυτοὺς ἐπαίρωσι. πανταχοῦ γὰρ τὸν καιρὸν ἐπιζητεῖ, οὐ τοίνυν, ἵνα ἑαυτὸν δείξῃ λαμπρὸν, ἀλλ' ἵνα ἐκείνους παύσῃ, ἀτόπως, καὶ ὡς βλάβῃ τούτων τῷ πράγματι χρωμένους τοῦτο ποιεῖ. τί δέ ἐστιν ἐν προσώπῳ; ἐν τοῖς ὁρωμένοις, ἐν τοῖς πρὸς ἐπίδειξιν. τοιοῦτοι γὰρ

ἦσαν ἐκεῖνοι

ἦσαν ἐκεῖνοι πρὸς φιλοτιμίαν πάντα ποιοῦντες, καὶ ἔνδοθεν ὄντες κενοὶ, καὶ βλαβείας μὲν ἔχοντες πρόσωπον, καὶ σεμνοὶ φαινόμενοι, ἔργων δὲ ἀγαθῶν ἔρημοι καθεστῶτες.

» Εἴτε γὰρ ἐξέστημεν, θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν. Ἄντε πίφισι μέγα φθεγξώμεθα, ἔκστασιν γὰρ τοῦτο καλεῖ, ὥσπερ οἶμαι, καὶ ἀλλαχοῦ ἀφροσυνίαν, διὰ τὸν θεὸν τοῦτο ποιοῦμεν· ἵνα μὴ ὑμεῖς νομίζοντες ἡμᾶς βλιτελεῖς, καταφρονήσητε, καὶ ἀπολῆσθε· αὖτε μετριάζωμεν, καὶ ταπεινόν, δι' ὑμᾶς, ἵνα μάθητε ταπεινοφρονεῖν· ἢ καὶ ἐκεῖνο πάλιν φησὶν, εἰ μὲν μαίνεσθαί τις ἡμᾶς νομίζει, ἡμεῖς παρὰ τοῦ θεοῦ τὸν μισθὸν ἀπαιτοῦμεν, δι' οὗ ταῦτα τούτοις ὑποφλυάρουμεν θα· εἰ δὲ σωφρονεῖν ἡγεῖται, αὐτὸς ἀπολαυέτω τῆς σωφροσυνίας ἡμῶν· καὶ πάλιν ἄλλως· μαίνεσθαί τις ἡμᾶς φησι; διὰ τὸν θεὸν τοιαῦτα μαινόμεθα, διὸ καὶ ἔπαγει·

» Ἡ γὰρ ἀγάπη τοῦ θεοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο· Οὐ γὰρ ὁ τῶν μελλόντων φόβος φησὶ μόνον, ἀλλὰ καὶ τὰ ἤδη γεγενημένα, οὐκ ἀφίησιν ἡμᾶς ῥᾳθυμῆσαι, οὐδὲ ὑπνῶσαι, ἀλλὰ διανίστησι πρὸς τοὺς ὑπὲρ ὑμῶν πόνους, καὶ ὠθεῖ· καὶ τινά ὅτι τὰ ἤδη γεγενημένα;

» Εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· Οὐκοῦν ὡς πάντων ἀπολομένων, φησί· οὐ γὰρ αὖ εἰ μὴ πάντες ἀπέθανον, ὑπὲρ πάντων ἀπέθανεν· ἐν τούτῳ δὲ γάρ εἰσιν αἱ τῆς σωτηρίας ἀφορμαὶ, ἐκεῖ δὲ οὐκέτι· διὰ τοῦτο φησὶ συνέχει ἡμᾶς ἡ ἀγάπη τοῦ θεοῦ, καὶ οὐκ ἀφίησιν ἡμᾶς ἡσυχάζειν· ἐχάτης γάρ ὄντιν ἀηδιότητος, καὶ γέεννης αὐτῆς χαλεπώτερον, αὐτὸ πρᾶγμα τοσοῦτον ἐπιδειξαμένου, βύρεσθαί τινας μετὰ τὴν τοσαύτην αὐτοῦ πρόνοιαν μηδὲν κερδαινομένους· καὶ γὰρ πολλὴ τῆς ἀγάπης ἡ ὑπερβολὴ,

» καὶ τὸ ἀποθανεῖν ὑπὲρ τοσαύτης οἰκουμένης, καὶ οὕτω διακειμένης ἀποθανεῖν· Ἵνα οἱ

» ζῶντες, μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι, καὶ ἐγερθέντι.

Εἰ τοίνυν οὐ δεῖ ἡμᾶς ἑαυτοῖς ζῆν, μὴ παράπεσθε φησὶ, μὴ δὲ θορυβεῖσθε κινδύνων ἐπόντων· καὶ θανάτων, καὶ λογισμὸν δὲ πίθησιν ἀναμφίβολον· διὰ οὗ δείκνυσιν ὀφείλων τὸ πρᾶγμα ὄν· εἰ γὰρ διὰ αὐτοὺς ζῶμεν ἀποθανόντος, αὐτῷ ζῆν ὀφείλομεν διὰ ὃν ζῶμεν· καὶ διακεῖσθαι μὲν ἐν εἶναι τὸ εἰρημένον· εἰ δέτις ἀκριβῶς ἐξετάσειε, διὰ δύο ταῦτα ἐστὶν, ἓν μὲν, ὅτι διὰ αὐτὸν ζῶμεν· ἕτερον δὲ, ὅτι αὐτὸς διὰ ἡμᾶς ἀπέθανεν· ὧν ἕκαστον, καὶ καθ' αὑτὸ, ἱκανὸν ὑπευθύνους ποιῆσαι· ὅταν δὲ καὶ ἀμφότερα συνέλθῃ, ἐννόησον, ἡλίκον ἐστὶ τὸ ὀφείλημα, μᾶλλον δὲ καὶ πλείω ταῦτα ἐστί· καὶ γὰρ τὴν ἀπαρχὴν διὰ σὲ ἀνέστησε, καὶ εἰς τὸν οὐρανὸν ἀνήγαγε· διὸ

» προσέθηκε· τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι, καὶ ἐγερθέντι· Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα

» οἴδαμεν κατὰ σάρκα· Εἰ γὰρ πάντες ἀπέθανον, καὶ πάντες ἀνέστησαν· μὴ ἀποθανὸν μὲν οὕτως, ὡς τῆς ἁμαρτίας ἡ τυραννὶς κατεδίκασεν· ἀνέστησαν δὲ διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινίσεως πνεύματος ἁγίου· εἰπόντως φῇ οὐδένα οἴδαμεν κατὰ σάρκα τῶν πιστῶν· τί γὰρ εἰ καὶ ἐν σαρκί εἰσιν; ἀλλὰ ἡ ζωὴ ἐκείνη ἡ σαρκικὴ ἀπόλετο, μὴ αὖθις ἐγεννήθημεν ἐν πνεύματι, καὶ ἑτέραν οἴδαμεν πολιτείαν, καὶ διαγωγὴν, καὶ ζωὴν, καὶ κατάστασιν τὴν ἐν τοῖς οὐρανοῖς· καὶ

» πάλιν τούτου αὖ τὸ ἀρχηγὸν τὸν Χν̃ ὄντα δείκνυσι, διὸ μὴ ἐπήγαγεν· Εἰ δὲ καὶ ἐγνώκαμεν

» κατὰ σάρκα Χν̃, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν· Τί οὖν εἰσήμοι, τὴν σάρκα ἀπέθετο, μὴ νῦν οὐκ ἔστι μετὰ τοῦ σώματος; ἄπαγε· καὶ γὰρ μὴ νῦν ἐν σαρκί ἐστιν· οὔτε γὰρ ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλήλυθεται· οὔτως πῶς; ἐν σαρκὶ μετὰ τοῦ σώματος· πῶς οὖν φησιν εἰ δὲ καὶ ἐγνώκειμεν κατὰ σάρκα Χν̃, ἀλλὰ νῦν οὐκέτι; ἡμῶν μὲν γὰρ τὸ κατὰ σάρκα, τὸ

ἐν ἁμαρτίαις

ἐν ἁμαρτίαις εἶναι. τὸ δὲ μὴ κατὰ σάρκα, τὸ μὴ ἐν ἁμαρτίαις εἶναι. χριστοῦ δὲ τὸ κατὰ σάρκα, τὸ ἐν τοῖς παθήμασιν εἶναι τῆς φύσεως, οἷον ἐν τῷ διψῆν ἐν τῷ πεινᾶν, ἐν τῷ κοπιᾶν ἐν τῷ καθεύδειν. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. διὸ καὶ ἔλεγεν, τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; καὶ πάλιν ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. τὸ δὲ μὴ κατὰ σάρκα, τὸ καὶ τούτων ἀπηλλάχθαι λοιπόν, οὐ τὸ ἐκτὸς σαρκὸς εἶναι. καὶ γὰρ μετὰ ταύτης ἔρχεται κρίνων τὴν οἰκουμένην ἀπαθῆ αὐτὴν ἔχων, καὶ ἀκήρατον, εἰς ὃ καὶ ἡμεῖς βασιλούμεθα. συμμόρφου τοῦ σώματος
» ἡμῶν γενομένου τῷ σώματι τῆς δόξης αὐτοῦ. Ὥστε εἴτις ἐν χριστῷ καινὴ κτίσις.
Ἐπειδὴ γὰρ ἀπὸ τῆς ἀγάπης προέτρεψεν εἰς ἀρετὴν, λοιπὸν καὶ ἐξ αὐτῶν τῶν πραγμάτων εἰς τοῦτο ἀνάγει. διὸ καὶ ἐπήγαγεν. εἴτις ἐν χριστῷ καινὴ κτίσις, εἴτις ἐπίστευσεν αὐτῷ φησιν, εἰς ἑτέραν ἦλθε δημιουργίαν. καὶ γὰρ ἄνωθεν ἐγεννήθη ἀλλὰ πνεύματος. ὥστε καὶ διατοῦτο φησὶν ὀφείλομεν αὐτῷ ζῆν, οὐχ ὅτι οὐκ ἐσμὲν ἑαυτῶν μόνον, οὐδ' ὅτι ἀπέθανεν ὑπὲρ ἡμῶν μόνον, οὐδ' ὅτι ἀνέστησεν ἡμῶν τὴν ἀπαρχὴν μόνον, ἀλλ' ὅτι καὶ εἰς ἄλλην ἤλθομεν ζωήν. ὅρα πόσα δικαιώματα τοῦ καλῶς ζῆν τέθεικε. δεῖ γὰρ ἁγνὸν, καὶ παχυτέρῳ ὀνόματι καλεῖ τὴν διόρθωσιν, ἵνα πολλὴν δείξῃ τὴν μετάστασιν, καὶ τὴν μεταβολήν. εἶτα
» περαιτέρω ἐπεξιὼν τῷ εἰρημένῳ, καὶ δεικνὺς, πῶς καινὴ κτίσις. Τὰ ἀρχαῖα παρῆλθε
» φησὶν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα. Ποῖα ἀρχαῖα; ἦτοι τὰ ἁμαρτήματα φησὶ, καὶ τὰς ἀσεβείας, ἢ τὰ ἰουδαϊκὰ πάντα, μᾶλλον δὲ καὶ ταῦτα, καὶ ἐκεῖνα φησὶν, ἰδοὺ γέγονε τὰ πάν-
» τα καινά. Τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ. Οὐδὲν ἐξ ἡμῶν. καὶ γὰρ ἄφεσις ἁμαρτημάτων, καὶ υἱοθεσία, καὶ ἡ δόξα ἄφθαρτος ἐξ αὐτοῦ ἡμῖν δεδώρηται. οὐκέτι γὰρ ἀπὸ τῶν μελλόντων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων αὐτοὺς προτρέπει. σπόσει δὲ, εἰδὼς ὅτι μέλλομεν σώζεσθαι, καὶ εἰς ἄφθαρσίαν χωρεῖν, καὶ οἰκίαν ἔχειν αἰώνιον. ἀλλ' ἐπειδὴ μείζονα ἰσχὺν εἰς τὸ προτρέψασθαι ἔχει τὰ παρόντα τῶν μελλόντων πρὸς τοὺς μὴ πιστεύοντας τούτοις, ὡς δεῖ πιστεύειν, δείκνυσιν ὅσα καὶ ἤδη ἐλάβομεν, καὶ τίνες ὄντες. τίνες οὖν ὄντες ἐλάβομεν; νεκροὶ πάντες. πάντες γὰρ φησιν ἀπέθανον, καὶ ὑπὲρ πάντων ἀπέθανεν. οὕτω πάντας ὁμοίως ἦγε πεπαλαιωμένους, γεγηρακότες ἅπαντες τοῖς κακοῖς. ἀλλ' ἰδοὺ καὶ ψυχὴ καινὴ, ἐνοικήθη γὰρ, καὶ σῶμα καινὸν, καὶ λατρεία καινὴ, καὶ ἐπαγγελίαι καιναὶ, καὶ διαθήκη, καὶ ζωὴ, καὶ πρόσταξις, καὶ πολὴ, μὴ πάντα καινὰ ἁπλῶς. καὶ γὰρ ἀντὶ τῆς κάτω ἱερουσαλὴμ, ἐλάβομεν τὴν ἄνω μητρόπολιν. καὶ ἀντὶ ναοῦ αἰσθητοῦ, ναὸν εἴδομεν πνευματικόν. ἀντὶ πλακῶν λιθίνων, σαρκίνας. ἀντὶ περιτομῆς, βάπτισμα. ἀντὶ τοῦ μάννα, σῶμα ἐπουράνιον. ἀντὶ ὕδατος ἀπὸ πέτρας, αἷμα ἀπὸ πλευρᾶς. ἀντὶ ῥαβδου μωϋσέως, ἢ ἀαρὼν, τὸν σταυρόν. ἀντὶ τῆς ἐπαγγελίας, τὴν βασιλείαν τῶν οὐρανῶν. ἀντὶ μυρίων ἱερέων, ἕνα ἀρχιερέα. ἀντὶ ἀμνοῦ ἀλόγου, ἀμνὸν πνευματικόν. ταῦτα καὶ τὰ τοιαῦτα λογιζόμενος, ἔλεγε καινὰ τὰ πάντα. ταῦτα δὲ πάντα ἐκτὸς δοῦ διὰ χριστοῦ, μὴ τῆς αὐτοῦ δωρεᾶς. διὸ καὶ ἐπήγαγε.
» Τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ τοῦ χριστοῦ, μὴ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.
Ἀπὸ γὰρ τούτου πάντα τὰ ἀγαθά. ὁ γὰρ φίλους ἡμᾶς ποιήσας, αὐτὸς καὶ τῶν λόγων αἴτιος, ὁ τοῖς φίλοις ἐδωκεν ὁ θς. οὐ γὰρ ἀφεὶς μένειν ἐχθρούς, οὕτως ἡμᾶς ἠμείψατο, ἀλλὰ φίλους ποιήσας ἑαυτῷ. ὅταν δὲ εἴπω, ὅτι χς αἴτιος τῆς καταλλαγῆς, μὴ τὸν πατέρα λέγω. ὅταν εἴπω

τὸν πατέρα

» ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν. Οὐκοῦν οὐκ ἐμαυτῷ, ἀλλ' ἐκείνῳ ζηλῶ, ᾧ ἡρμοσάμην. μνησθεὶς γάρ ἐστι καιροῦ ὁ παρὼν καιρός. ὁ δὲ τοῦ παιδάδων, ἕτερος. ὅταν λέγωσιν, ἀνέστη ὁ νυμφίος, ὡς καινῶν πραγμάτων. ὧν τοῦ νόμου παρθένοι μένουσι πρὸ τοῦ γάμου. μετὰ δὲ τὸν γάμον οὐκέτι. ἐν ζῶν δὲ οὐχ οὕτως, ἀλλὰ κἂν μὴ ὦσι παρθένοι πρὸ τοῦ γάμου τότου, μὴ τὸν γάμον παρθένοι γένωνται. οὕτω πᾶσα ἡ ἐκκλησία παρθένος ἐστί. μὴ γὰρ πρὸς πάντας διαλεγόμεθα ταῦτα φῆναι, μὴ τοὺς γεγαμηκότας, μὴ τὰς γεγαμημένας. ἀλλ' ἴδωμεν τί φέρων, ἡμᾶς ἡρμόσατο. ποῖα εἶδεν; οὐ χρυσὸν, οὐκ ἄργυρον, ἀλλὰ τὴν βασιλείαν τῶν οὐρανῶν. διὸ μὴ ἔλεγεν. ὑπὲρ ἧς προσβλέπομεν. μὴ παρακαλεῖ, ὅτε τὴν νύμφην ἐμέλλον λαμβάνειν. τούτου τύπος ἦν τὰ τοῦ Ἀβραάμ. μὴ γὰρ ἐκεῖνος τὸν παῖδα τὸν πιστὸν ἔπεμψε μνηστευσάμενον κόρην ἐθνικήν. μὴ ἐν ζῶν δὲ ἔπεμψεν ὁ θεὸς, τοὺς οἰκέτας τοὺς ἑαυτοῦ μνηστευσαμένους τῷ παιδὶ τὴν ἐκκλησίαν, καὶ προφήτας αὐτῶν ἔστιν ἐν ζῶν τὰ λέγοντας. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπλάδου τὸ λαόν σου, καὶ τὸν οἶκον τοῦ πατρός σου, μὴ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.

Εἶδες καὶ

» Εἶδες καὶ τὸν προφήτην ἁρμοζόμενον. Εἶδες καὶ τὸν ἀπόστολον μ̄ τ̄ πολλῆς τῆς παῤῥη-
» σίας ⸗ τὸ ῥῆμα φθεγγόμενον, καὶ λέγοντα; Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον
» ἁγνὴν παραστῆσαι τῷ χ̄ῳ. Εἶδες πάλιν σωφρονίσαντα; Εἰπὼν γὰρ ὅτι ὀφείλετέ μοι ἀνέχεσθαι,
οὐκέτι, διδάσκαλος γάρ ὑμῶν εἰμι. καὶ οὐ διὰ ἐμαυτὸν λέγω, ἀλλ' ὁ μάλιστα τούτοις ἔφερεν
ἀξίωμα, ⸗ πίθησιν, ἑαυτὸν μὲν ἐν χώρᾳ τῆς προμνηστρίας. ἐκείνους δὲ ἐν τάξει τῆς νύμ-
» φης στήσας, καὶ ἐπάγει λέγων. Φοβοῦμαι δὲ μήπως, ὡς ὄφις Εὔαν ἠπάτησε τῇ πανοῦρ-
» γίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν χ̄ν. Εἰ γὰρ
μὴ ἡ ἀπώλεια ὑμετέρα, ἀλλὰ ἡ ἀθυμία κοινή. καὶ σπόσει τὴν σωφρονίσιν. οὐ γὰρ αὐτὸ φαίνε-
ται, καίτοι ἦσαν διεφθαρμένοι, καὶ ⸗ δηλῶν ἔλεγεν. ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή, τιμω-
ρήσω πολλοὺς τῶν προημαρτηκότων, ἀλλ' ὅμως οὐκ ἀφίησιν αὐτοὺς ἀναιχμωτήσαι.
διὸ φησὶ, μήποτε. οὔτε γὰρ καταδικάζει, οὔτε σιγᾷ. οὐδέτερον γὰρ ἀσφαλές, οὔτε εἰπεῖν φα-
νερῶς, οὔτε κρύψαι δεινεκῶς. διὸ τὸ μέσον πίθησι λέγων, μήποτε. ⸗ γὰρ οὐδὲ σφόδρα
κατεγνωκότος, οὐδὲ σφόδρα θαῤῥοῦντος, ἀλλ' ἐν τῷ μέσῳ τούτων ἑκατέρων ἑστῶτος. οὕτω
μὲν οὖν παρεμυθήσατο, τῇ δὲ μνήμῃ τῆς ἱστορίας, εἰς φόβον ἄφατον ἐνέβαλε. καὶ πάσης
ἀποσοβεῖ συγγνώμης αὐτούς. εἰ γὰρ μὴ ὁ ὄφις κακοῦργος, κἀκεῖνα ἀνόητος, ἀλλ' ὅμως οὐ-
δὲν, τούτων ἐξήρπασε τὴν γυναῖκα. ὁρᾶτε οὖν μὴ ταῦτα πάθητέ φησι. καὶ οὐδὲν ὑμῶν
προφήσεται. καὶ γὰρ καὶ ἐκεῖνος μείζονα ἐπαγγειλάμενος, οὕτως ἠπάτησεν. ὅθεν δηλονότι
καὶ οὗτοι κομπάζοντες, φυσῶντες, ἑαυτοὺς ἐξηπάτων. καὶ ⸗ οὐκ ἐντεῦθεν μόνον δεῖ σοφί-
» σασθαι, ἀλλὰ καὶ ἐξ ὧν μετὰ ταῦτα λέγει. Ὅτι εἰ μὲν ὁ ἐρχόμενος, ἄλλον Ἰησοῦν κηρύσσει
» ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ
» ἐδέξασθε, καλῶς ἠνείχεσθε. Καὶ οὐ λέγει μήπως ὡς ὁ Ἀδὰμ ἠπατήθη, ἀλλὰ δείκνυσι
γυναῖκας ὄντας τοὺς ταῦτα πάσχοντας. γυναικῶν γὰρ τὸ ἀπατᾶσθαι, καὶ οὐκέτι τοσοῦτον οὗτος, ἢ
ὑμεῖς ἀπατηθῆτε. ἀλλὰ ἐπὶ μένων τῇ μεταφορᾷ, φησί. μήπως φθαρῇ τὰ νοήματα ὑμῶν
ἀπὸ τῆς ἁπλότητος τῆς εἰς χ̄ν, ἀπὸ τῆς ἀφελείας, οὐκ ἀπὸ τῆς κακουργίας λέγω. οὔτε
ἐκ κακουργίας, οὔτε ἐκ τοῦ μὴ πιστεύειν, ἀλλ' ἐξ ἀφελείας. ἀλλ' ὅμως οὐδὲ ἐντεῦθεν συγγνώ
μης ἄξιοι οἱ ἀπατώμενοι, καὶ ἐδήλωσεν ἡ δύα. εἰ δὲ ⸗ συγγνώμης ἄξιον, πολλῷ μᾶλλον,
ὅταν μηδὲ κενοδοξίαν τις ⸗ πάθῃ. εἰ μὲν γὰρ ὁ ἐρχόμενος, ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ
ἐκηρύξαμεν, δεικνὺς ἐντεῦθεν, οὐχὶ κορινθίους ὄντας. ἀλλ' ἑτέρωθεν προδιαφθειρομένους
αὐτοῖς ἀπατῶντας. διὸ φησὶν, ὁ ἐρχόμενος. εἰ πνεῦμα ἕτερον ἐλάβετε, εἰ εὐαγγέλιον ἕτε
ρον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε. τί λέγεις, ὁ μαλάττων εἰπὼν ἑαυτὸν εὐαγγελίζηται
ὑμᾶς παρ' ὃ παρελάβετε ἀνάθεμα ἔστω, νυνὶ λέγεις καλῶς ἠνείχεσθε; μὴ μέντοι διὰ ⸗ οὐκ
ἔδει ἀνέχεσθαι, ἀλλ' ἀποπηδᾶν. εἰ δὲ τὰ αὐτὰ λέγουσι, δεῖ ἀνέχεσθαι. πῶς οὖν λέγεις ἐ-
πειδὴ τὰ αὐτὰ λέγουσιν οὐ δεῖ ἀνέχεσθαι. εἰ γὰρ ἄλλα ἔλεγον ἔφη, ἔδει ἀνέχεσθαι. προσέ-
χωμεν τοίνυν. καὶ γὰρ μέγας ὁ κίνδυνος, καὶ βαθὺς ὁ κρημνός, οὐ ἁπλῶς αὐτὸ παρασῤῥάμ-
μωμεν, καὶ πάσαις ταῖς αἱρέσεσι πάροδον δίδωσι τὸ εἰρημένον. τί οὖν ἐστι τὸ νόημα τῶν ῥη-
μάτων τούτων; οὕτως ἐκόμπαζον ἐκεῖνοι, ὡς ἀτελῶς τῶν ἀποστόλων διδασκόντων, ὡς αὐ-
τῶν πλεῖόν τι εἰσφέροντες λέγουσιν. εἰκὸς γὰρ αὐτοὺς πολλὰ φλυαροῦντας φορυτὸν ἐ-
πεισάγειν ἀνόητον τοῖς δόγμασι τούτοις. διὸ καὶ τὸ ὄφεως, μὴ τῆς δύας ἀνεμνήσθη οὕτως

ἀπατηθείσης

ἀπατηθείσης τῆ τῦ πλείονος προσδοκία. ΧΣ καὶ ἐν τῆ προτέρᾳ αὐνιττόμενος ἔλεγεν. ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε. πάλιν ἡμεῖς μωροὶ διὰ Χν. ἡμεῖς δὲ φρόνιμοι ἐν Χῳ. ἐπεὶ οὖν πολλὰ εἰκὸς αὐτοὺς φλυαρεῖν τῆ ἔξωθεν σοφίᾳ κεχρημένους, ΧΣ φῆ. ὅτι, εἰ μέντι περιττὸν ἔλεγον οὕτοι, καὶ ἕτερον ἐκήρυττον Χν ὃν οὐ κεκήρυχθηναι ἔδει, ἡμεῖς δὲ παρελίπομεν, καλῶς ἠνείχεσθε. διὰ γὰρ ΧΣ προσέθηκεν ὃν οὐκ ἐκηρύξαμεν. εἰ τὰ αὐτὰ κεφάλαια τῆς πίστεως, τί τὸ πλέον; ὅσα γὰρ αὖ εἴπωσιν, οὐδὲν πλέον ἐροῦσιν ὧν ἡμεῖς εἰρήκαμεν. καὶ ὅρα πῶς αὖ τὸ ἀκριβῶς πίθησιν. οὐ γὰρ εἶπεν εἰ μὴν ὁ ἐρχόμ̄ος πλεῖόν τι λέγει. ἔλεγον γάρ τι πλέον μ̄ὴ πλείονος δημηγοροῦντες ἐξέσεσθαι, καὶ πολλοῦ τῦ κάλλους τῶν ῥημάτων. διόπερ οὐκ εἶπε ΧΣ. ἀλλά τί; ὁ ἐρχόμενος ἄμεινον ἐν κηρύσσει. ὅπερ οὐ χρείαν εἶχε τῆς διὰ τῶν λόγων κατασκευῆς, ἢ πνᾶ ἕτερον λαμβάνετε. (οὐδὲ γὰρ ἂν ζῶθα λόγων ἦν χρεία.) τοῦτέστι πλουσιωτέρους ὑμᾶς ποιεῖ κατὰ τὴν χάριν, ἢ διάγγελιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, οὐδὲ ΧΣ λόγων ἐδεῖτο πάλιν, καλῶς ἠνείχεσθε. σὺ δέμοι σκόπει, πῶς παντα-χοῦ τῷ διορισμῷ κέχρηται τῷ δηλοῦντι ὅτι οὐδὲν περιττόν, οὐδὲν πλέον τι παρ' αὐτῶν εἰσενήνεκται. εἰ πὼν γὰρ ὅτι εἰ ὁ ἐρχόμ̄ος ἄμεινόν ἐν κηρύσσει, ἐπήγαγεν. ὃν οὐκ ἐκηρύξαμεν. καὶ πνᾶ ἕτερον λαμβάνετε, προσέθηκεν, ὃ οὐκ ἐλάβετε. ἢ διάγγελιον ἕτερον, ἐπήγαγεν. ὃ οὐκ ἐδέξασθε, διὰ πάντων δηλῶν, ὅτι οὐχ ἁπλῶς εἰ πλέον τι λέγοιτι, προσέχειν δεῖ. ἀλλὰ εἰ τί πλέον ἔλεγον ὃ λεχθῆναι ἔδει, καὶ παρ' ἡμῶν παρελείφθη. εἰ δὲ οὐδὲ ἔδει, διὸ οὐδὲ παρ' ἡμῶν εἴρηται, ἵνα τί πρὸς αὐτοὺς κεχήνατε; καίτοι εἰ τὰ αὐτὰ λέγοιτι φῆ, τίνος ἕνεκεν αὐτοὺς κωλύεις; ὅτι ὑποκρίσει κεχρημένοι, ἕτερα εἰσάγουσι δόγματα. ἀλλὰ ΧΣ μὲν τέως οὐ λέγει, ἀλλ' ὑστερον αὐτὸ πίθησιν ὅταν λέγῃ. μεταχηματίζονται εἰς ἀποστόλους Χῦ. τέως δὲ ἐκτῶν ἀνεπαχθεστέρων ἀπάγει τῆς αὐθεντίας αὐτῶν, τοὺς μαθητὰς, καὶ οὐκ εἰκῆ τοῖς βασιλεῦσιν, ἀλλὰ τούτοις ἀσφαλιζόμενος. ἐπεὶ τὸν ἀπόλλω διατί οὐκωλύει; καίτοι αὖ δραλόγον ὄντα, καὶ δῆλον ἐν ταῖς γραφαῖς, ἀλλὰ καὶ παρακαλεῖ, καὶ ἐπαγγέλλεται πέμψειν αὐτόν; ὅτι μετὰ τῆς ψευδεύσεως, ἐκεῖνος καὶ τὴν τῶν δογμάτων ὀρθότητα διετήρει. οὗτοι δὲ τοὐναντίον. διόπερ αὐτοῖς πολεμεῖ, καὶ τοῖς μαθηταῖς ἐγκαλεῖ, πρὸς αὐτοὺς κεχηνόσι λέγων, ὅτι εἰ μέν τι τῶν ὠφελούντων παρελίπομεν ἡμεῖς ἐπληρώσαν δὲ ἐκεῖνοι, οὐκωλύομεν προσέχειν. εἰ δὲ πάντα ἀπήρτισαν παρ' ἡμῶν, καὶ οὐδὲν λέλειπται, πόθεν ὑμᾶς εἶλον ἐκεῖνοι; διὸ καὶ ἐπάγει λέγων. Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπερλίαν ἀποστόλων. Οὐκέτι πρὸς ἐκείνους, ἀλλὰ πρὸς τοὺς περὶ ἑτέρων ποιούμενος τὴν σύγκρισιν. ὥστε εἰ ἐμοῦ τι πλέον ἴσασι, κἀκείνων. κἠ ὅρα πῶς κἀνταῦθα μετριάζει. οὐ γὰρ εἶπεν ὅτι οὐδένμοι πλέον εἶπαν οἱ ἀπόστολοι. ἀλλὰ πῶς; λογίζομαι. οὕτως νομίζω, ὅτι οὐδὲν ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων. ἐπειδὴ γὰρ καὶ ΧΣ ἐλάττωμα αὐτῦ ἐδόκει εἶναι τὸ προλαβόντας ἐκείνους ὄνομα ἔχειν πλέον, καὶ μεῖζον περὶ ἐκείνους ἰῶν ἔδοξε, καὶ ἔμελλον οὗτοι παρεισάγειν ἑαυτούς, διαΧΣ πρὸς αὐτοὺς ποιεῖται τὴν σύγκρισιν μετὰ τῦ προσήκοντος αὐτῷ χήματος. διὸ καὶ μετ' εἰρωνείων, αὐτῶν μέμνηται. οὐχ ἁπλῶς τῶν ἀποστόλων εἰπών, ἀλλὰ τῶν ὑπερλίαν. ὑστέρηκα καὶ ἰδιώτης, καὶ ἰωαννίνω δηλῶν. Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. Ἐπειδὴ γὰρ τούτῳ ἐκεῖνοι ἐπλεονέκτουν οἱ διαφθείροντες κοινοὺς τῷ μὴ εἶναι ἰδιώται, καὶ ΧΣ πίθησι, δεικνὺς ὅτι οὐκ ἐστασιάζετο τούτῳ,

ἀλλὰ καὶ ἐγκαλλωπίζεται, καὶ οὐκ εἴασεν, εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλὰ οὐκ ἐκεῖνοι. ΧΣ γὰρ ἐδόκει διαβάλλοντος εἶναι κἀκείνους, καὶ τούτους ἐσκάπτοντος. ἀλλ' οὐδὲ καθαίρει τὸ πρᾶγμα τὸ τῆς ἔξω σοφίας. καὶ ἐν μὲν τῇ προτέρᾳ ἐπιστολῇ, καὶ σφόδρα ἀγωνίζεται περὶ τούτου λέγων, ὅτι οὐ μόνον οὐδὲν συντελεῖ πρὸς τοῦτο πρὸς τὸ κήρυγμα ΧΣ, ἀλλὰ καὶ ἐπισκιάζει τῇ δόξῃ τοῦ θεοῦ. ἦλθον γάρ φησιν οὐκαθ' ὑπεροχὴν λόγου, ἢ σοφίας πρὸς ὑμᾶς. ἵνα μὴ κενωθῇ ὁ θεὸς τοῦ ΧΥ. καὶ ἕτερα πολλὰ τοιαῦτα. ὅτι τῇ γνώσει ἰδιῶται ἦσαν, ἅπερ καὶ ἐχάτην εἶναι ἰδιωτείαν. ὅτε μὲν οὖν ἐν τοῖς μεγάλοις ἔδει συγκρίνειν, τοῖς ἀποστόλοις ἑαυτὸν συγκρίνει, ὅτε δὲ δεῖξαι τὸ δοκοῦν ἐλάττωμα εἶναι, οὐκέτι. ἀλλ' αὐτῷ συμπλέκεται τῷ πράγματι, καὶ δείκνυσι πλεονέκτημα ΧΣ γενόμενον. καὶ ὅτε μὲν οὐδὲ μίαν ἀνάγκην κατήσχυνε, καὶ ἐλάχιστον φῆ τῶν ἀποστόλων εἶναι, καὶ οὐδὲ τῆς προσηγορίας ἄξιον. ἐν τούτοις δὲ πάλιν ὅτε καιρὸς ἐκάλει, φῆ μηδὲν ὑστερηκέναι τῶν ὑπερλίαν ἀποστόλων. ἤδει γὰρ ΧΣ μάλιστα ὠφελήσον τοὺς μαθητάς. διὸ καὶ ἐπάγει λέγων. Ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς. Καὶ γὰρ ἐν τούτοις πάλιν διαβάλλει τοὺς ψευδαποστόλους, ὡς ἐν πανουργίᾳ περιπατοῦντας. τούτοις δὲ καὶ ἔμπροσθεν περὶ ἑαυτοῦ ἔλεγεν. ὅτι οὐ κατὰ πρόσωπον ἐν. οὐδὲ δόλῳ, καὶ καπηλεύων τὸν λόγον ἐκήρυττεν. ἐκεῖνοι δὲ ἕτεροι μὲν ἦσαν ἕτεροι δὲ ἐφαίνοντο, ἀλλ' οὐκ ἦσαν. διὸ μὴ πάντας χοῦ μέγα φρονεῖν τῷ μηδὲν πρὸς αὐτῶν δόξαν ποιεῖν, μὴ δὲ ἀποκρύπτεσθαι τὰ καθ' ἑαυτόν. ὅπερ καὶ ἔμπροσθεν ἔλεγεν, ὅτι τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν αὐτῶν. καὶ νῦν δέ φησιν ἐν παντὶ φανερωθέντες εἰς ὑμᾶς. τί δὲ ΧΣ ἐστιν; ἰδιῶται φῆ ἐσμὲν καὶ οὐκ ἀποκρυπτόμεθα. λαμβάνομεν παρ' αὐτῶν, καὶ οὐ στέγομεν. παρ' ὑμῶν οὖν λαμβάνομεν, καὶ οὐχὶ προσποιούμεθα μὴ λαμβάνειν, καθάπερ οὗτοι λαμβάνοντες. ἀλλὰ πάντα ποιοῦμεν φανερὰ ὑμῖν. καὶ σφόδρα θαρρῶντος ἐκείνοις ἵνα καὶ μὴ ἀληθείας ἅπαντα καταγγέλλοντος. διὸ καὶ μάρτυρας αὐτοὺς καλεῖ. Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν φησιν ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. Εἴ τι ἐπείσθη ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπελογήσατο, βαρέως τὸ ἐξῆς ἐπάγει λέγων. Ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν ἵνα ὑμεῖς ὑψωθῆτε. Καὶ ἑρμηνεύων αὐτὸ, φῆ. Ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνιον πρὸς τὴν ὑμετέραν διακονίαν. Ὃ δὲ λέγει, ΧΣ ὅτιν. ἐν ταπεινοφροσύνῃ δήπουθεν. ΧΣ γὰρ ὅτι τὸ ταπεινῶν ἐμαυτὸν. ΧΣ οὖν μοι ἔχετε ἐγκαλεῖν; καὶ διὰ ΧΣ κατεταπείνωσέμε; ἐπειδὴ ἐταπείνωσα ἐμαυτὸν προσαιτῶν; ταπεινοφρονοῦμ; λιμώττων; ἵνα ὑμεῖς ὑψωθῆτε; καὶ πῶς ὑψοῦτο οὗτοι τούτου ὄντος ἐν ταπεινοφροσύνῃ; μᾶλλον ᾠκοδομοῦτο, καὶ οὐκέσκανδαλίζοντο. ὃ καὶ μεγίστη αὐτῶν αὐξησις καὶ παρηγορία, μὴ τῆς ἀσθενείας αὐτῶν ἐγκλημα. ὅπου οὐκοῦν αὐτοὺς ἄμωμος ἀνάγειν, ἢ πρότερον ταπεινωθέντα. ἐγκαλεῖτε μοι οὖν ὅτι ταπεινὸς γέγονα; ἀλλὰ διὰ τοῦτο ὑμεῖς ὑψώθητε. ἐπειδὴ γὰρ καὶ ἀνωτέρω ἔλεγεν ὅτι διέβαλλον αὐτὸν, ὅτι παρὼν μὲν ταπεινὸς, ἀπὼν δὲ θαρρεῖ, ἀπολογούμενος πλήττει πάλιν αὐτοὺς λέγων, ὅτι μὴ τοῦτο δι' ὑμᾶς, ἄμωμος ἐκκλησίας ἐσύλησα. ἐν τούτοις δὲ λοιπὸν ὀνειδιστικῶς. ἀλλὰ τὰ πρότερον οὐκ ἀφίησιν ἐπαχθῆ τούτοις φανεῖσθαι. εἴτε γὰρ ἀνέχεσθέμε μικρὸν τῇ ἀφροσύνῃ. καὶ πρὸ τῶν ἄμωμος αὐτοῦ καυχησομάτων, ἐν τούτῳ πρώτῳ καυχᾶται. τοῦτο γὰρ μάλιστα ζητοῦσιν οἱ βιωτικοί. καὶ ἐν τούτῳ κἀκεῖνοι οἱ διεναντίας μέγα ἐφρόνουν. διὰ τοῦτο οὐ πρότερον εἰς τὸν τῶν κυ-

δύνων

δίων ἐμβάλλει λόγον, οὐδὲ εἰς τὸν τῶν σημείων, ἀλλ' εἰς τὸν τῆς τῶν χρημάτων ὑπεροψίας, ἐπειδὴ ἐν τούτῳ ἐφρόνουν· ὁμῶς δὲ αὐτοὺς καὶ αἰνίττεται πλουτοῦντας· τὸ δὲ θαυμαστὸν αὐτῷ, δῆλόν ἐστιν· ὅτι ἔχων εἰπεῖν ὅτι, καὶ ἀπὸ τῶν χειρῶν ἐτρέφετο, οὐκ εἶπε δῆλον, ἀλλ' ὃ μάλιστα αὐτοὺς ἐνέτρεπε, καὶ οὐδὲ αὐτῷ ἐγκώμιον ἡγεῖτο, δῆλον λέγει· ὅτι παρὰ δήμων ἔλαβον· καὶ οὐκ εἶπεν ἔλαβον, ἀλλὰ ἐσύλησα· τοῦτ' ἔστιν ἐγύμνωσα, καὶ πένητας αὐτοὺς ἐποίησα· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐκ εἰς περιουσίαν, ἀλλὰ εἰς τὴν τῶν ἀναγκαίων χρείαν· ὅταν γὰρ εἰς πηλὸν φωνὰς, τὴν ἀναγκαίαν λέγει τροφήν· καὶ τὸ χαλεπώτερον, εἰς τὴν ὑμῶν διακονίαν ὑμῖν κηρύττομεν· καὶ παρ' ὑμῶν ὀφείλων τρέφεσθαι, παρ' ἑτέρων τούτων ἀπήλαυον· διπλοῦν τὸ ἔγκλημα μᾶλλον δὲ τριπλοῦν· ὅτι καὶ παρ' αὐτοῖς ὢν καὶ αὐτοῖς διακονούμενος, καὶ τὴν ἀναγκαίαν ζητῶν τροφήν, ἑτέρους εἶχε τοὺς χορηγοῦντας· καὶ πολλὴν τούτων ὑπερβολὴν πρὸς ἐκείνους· οἱ μὲν, γὰρ ἐν ῥᾳθυμίᾳ, οἱ δὲ, ἐν ἀσυδησίᾳ· οἱ μὲν, μὴ μακρὰν ὄντι ἔπεμπον, οἱ δὲ, οὐδὲ παρόντα ἔτρεφον· εἶτα ἐπειδὴ σφοδρῶς αὐτῶν κατηφίαζε, πρέ
» μα πάλιν χαλᾷ τὸ σφοδρὸν τῆς ἐπιζημίωσεως· λέγων· Καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερη
» θεὶς, οὐ κατενάρκησα οὐδενός· Οὐ γὰρ εἶπεν οὐ δεδώκατέ μοι, ἀλλ' ἐγὼ οὐκ ἔλαβον· φείδεται γὰρ αὐτῶν ἔτι· ἀλλ' ὅμως καὶ ἐν τῇ ὑφέσει τοῦ λόγου, λανθανόντως πάλιν πλήττει· τὸ γὰρ παρὼν, σφόδρα ἐμφαντικὸν, καὶ τὸ ὑστερηθεὶς· ἵνα γὰρ μὴ λέγωσι, τί οὖν εἰ εἶχες; ἐπήγαγε· καὶ ὑστερηθεὶς οὐ κατενάρκησα ὑμῶν· ἐνταῦθα πάλιν μετρίως αὐτοὺς πλήττει, ὡς οἰκτρῶς τὴν τοιαύτην ζημίαν φέροντας, ὡς βαρυνομένους· εἶτα καὶ ἡ αἰτία, κατηγορίας μὲν γὰρ, καὶ ζηλοτυπίας γέμουσα· διὸ καὶ τέθεικεν αὐτὴν οὐ προηγουμένως, ἀλλ' ὡς διάφορον πόθεν, καὶ παρὰ τίνων ἐτράφη· ὥστε ἀνυπόπτως διεγείρειν πάλιν εἰς τὸν τῆς ἐλεημοσύνης λόγον· Τὸ γὰρ ὑστέρημά μου, προσανεπλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας· Εἶδες πῶς παροξύνει πάλιν εἰς μέσον ἄγων τοὺς διακονησαμένους; πρότερον γὰρ εἰς ἐπιθυμίαν αὐτοὺς ἄγων τοῦ μαθεῖν τίνες αὖ εἶεν οὗτοι, ὅτε ἔλεγεν ἅπασι ἐκκλησίασόν με σύλησα, τότε καὶ ὀνομαστοὺς αὐτοὺς τίθησι· ὅπερ καὶ εἰς ἐλεημοσύνην αὐτοὺς προέτρεπε· τοὺς γὰρ πτηνοὺς ἐν τῷ μὴ θρέψαι τὸν ἀπόστολον, φείδεται καὶ ἐν τῇ τῶν πενήτων μὴ πτηνὴν εἶναι βοηθείᾳ· τοῦτο δὲ καὶ αὐτοῖς Μακεδόσιν ἐπιστέλλων λέγει· ὅτι ἐν ταῖς χρείαις μου ἐπέμψατέ μοι, καὶ ἅπαξ καὶ δίς, καὶ ἐν ἀρχῇ τοῦ εὐαγγελίου· ὅπερ καὶ ἐγκώμιον μέγιστον αὐτῶν ἦν, ὅτι ἐξ αὐτῶν τῶν προοιμίων ἔλαμψαν· ἀλλ' ὅρα παντοῦ τὴν χρείαν αὐτοῦ πτένητα, καὶ οὐδαμοῦ περιουσίαν· τῷ μὲν οὖν εἰπεῖν ὅτι παρὼν, καὶ ὑστερηθεὶς, ἔδειξεν ὅτι παρὰ προσδοκίαν ἔδει τραφῆναι· τῷ δὲ εἰπεῖν ὅτι τὸ ὑστέρημά μου προσανεπλήρωσαν, δείκνυσιν ὅτι οὐδὲ ἤτησε· καὶ αἰτίαν πίθησιν οὐκοῦσαν· ποίαν δὴ ταύτην; τὸ παρ' ἑτέρων λαβεῖν· τὸ γὰρ ὑστέρημά μου φησὶ προσανεπλήρωσαν οἱ ἐλθόντες· διὰ τοῦτο φησὶ οὐ κατενάρκησα· οὐ διὰ τὸ μὴ θαρρεῖν, καὶ μυρία διὰ τοῦτο αὐτὸ ποιεῖ, καὶ δείκνυσι διὰ τῶν ἑξῆς· ἀλλ' οὐ λέγει αὐτὸ σαφῶς· ἀλλὰ συσκιάζει· ἀφεὶς τῷ συνειδότι τῶν ἀκροωμένων· καὶ λανθανόντως αὐτὸ ἐν δείκνυται διὰ τῶν ἑξῆς, λέγων· καὶ ἐν παντὶ ἀβαρῆ ἐμαυτὸν ἐτήρησα, καὶ τηρήσω· μὴ γὰρ νομίσητε φησὶ ζῶντα λέγειν με ἵνα λάβω· τὸ δὲ τηρήσω βαρύτερον, εἰ μὴ δ' ἐπ' αὐτοῖς θαρρεῖ, ἀλλὰ καθάπαξ ἀπαίτω τι λαβεῖν παρ' αὐτῶν· δείκνυσι δὲ ὅτι καὶ βάρος ἐνόμιζον εἶναι δῆλον· διὸ ἔλεγεν· ἀβαρῆ ἐτήρησα, καὶ τηρήσω· δῆλον

καὶ ἐν τῇ προτέρᾳ λέγει, οὐκέγραψα ἵνα οὕτως γένηται ἐν ἐμοί. καλὸν γάρ μοι ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. καὶ ἐν τούτοις πάλιν. ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα, καὶ ἐτι τηρήσω. εἶτα ἵνα μὴ δόξῃ ὑπὲρ τοῦ μὴ ἐπιτάσσεσθαι αὐτοὺς τοῦτα λέγειν, φησί.

» Ἔστιν ἀλήθεια χυ ἐν ἐμοί. Μὴ νομίσητε ὅτι διαζῆν εἶπον ἵνα λάβω. Ἵνα μᾶλλον ὠφελήσωμαι. ὅτι γάρ φησιν ἀλήθεια ἐν ἐμοὶ ὅτι ἡ καύχησίς μου αὕτη οὐ φραγήσεται ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. Ἵνα γὰρ μήτις αὐτὸν νομίσῃ πάλιν ἀλγεῖν ὧν τούτῳ, ἢ ὀργιζόμενον ταῦτα λέγειν, καὶ καύχησιν τὸ πρᾶγμα καλεῖ. καὶ ἐν τῇ προτέρᾳ δὲ ὁμοίως αὐτὸ κατεσκεύαζεν, ὥστε γὰρ μὴ δὲ ἐκεῖ πλῆξαι αὐτούς. φῇ τις οὖν μοι ἐστὶν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ χυ. καὶ ὥσπερ ἐκεῖ μισθόν, οὕτως ἐνταῦθα καύχημα καλεῖ, ἵνα μὴ σφόδρα αὐχῶνται τοῖς λεγομένοις, ὡς αὐτῶν πάρεχοντες. τί γὰρ αὖ καὶ ὑμεῖς δῶτε φῇ; ἀλλ' ἐγὼ οὐδὲ χομαι. μὴ τὸ οὐ φραγήσεται, ἀπὸ μεταφορᾶς τῶν ποταμῶν, ἢ τοῦ φήμης ὡς παντα χοῦ ῥεούσης ὅτι οὐ λαμβάνει. οὐκ ἐμφράσσετε τῷ δόμασι τὴν παῤῥησίαν τὴν ἐμήν. ἀλλ' οὐκέτι ἐμφράσετε, ὅπερ πλημμελέστερον, ἀλλ' οὐ φραγήσεται ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. διὰ τί πάλιν καυχείαν διδόντος ἐμοῦ. καὶ σφόδρα ἱκανὸν αὐτοὺς καθελεῖν καὶ λυπῆσαι, εἴγε μόνους αὐτοὺς παρητεῖτο. εἰ γὰρ ἐκαυχᾶτο, παντα χοῦ ἔδει καυχᾶσθαι. ἵν' οὖν μὴ ταῦτα λογιζόμενοι ἀθυμῶσιν, ὅρα πῶς αὖ

» τὸ διορθοῦται. Διατί; ὅτι ἀγαπῶ ὑμᾶς ὁ θς οἶδε. Ταχέως καὶ δυσαπαλλάκτως. ἀλλ' οὐδὲ οὕτως ἀπήλλαξεν αὐτοὺς τῶν ἐγκλημάτων. οὐδὲ γὰρ εἶπεν ὅτι οὐκέτι ἀσθενεῖς. οὐδ' ὅτι πέπεισθε ἰσχυροί, ἀλλ' ὅτι ἀγαπῶ ὑμᾶς. ὃ μάλιστα ἐπέτεινεν αὐτῶν τὴν κατηγορίαν. τοῦ γὰρ μάλιστα φιλεῖν αὐτοὺς ἐδόκουν, τὸ μὴ λαμβάνειν παρ' αὐτῶν, ἐπειδὴ σφόδρα ἐπλήττοντο. ὥστε ἐναντία ἐποίει ἀπὸ τοῦ φιλεῖν, καὶ ἐλάμβανε, καὶ οὐκ ἐλάμβανεν. ἡ δὲ ἐναντίότης, παρὰ τὴν τῶν διδόντων ἕξιν. καὶ οὐκέτι μὲν διαζῆν οὐ λαμβάνω ἐπειδὴ σφόδρα ὑμᾶς ἀγαπῶ, ἐπεὶ κατηγορίαν αὐτῶν εἶχε τῆς ἀδενείας, καὶ εἰς ἀπορίαν ἐνέβαλλεν,

» ἀλλ' ἐτρεψεν εἰς ἕτεραν αἰτίαν τὸν λόγον. ποίαν δὴ ταύτην; Ἵνα ἐκκόψω τὴν ἀφορμὴν

» τῶν θελόντων ἀφορμήν. ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. Ἐπειδὴ γὰρ ἐδόκουν ἐπαιτᾶν, λαβὴν τινὰ εὑρεῖν, καὶ ταύτην ἀναιρεῖν δεῖ. ἔδει γάρ ἦσιν ᾧ σεμνύονται μόνον. ἵνα τοίνυν μηδὲν πλέον ἔχωσι, καὶ ἔδει διορθῶσαι ἔδει. ἐν γὰρ τοῖς ἄλλοις ἠλαττωμένοι ἦσαν. οὐδὲν γὰρ ὅ περ ἐφθασε τοῦτο οἰκοδομεῖ τοὺς βιωτικούς, ὡς τὸ μὴ λαμβάνειν. πονηρὸς οὖν ὢν ὁ διάβολος, ἔδει μάλιστα τὸ δέλεαρ καθῆκε, βουλόμενος αὐτοὺς εἰς ἕτερα παραβλάψαι. δοκεῖ δέμοι μὴ ἔδει ὑποκρίσεως εἶναι. διόπερ οὐδὲ εἶπεν ἐν ᾧ κατώρθωσαν, ἀλλὰ τί; ἐν ᾧ καυχῶνται, ὃ καὶ εἰς ἀλαζονείαν σπώμενον τοῦτος ἰῶ. ἐκαυχῶντο γὰρ καὶ ἔδει ὃ οὐκ ἦσαν. τὸ δὲ γενναῖον ἀνδρα οὐ μόνον ἐφ' οἷς οὐκ ἔχει καυχᾶσθαι οὐδεῖ, ἀλλ' οὐδὲ ἐν οἷς κέκτηται. καθάπερ ὁ μακάριος οὗτος ἐποίει. καθάπερ ὁ πρῶτος ἀρχηγὸς Ἀβραὰμ λέγων. ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ἐπειδὴ γὰρ οὐκ εἶχεν εἰπεῖν ἁμαρτήματα, ἀλλ' ἔλαμπεν ἀπὸ κατορθωμάτων, παντα χοῦ περισκοπῶν, καὶ μὴ εὑρὼν τινὰ καθ' ἑαυτὸν μείζονα λαβὴν τῶν φύσιν καταφεύγει. καὶ ἐπειδὴ τὸ τῆς γῆς ὄνομα ὅπως δήποτε σεμνόν, καὶ τὸ τῆς σποδοῦ προσέθηκε. διὸ ἕτερός τις ἔλεγεν. τί ὑπερηφανεύῃ γῆ, καὶ σποδός;

Μὴ γάρμοι

Ἡ Ἠθικόν.

Μὴ γάρμοι τὸ αὖθος εἶπης τῆς ὄψεως, μὴ δὲ τὸν ἀναπεταμένον αὐχένα, μὴ δὲ τὴν χλανίδα, καὶ τὸν ἵππον, καὶ τοὺς ἀκολούθους, ἀλλὰ ποῦ τελευτᾷ ταῦτα πάντα λογίζου. ἐὰν δὲ τὰ φαινόμενα λέγῃς, καὶ ἐγώσοι τὰ ἐν ταῖς γραφαῖς ἐρῶ, τὰ πολλῷ τούτων λαμπρότερα. ἀλλ' ὥσπερ ἐκεῖναι διὰ τὴν ὄψιν οὐ θαυμάζομεν, τὴν οὐσίαν αὐτῶν ὁρῶντες ὅτι πηλός ἐστι τὸ πᾶν, οὕτω δὴ μὴ δὲ ταῦτα. καὶ γὰρ καὶ ταῦτα πηλός. μᾶλλον δὲ καὶ πρὶν διαλυθῆναι, καὶ γενέσθαι κόνιν, δεῖξον μοι σῶμα ἀναπεταμένον πυρέττοντα ψυχορραγοῦντα, καὶ τότε σοι διαλέξομαι, καὶ ἐρήσομαί τί γέγονεν ὁ πολὺς κόσμος ἐκεῖνος. ποῦ δὲ οἱ κέται καὶ ἡ πολλὴ κολακεία, καὶ ἡ θεραπεία τῶν δούλων. καὶ ἡ περιουσία τῶν χρημάτων τῶν κτημάτων. ποῖος ἄνεμος εἰσελθὼν ἐξέφυσησε πάντα. ἀλλὰ καὶ τῆς κλίνης κείμενος φέρει τὸ πλούτου, ἢ τὸ τύφου τὰ συμβολά, ἐσθῆτος λαμπρᾶς ἐπικειμένης, πενήτων καὶ πλουσίων προσωπῶν, δήμων δυφημούντων. μάλιστα μὲν καὶ ταῦτα καταγέλως. πλὴν ἀλλὰ μὴ ταῦτα δι' ὀλίγου ἐλέγχεται ὥσπερ αὖθος διαῤῥέον. ὅταν γὰρ τὴν ὁδὸν ὑπερβαίνωμεν τῶν τῆς πόλεως δυλῶν, μὴ τοῖς σκώληξι παραδόντες τὸ σῶμα ὑποφρέφωμεν, πάλιν σε ἐρήσομαι. ποῦ πορεύεται ὁ πολὺς ὄχλος ἐκεῖνος; τί γέγονεν ἡ ἀγορά, καὶ ὁ θόρυβος; ποῦ δὲ αἱ λαμπάδες, ποῦ δὲ οἱ χοροὶ τῶν γυναικῶν; ἆρα μή, ὄναρ ταῦτα ἦσι; τί δὲ καὶ ἐγένοντο αἱ βοαί; ποῦ τὰ κόμματα τὰ πολλὰ ἐκεῖνα τὰ ἀγοραζόντα, καὶ παρακελευόμενα θαῤῥεῖν ὅτι οὐδεὶς θάνατος; οὐ νῦν ταῦτα ἔδει λέγεσθαι τῷ μὴ ἀκούοντι, ἀλλ' ὅτε ἦρπαζεν, ὅτε ἐπλεονέκτει, τότε μοι πρὸν παραλλάξαντας, ἔδει λέγειν. οὐδεὶ θαρσεῖν. οὐδεὶς ἀθάνατος. σπίχες τῆς μανίας. σβέσον τὴν σπιθυμίαν. ἀλλ' εἰ καὶ ἐκείνῳ ταῦτα ἀνόνητα ἐξελθόντι τὸ φάσιον, ἀλλ', οἱ τὰ αὐτὰ νοσοῦντες τῶν πλουτούντων, καὶ τῷ σῶμα ἀκολουθοῦντες, ἀκουέτωσαν. ἐπειδὴ γὰρ ἔμπροσθεν τοῦ τῆς μέθης τῶν χρημάτων οὐδὲν τοιοῦτον ἐννοοῦσιν, ἀλλ' ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτε καὶ ἡ ὄψις τοῦ κειμένου πιστοῦται τὸ λεγόμενον, σωφρονείσθωσαν, ταπεινούσθωσαν, ἐννοοῦντες ὅτι μικρὸν ὕστερον, καὶ αὐτοὺς ἥξουσιν οἱ ἀπάγοντες τῷ τὰς φορβειὰς ἐκείνας δυνάσας, καὶ τὸ δοῦναι δίκην ὧν ἥρπαξαν, ὧν ἐπλεονέκτησαν. καὶ τί ταῦτα πρὸς τοὺς πένητας φῇς. μάλιστα μὲν πολλοῖς, καὶ δῆλον ἡδὺ τὸ ἰδεῖν κολαζόμενον τὸν ἀδικήσαντα. ἀλλ' ἡμῖν οὐχ ἥδιστον, ἀλλὰ τὸ μὴ παθεῖν κακῶς. ἐπαινῶ σφόδρα ὑμᾶς καὶ ἀποδέχομαι, ταῖς ἀλλοτρίαις οὐκ ἐφιδομένους συμφοραῖς, ἀλλὰ τὴν οἰκείαν ζητοῦντες ἀσφάλειαν, φέρε οὖν καὶ ταύτην ὑμῖν ἐγγυήσομαι. οὐ γὰρ παρὰ ἀνέμων πάσχομεν κακῶς, ὑποτεμνόμεθα τὸ χρέους οὐκ ὀλίγον, φέροντες γενναίως τὰ γινόμενα, οὐκ ἄρα ἀδικούμεθα. λογίζῃ γὰρ εἰς τὸ ὄφλημα ἡμῖν τὴν ἐπήρειαν ὁ θεὸς, οὐ κατὰ τὸν τοῦ δικαίου λόγον, ἀλλὰ κατὰ τὸν τῆς φιλανθρωπίας, κἂν μὴ οὕτως ἔνιοι οὐκ ἤμωσε παθόντα κακῶς. πόθεν δῆλον φῇς ἐπαθον ὑπὸ τῶν βαβυλωνίων οἱ ἰουδαῖοι ποτὲ κακῶς. μὴ ὁ θεὸς οὐκ ἐκώλυσεν. ἀλλ' ἀπήγοντο παῖδες καὶ γυναῖκες. ἀλλὰ μετὰ ταῦτα ἡ αἰχμαλωσία αὕτη, κατὰ ἀναλογίαν τῶν ἁμαρτημάτων αὐτοῖς γέγονε παραμυθία. διὰ τοῦτο τῷ ἡσαΐᾳ φῇ. παρακαλεῖτε παρακαλεῖτε τὸν λαόν μου ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν ἰλὴμ, ὅτι ἐδέξατο ἐκ χειρὸς κυ διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. μὴ πάλιν δὸς ἡμῖν εἰρωνίαν. πάντα γὰρ ἀπέδωκας ἡμῖν. μὴ ὁ δεσπότης φῇ, ἴδετε τοὺς ἐχθρούσμου ὅτι ἐπλημμύρησαν, καὶ ἄφες πάσας τὰς ἁμαρτίασμου. καὶ νίνικα τὸν σημεῖα καταρῶμῆ

ἔφερε. λέγει. ἄφες αὐτὸν ὅπως ἴδῃ κἂς τὴν ταπεινωσίν μου, καὶ ἀντὶ ποδῶμοι ἀντὶ τῆς ἡμέρας ταύτης. ὅταν γὰρ μὴ ἀμύνῃ ἀδικουμένοις, τότε μάλιστα ὠφελούμεθα. λογίζεται γὰρ ἡμῖν εἰς ἁμαρτήματα αὐ δυχαείστως ἐνέγκωμεν. ὥστε ὅταν ἴδῃς πλούσιον ἁρπάζοντα πένητα, ἀφεὶς τὸν ἐπηρεαζόμενον δάκρυσον τὸν ἁρπάζοντα. ὁ μὲν γὰρ ἀποπίθεται ῥᾴδιον ὁ δὲ, προστρίβεται ῥᾴδιον. οὕτω καὶ ὁ τῶ ἐλιασαίου παῖς ἔπαθεν ὑπὸ τῶ νεεμαν. εἰ γὰρ μὴ μὴ ἥρπασεν, ἀλλὰ τὸν ἀπάτῃ λαβεῖν, ἀδικία. τί οὖν γέγονεν; ἔλαβε μὲν τῆς ἀδικίας, μὴ τὴν λέπραν. καὶ ὁ μὲν ἀδικηθεὶς, ὠφελεῖτο, ὁ δὲ ἀδικήσας, τὰ μέγιστα βλάπτεται. βλάπτει καὶ νῦν τῆς ψυχῆς γίνεται. καὶ τοσοῦτον βλάπτει ἐστὶν, ὅτι βλάπτει μόνον πολλάκις ἵλεων τὸν θεὸν ἐποίησε, κἂν ὁ πάσχων κακῶς, ἀνάξιος ᾖ βοηθείας, ὅταν μεθ' ὑπερβολῆς βλάπτῃ πάθη καὶ εἰς τὴν ἑαυτῶ συγγνώμην τὸν θεὸν ἐπιστρέψαι, καὶ εἰς τὴν ἄμυναν τῶ ποιοῦντος ἐντεῦθεν μόνον. διὸ καὶ τῆς βαρβάροις ἔλεγεν ὁ τῆς αὐλῆς. ἐγὼ μὲν παρέδωκα αὐτοὺς εἰς ὀλίγα. αὐτοὶ δὲ σωφρονίσθεντο εἰς κακά. τὰ ἀνήκεστα πείσονται. οὐ γάρ ἐστιν οὐκ ἔστιν οὐδὲν τὸν θεὸν οὕτω παροξυνον ὡς τὸ ἁρπάζειν, καὶ βιάζεσθαι, καὶ πλεονεκτεῖν. τί δήποτε; ὅτι σφόδρα δύσκολον ταύτης ἀπέχεσθαι τῆς ἁμαρτίας. οὐ γάρ ἐστι φυσικὴ ἐνοχλοῦσα ἐπιθυμία, ἀλλὰ ἀπὸ ῥᾳθυμίας γίνεται. πῶς οὖν ῥίζαν κακῶν αὐτὴν ὁ ἀπόστολος καλεῖ; καὶ γὰρ ἐγὼ βλάπτει λέγω. ἀλλὰ παρ' ἡμᾶς ῥίζα αὕτη οὐ παρὰ τὴν φύσιν τῶ πράγματος. καὶ εἰ βούλεσθε ποιήσωμεθα σύγκρισιν, καὶ ἴδωμεν ποῖον τυραννικώτερον, χρημάτων, ἢ σωμάτων ἐπιθυμία. ὁ γὰρ αὐ δύρεσθείς μεγάλους αὐδρας καταβεβλημένος, βλάπτει ἐστὶ τὸ χαλεπώτερον. οὐκοῦν ἴδωμεν τίνα μέγαν κατέσχε χρημάτων ἐπιθυμία. οὐδένα. ἀλλὰ οἰκτροὺς σφόδρα, καὶ ἀπερρίμμενους. τὸν γιεζῆ, τὸν ἀχαάβ, τὸν ἰούδαν, τοὺς ἱερεῖς τοὺς ἰουδαϊκούς. ἐπιθυμία δὲ σωμάτων, τῶ μεγάλου προφήτου περιεγένετο τῶ δαβίδ. καὶ ταῦτα λέγω, οὐ συγγνώμην διδοὺς τοῖς ὑπὸ ἐπιθυμίας τοιαύτης ἁλισκομένοις, ἀλλὰ μᾶλλον αὐτοὺς νήφειν παρασκευάζω. ὅταν γὰρ δείξω μέγα τὸ πάθος, τότε μάλιστα αὐτοὺς δείκνυμι συγγνώμης ἀπάσης ἀπεστερημένους. εἰ μὲν γὰρ ἠγνόεις τὸ σφοδρὸν, εἶχες εἰς αὐτὸ βλάπτει καταφυγεῖν, νυνὶ δὲ εἰδὼς καὶ ἐμπίπτων, οὐκοῦν ἔχοις ἀπολογίαν τινά. μὴ βλάπτειν, τὸν τούτου παῖδα μὴ πλείονος εἶλεν ὑπερβολῆς. καίτοι σοφώτερος ἐκείνου οὐδεὶς γέγονε. καὶ πᾶσαν δὲ τὴν ἄγαν ἐπῆλθεν ἀρετὴν. ἀλλ' ὅμως ὑπὸ τούτου οὕτω σφοδρῶς ἑάλω, ὡς καὶ ἐν τοῖς καιρίοις δέξασθαι τὴν πληγήν. καὶ ὁ μὲν πῆρ ἀνέστη, καὶ ἀνεκαλέσατο τὴν ἧτταν, καὶ πάλιν ἐστεφανώθη. οὗτος δὲ οὐδὲν τοιοῦτον ἐπεδείξατο. διαβλέπει καὶ παῦλος ἔλεγε. κρεῖττον ἐστὶ γαμῆσαι ἢ πυροῦσθαι. καὶ ὁ χς. ὁ δυνάμενος χωρεῖν, χωρεῖτω. περὶ δὲ χρημάτων, οὐχ οὕτως. ἀλλ' ὃς ἀφῆκε τὰ ὑπάρχοντα αὐτῶ, ἑκατονταπλασίονα λήψεται. πῶς οὖν φησι περὶ τῶν πλουτούντων εἶπεν; ὅτι δυσκόλως εἰσπορεύονται τῆς βασιλείας; πάλιν τὴν βλακείαν αὐτῶν αἰνιττόμενος. οὐ τὴν τυραννίδα τῶν χρημάτων, ἀλλὰ τὴν σφοδρὰν αὐτῶν δουλείαν. καὶ βλάπτει καὶ ἐξ ὧν ὁ παῦλος συνεβούλευσε, δῆλον. ἐκείνης μὲν ἀπάγει τῆς ἐπιθυμίας λέγων, οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν. εἰσὶ δὲ ταύτης, οὐκέτι, ἀλλὰ πρὸς καιρὸν μόνον διαλύσας. καὶ τούτῳ συμφώνως πάλιν εἰσὶ τὸ συνέρχεσθαι συμβουλεύει. δέδοικε τὰ κύματα τῆς ἐπιθυμίας, μήποτε ναυάγιον ἐργάσηται χαλεπὸν. βλάπτει καὶ ὀργῆς δυτονώτερον πάθος. ὀργίζεσθαι μὲν γὰρ οὐκέτι, μηδενὸς ὄντος τῶ παροξύνοντος. ἐπιθυμεῖν

τος. ἐπιθυμεῖν δὲ ἀνάγκη, καὶ τῆς ὄψεως τῆς εἰς ἕξιν κινούσης, μὴ φαινομένης. διὸ ζώ-
την μὲν οὐκέκοψε καθάπαξ, ἀλλὰ τὸ εἰκῇ προσέθηκεν, οὔτ' αὖ τὴν ἐπιθυμίαν ἀνεῖλεν, ἀλ
λὰ τὴν ἄδηλον. διὰ γὰρ τὰς ἐπιθυμίας ἦν, ἑκάστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω. θησαυρί
ζειν δὲ οὔτε εἰκῇ, οὔτε μὴ εἰκῇ συνεχώρησε. ταῦτα μὲν γὰρ τὰ πάθη, χρείας ἕνεκεν ἡμῖν ἐνε-
φυτεύθη. ὑπὲρ μὲν γαμοποιίας, ἐπιθυμία, ὑπὲρ δὲ βοηθείας τῶν ἀδικουμένων, ὀργή.
ἐπιθυμίαν δὲ χρημάτων, οὐδαμῶς. οὐκοῦν οὐδὲ ὅτι φυσικόν τὸ πάθος. ὥστε ὅταν νοῦ
τούτου ἁλῶς, τοσούτῳ μᾶλλον τὰ αἴσχιστα ποίει. διὰ δὴ ἕξιν καὶ δεύτερον ἐπιτρέπων γά-
μον ὁ παῦλος, οὐκ χρημάτων πολλοῦ ἀναιτεῖ τὴν ἀκρίβειαν λέγων. διατί οὐ μᾶλλον ἀδι-
κεῖσθε; διατί οὐ μᾶλλον ἀποστερεῖσθε; καὶ περὶ μὲν παρθενίας διαλεγόμενος, φησί. ἐπιταγὴν
οὐκ ἔχω. καὶ πρὸς τὸ συμφέρον ὑμῖν λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω. ὅταν δὲ περὶ χρη
μάτων ὁ λόγος αὐτῷ, ἔχοντες φησὶ σκεπάσματα καὶ τροφήν, τούτοις ἀρκεσθησόμεθα.
πῶς οὖν φησι τούτῳ μᾶλλον ἁλίσκονται πολλοί; ὅπου οὐχ οὕτως εἰσὶ πρὸς αὐτὸ παρατετ-
μημένοι ὡς πρὸς ἀσέλγειαν καὶ πορνείαν. ὡς εἴγε ὁμοίως ἐδέκει εἶναι δεινόν, οὐκ ἂν τα χέως ἐά-
λωσαν. οὕτω καὶ αἱ ἅγιαι παρθένοι ἐκεῖναι τῶ νυμφῶνος ἐξεβλήθησαν, ἐπειδὴ τὸν μεί-
ξονα ἀνταγωνιστὴν καταβαλοῦσαι, νοῦ τῶ ἀσθενεστέρου, καὶ μηδὲν ὄντος, ἐβλήθησαν. μὴ
τούτου καὶ κεῖνο ἔστιν εἰπεῖν, ὅτι εἰ ζῆς ἐπιθυμίας κρατῶν νοῦ χρημάτων νικᾶται, οὐδὲ ἐπι
θυμίας πολλάκις κρατεῖ, ἀλλὰ ἀπὸ φύσεως ἔλαχε τὸ μὴ σφόδρα ἐνοχλεῖσθαι ἐντεῦθεν.
οὐ γὰρ πάντες ὁμοίως εἰσὶ κατωφερεῖς. ταῦτ' οὖν εἰδότες, καὶ τὸ ὑπόδειγμα τῶν παρθένων
συνεχῶς παρ' ἑαυτοῖς φέροντες, φεύγωμεν τὸ πονηρὸν ἕξιν θηλείου. εἰ γὰρ παρθενία οὐδὲν
ὤνησεν, ἀλλ' ἀπώλοντο μυρίους πόνους καὶ ἱδρῶτας ἐκεῖναι διὰ τὴν φιλαργυρίαν,
τίς ἡμᾶς ἐξαιρήσεται, εἰ τούτῳ περισώσωμεν τῷ πάθει; διὸ παρακαλῶ μήτε ἁλῶναι, μή
τε ἁλόντας ὑπομεῖναι, ἀλλὰ καὶ διαρρῆξαι τὰ χαλεπὰ ταῦτα δεσμά. οὕτω γὰρ δυνησό
μεθα πρὸς τὸν οὐρανὸν φθῆναι, καὶ τῶν μυρίων ἐπιτυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς
ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, κδ'.

» Οἱ γὰρ τοιοῦτοι, ψευδαπόστολοι. ἐργάται δόλιοι. μετασχηματιζόμενοι εἰς ἀποστόλους χυ.
Τί λέγεις οἱ χν κηρύττοντες, οἱ χρήματα μὴ λαμβάνοντες, οἱ δυαγγέλιον ἕτερον μὴ ἐπεισά-
γοντες, ψευδαπόστολοι; ναί φησι. μὴ δι' αὐτὸ μὲν οὖν ἕξιν μάλιστα, ὅτι ταῦτα ὑπουργίνον-
ται, πάντα ἵνα ἀπατήσωσιν. ἐργάται δόλιοι. ἐργάζον μὲ γὰρ, ἀλλ' ἀναστῶσι τὰ πεφυτευ-
μένα. ἐπειδὴ γὰρ ἴσασιν ὅτι ἑτέρως οὐκ ἂν γένοιντο δυπαράδεκτοι, τὸ προσωπεῖον λαβόντες
τῆς ἀληθείας, οὕτως τὸ δράγμα τῆς πλανῆς ὑποκρίνονται. μὴ μέντοι χρήματα φησὶ οὐ λα μ
βάνουσιν, ἵνα πλείονα λάβωσιν, ἵνα ψυχὰς ἀπολέσωσιν. μᾶλλον δὲ μὴ ἕξιν ψεῦδος. μὴ ἐλαμ
βανον ἀλλ' ἐλαύνεσθαι. μὴ ἕξιν δεῖκνυσιν ἐν τοῖς ἐποῦσι. μὴ ἤδη μὲ γὰρ ἡνίξατο αὐτὸ εἰπών,
ἐν ᾧ καυχῶνται εὑρεθῶσιν ὡς καὶ ἡμεῖς. πλὴν ἀλλ' ὕστερον αὐτὸ σαφέστερον ἡνίξατο εἰπών.
ὅτι εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, τούτου ἀνέχεσθε. νυνὶ δὲ ἑτέρωθεν αὐ
τοὺς διαβάλλει λέγων, μετασχηματίζονται. σχῆμα μόνον αὐτοῖς, ἁρμόττον πρὸς τὸν ἐπικειμένον.
» καὶ οὐδὲν θαυμαστόν. Εἰ γὰρ αὐτὸς ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός, τί
» μέγα εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης; Ὥστε εἰ δεῖ

θαυμάζειν, ὅτε δεῖ θαυμάζειν, τὸ δὲ τούτων, οὐκέτι. ὅταν γὰρ ὁ διδάσκαλος αὐτῶν πάντα ζηλωτὸς, οὐδὲν θαυμαστὸν καὶ τοὺς μαθητὰς ἔσεσθαι. τί δέ ἐστιν ἄγγελον φωτὸς; τὸν παρρησίαν ἔχοντα λέγειν. τὸν τῷ θῷ παρεστῶτα. εἰσὶ γὰρ καὶ ἄγγελοι σκότους, οὗτοι οἱ τοῦ διαβόλου, οἱ σκοτεινοὶ καὶ ἄγριοι. καὶ πολλοὺς ὁ διάβολος οὕτως ὑπάτησε μεταχημαζόμενος, οὐ γινόμενος ἄγγελος φωτός. οὕτω καὶ οὗτοι σχῆμα ἀποστόλου περιφέρουσιν, οὐκ αὐτὴν τὴν δύναμιν. οὐδὲ γὰρ ἰσχύουσιν. οὐδὲν οὕτω διαβολικὸν ὡς τὸ πρὸς ἐπίδειξιν τί ποιεῖν. τί δέ ἐστι διακονία δικαιοσύνης; ὅπερ ἡμεῖς ἐσμεν. διὰ ἀγγέλιον κηρύσσοντες ὑμῖν δικαιοσύνην ἔχον. ἡ γὰρ τοῦτο φησὶν, ἡ ὅτι δικαίων ἀνδρῶν ἑαυτοῖς περιτιθέασι δόξαν. πῶς οὖν αὐτοὺς ἐπιγνωσόμεθα; ἀπὸ τῶν ἔργων αὐτῶν, καθὼς ὁ κς εἶπε. διὸ ἀναγκάζεται τὰ ἑαυτοῦ θεῖναι κατορθώματα, καὶ τὴν ἐκείνων κακίαν παράλληλα, ἵνα ἀπὸ τῆς συγκρίσεως φανῶσιν οἱ νόθοι. καὶ μέλλων πάλιν ἐμβαίνειν εἰς τὰ ἐγκώμια τὰ ἑαυτοῦ, κατηγορεῖ πρῶτον ἐκείνων, ἵνα δείξῃ ἀναγκαίαν οὖσαν αὐτοῦ τὴν ὑπόθεσιν. ἵνα μή τις ἐγκαλέσῃ ὡς περὶ ἑαυτοῦ λέγοντα. καὶ φησί. Πάλιν λέγω. Καὶ γὰρ ἤδη πολλῇ προδιορθώσει ἐχρήσατο, ἀλλ' ὅμως οὐκ ἀρκοῦμαι τοῖς εἰρημένοις. ἀλλὰ καὶ πάλιν λέγω, μή τις με δόξῃ ἄφρονα εἶναι. οὐδὲ γὰρ ἐκείνων ἰδίον ἔργον, τὸ αὐτίκα μὴ οὔσης, καυχᾶσθαι. σὺ δέμοι σκόπει ὅτι ὁσάκις ἐμβαίνειν μέλλει εἰς τοὺς οἰκείους ἐπαίνους, προανακρούεται. τὸ μὲν γὰρ πρᾶγμα ἀφροσύνης δέ φησι τὸ καυχᾶσθαι. ἐγὼ δὲ οὐχ ὡς ἀνοητάνων αὐτὸ ποιῶ, ἀλλὰ ἀναγκάζομαι. εἰ δὲ οὐ πείθεσθε, ἀλλὰ καὶ ἀνάγκην οὖσαν ὁρῶντες κατανοήσατε, οὐδὲ οὕτως παραιτήσομαι. εἴδετε πῶς ἔδειξε πολλῷ οὖσαν τὴν ἀνάγκην τοῦ λέγειν; μὴ πῶς ὤδινε καὶ ἐβιάζετο εἰπεῖν; ἀλλ' ὅμως καὶ οὕτω μετρίως τῷ πράγματι κέχρηται. οὐ γὰρ εἶπεν ἵνα καυχήσωμαι. καὶ μικρὸν μέλλων καυχᾶσθαι, πάλιν μή ἑτέρᾳ κέχρηται παραιτήσει λέγων. Οὐ λαλῶ, οὐ κατὰ κν' λαλῶ. ἀλλ' ὡς ἐν ἀφροσύνῃ ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. Ὁρᾶς πῶς τὸ καυχᾶσθαι οὐκέτι κατὰ κν' ἔσται ὅταν γὰρ πάντα ποιήσητε φησὶ, λέγετε ὅτι ἀχρεῖοι δοῦλοι ἐσμεν. ἀλλ' αὐτὸ μὲν καθ' ἑαυτὸ οὐκέτι κατὰ κν'. ἀπὸ δὲ τῆς διανοίας δῆλον γίνεται. διὰ δῆλον εἶπεν. ὁ λαλῶ. οὐ τὴν αὐτίαν διαβάλλων, ἀλλὰ τὰ ῥήματα. ἐπεὶ ὁ σκοπὸς οὕτω θαυμαστὸς, ὡς καὶ τὰ ῥήματα σεμνύειν. ὥσπερ γὰρ ὁ φονεὺς τῶν σφόδρα κεκωλυμένων ὧν ἀπὸ διανοίας πολλάκις ἠνδρίμησε, καὶ τὸ περιτέμνεσθαι οὐκ ὂν κατὰ κν' ἀπὸ τῆς διανοίας δῆλον γέγονεν, οὕτω καὶ τὸ καυχᾶσθαι. καὶ τί δήποτε οὐκέτι ἀκριβολογία τοσαύτη; ὅτι πρὸς ἕτερον ἐπείγεται, μὴ ἐκπερίουσίασε. καὶ τοῖς ἐπιλαμβανέσθαι βουλομένοις χαρίζεται μόνον, ἵνα εἴπῃ τὰ ὠφελοῦντα. καὶ γὰρ ἱκανὰ ἦν πᾶσαν ἀνελεῖν τὴν ὑποψίαν λεχθέντα. ἀλλ' ὡς ἐν ἀφροσύνῃ. πρότερόν φησιν ὄφελον, ἀνέχεσθέμοι μικρόν τῇ ἀφροσύνῃ. νυνὶ δὲ ὡς ἐν ἀφροσύνῃ. ὅσῳ γὰρ πρόεισι, τοσούτῳ μᾶλλον ἐκκαθαίρει τὸν λόγον. εἶτα ἵνα μὴ νομίσῃς πανταχοῦ ἀνοητάνειν αὐτὸν, προσέθηκεν ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. κατὰ δῆλον τὸ μέρος φησὶ. ὥσπερ καὶ ἀλλαχοῦ ἔλεγεν ἵνα μὴ κατισχυθῶμεν. μὴ προσεπίθει. ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως, μὴ ἀλλαχοῦ πάλιν εἰπών. ἃ δὲ βουλεύομαι κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ. μὴ δείξασ, ὅτι οὐ δύναται πανταχοῦ ἅπερ ἐπαγγέλλεται, μὴ πλημμελῶ, ἐπεὶ δὴ οὐ κατὰ σάρκα βουλεύεται, ἵνα μὴ τὴν ὑπόνοιαν ταύτην, καὶ ἐπὶ τοῦ δόγματος ἐλκύσωσί τινες, φησὶ. πρὸς δὲ τοῦτο ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς,

οὐκ ἐγένετο

οὐκ ἐγένετο ναί, καὶ οὔ. καὶ ὅρα πόσα ἐμπροσθεν εἰπὼν, πάλιν καὶ ἕτερα πίθησιν ἀπολογίας, προσθεὶς οὕτω καὶ λέγων. Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι. Τί δέ κατὰ σάρκα; ἀπὸ τῶν ἔξωθεν, ἀπὸ εὐγενείας, ἀπὸ πλούτου, ἀπὸ σοφίας, ἀπὸ τοῦ περιτομὴν ἔχειν, καὶ προγόνους ἑβραίους, ἀπὸ τῆς τῶν πολλῶν δόξης. καὶ θέα σωφίσιν, ἐκεῖνα πίθησιν ἅπερ οὐδένα δείκνυσι, καὶ τότε μὴ ἀφροσύνην. εἰ γὰρ τοῖς ὄντως ἀγαθοῖς καυχᾶσθαι ἀφροσύνη, πολλῷ μᾶλλον τοῖς μηδὲν οὖσι. καὶ τοῦτο ἐστὶν ὅπερ οὐ κατὰ κύριον καλεῖ. οὐ γὰρ ὄφελος ἑβραῖον εἶναι καὶ ὅσα τοιαῦτα. μὴ τοίνυν νομίσητε ὅτι ὡς ἀρετὴν αὐτὰ πίθημι. ἀλλ' ἐπειδὴ ἐκεῖνοι καυχῶνται, ἀναγκάζομαι κἀγὼ ἐντεῦθεν τὴν σύγκρισιν ποιήσασθαι, ὅπερ καὶ ἀλλαχοῦ ποιεῖ λέγων. εἴτις δοκεῖ πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον. καὶ ἐκεῖ, διὰ τοὺς πεποιθότας τοῦτο. ὡς περ οὖν εἴτις γένους λαμπροῦ ὤν, καὶ φιλόσοφον ἑλόμενος βίον ἴδοι μέγα φρονοῦντας ἕτερους ἐπὶ εὐγενείᾳ, καὶ βουλόμενος κατελεῖν αὐτῶν τὸ φύσημα, ἀναγκαίως τὴν οἰκείαν περιφάνειαν εἰσῆγεν, οὐχὶ καλλωπιζόμενος, ἀλλὰ ἐκείνους ταπεινῶν. οὕτω δὴ καὶ ὁ παῦλος ποιεῖ. εἶτα ἀποφὰς ἐκείνων, ἐπὶ κομψῇ τῇ ὀλοκλήρου τὴν αἰτίαν κενοῖ, λέγων. Ἠνέσχεσθε τῶν ἀφρόνων. Ὥστε ὑμεῖς αἴτιοι τούτων, καὶ μᾶλλον, ἢ ἐκεῖνοι. εἰ γὰρ μὴ ὑμεῖς αὐτῶν ἠνείχεσθε, καὶ παρεβλάβητε τοῦτο ἐκείνων μέρος, οὐδὲν ἂν ἔφθεγξάμην, ἀλλὰ τῆς ὑμετέρας κηδόμενος σωτηρίας, καὶ συγκαταβαίνω. καὶ ὅρα πῶς μὴ τὴν ἐπιτίμησιν μετ' ἐγκωμίου πίθησιν. εἰ γὰρ, ἠνέσχεσθε τῶν ἀφρόνων, ἐπῄνεσε. Φρόνιμοι ὄντες. Ἀφροσύνης γὰρ τὸ καυχᾶσθαι καὶ ἐπὶ τοιούτοις, καὶ τοιούτοις ἐπιτιμῶν ἐπῄνεσε, μὴ εἰ ἐᾶν. μὴ ἀνέχεσθε τῶν ἀνοήτων, ἀλλὰ μᾶλλον πλείονος αὐτὸ ποιεῖ περιουσίας. ἐκείνως μὲν γὰρ ἔδοξεν αὖ ὡς ἀποτρεπόμενος αὐτῶν ἐπιτιμᾶν, νυνὶ δὲ δείξας ἑαυτὸν καὶ ἐν τούτοις ἡρατοιῶντα, καὶ οὐδὲν εἶναι ταῦτα νομίζοντα, μείζονας αὐτοὺς διορθοῦται. πρὸς δὲ τὸ εἰς τὰ ἐγκώμια ἐμβάλλειν, καὶ τῇ πολλῇ κενοδοξίᾳ δουλοπρεπείαν ὀνειδίζει αὐτοῖς, ὅτι μετ' ὑπερβολῆς αὐτοῖς κατῃδυνεκλίνοντο. καὶ σκόπει πῶς κωμῳδεῖ. Ἀνέχεσθε γάρ φησιν εἴτις ὑμᾶς κατεσθίει. Πῶς οὖν ἔλεγες; ἵνα ἐν ᾧ καυχῶνται δύρεσθωσι κἀκεῖνοι, καὶ ἡμεῖς. ὁρᾷς, ὅτι δείκνυσιν αὐτοὺς λαμβάνοντας, καὶ οὐχ' ἁπλῶς λαμβάνοντας, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς; τὸ γὰρ κατεσθίειν, τοῦτο δηλοῖ. Εἴτις ὑμᾶς κατα δουλοῖ. Καὶ τὰ χρήματα ὑμῶν φησι, καὶ τὰ σώματα, καὶ τὴν ἐλευθερίαν ἐξεδώκατε. τοῦτο γὰρ μεῖζον τοῦ λαβεῖν, τὸ μὴ μόνον τῶν χρημάτων, ἀλλὰ καὶ ὑμῶν αὐτῶν κυρίους εἶναι. ὃ καὶ ἔμπροσθεν δηλοῖ λέγων. εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ πολλῷ μᾶλλον ἡμεῖς; εἶτα τὸ χαλεπώτερον προστίθησι λέγων. Εἴτις ἐναίρεται. Οὐδὲ γὰρ συμμέτρως ὑμῶν ἡ δουλεία, οὐδὲ ἥμεροι οἱ δεσπόται, ἀλλὰ φορτικοὶ καὶ ἐπαχθεῖς. Εἴτις ὑμᾶς εἰς πρόσωπον δέρει. Εἶ δὲς πάλιν ἐπίτασιν τυραννίδος; τοῦτο δὲ ἔλεγεν, οὐχ' ὅτι εἰς ὄψιν τύπτοντα, ἀλλ' ὅτι δέδουλον αὐτοὺς καὶ ἡπμαζον. διὸ προσέθηκε. Κατὰ ἀξίαν λέγω. Τῶν γὰρ εἰς ὄψιν τυπτομένων, οὐκ ἔλαττον πάσχετε. τί τοίνυν τούτου γένοιτ' ἂν ἀχυρότερον; ποία δὲ τούτοις τῆς δεσποτείας πικροτέρα; ὅταν καὶ τὰ χρήματα ὑμῶν, καὶ τὴν ἐλευθερίαν, καὶ τὴν τιμὴν ἀφελόμενοι, μὴ δὲ οὕτως ὦσιν ἥμεροι; μὴ δὲ ἐν τάξει δούλων ἐῶσιν ὑμᾶς μένειν; ἀλλὰ καὶ παντὸς ἀργυρωνήτου ὑβριστικώτερον ὦσιν ὑμῶν κεχρημένοι; Ὡς ὅτι ἡμεῖς ἠδενήσαμεν. ἀσαφὲς τὸ εἰρημένον. ἐπειδὴ γὰρ φορτικὸν ἦν, διὰ τοῦτο οὕτως αὐτὸ

τέθεικεν, ἵνα κλέψῃ ἐπάχθειαν τῇ ἀσαφείᾳ. ὁ γὰρ βούλεται εἰπεῖν, τοῦτό ἐστι, μὴ γὰρ οὐδὲ ναίμεθα καὶ ἡμεῖς ταῦτα ποιεῖν; ἀλλ' οὐ ποιοῦμεν. τίνος ἕνεκεν αὐτῶν ἀνέχεσθε, ὡς ἡμῶν μὴ δυναμένων ταῦτα ποιεῖν; ἐγκλημα μὲν οὖν καὶ τὸ μωραινόντων ἀνέχεσθε. τὸ δὲ καὶ οὕτω καταφρονουμένων ὑμῶν, ἁρπαζόντων, ἐσθιόντων, τυπτόντων, οὐδ' οὕτω ἀπολογίαν ἔχοι, οὐδ' οὕτω λόγον τινά. καινὸν γὰρ τοῦτο τὸ τῆς ἀπάτης εἶδος. οἱ μὲν γὰρ ἀπατῶντες, καὶ παρέχοντι, κἀκολακεύουσιν. οὗτοι δὲ καὶ ἀπατῶσι, καὶ λαμβάνουσι, κἀβρείζουσιν. ὅθεν οὐδὲ συγγνώμης οὐ χοίητε συγγνώμης, ὅτι τοὺς μὲν ταπεινοῦντας ἑαυτοὺς δι' ὑμᾶς ἵνα ὑμεῖς ὑψωθῆτε, διαφθείρετε, τοὺς δὲ ὑψοῦντας ἑαυτοὺς ἵνα ὑμεῖς ταπεινωθῆτε, θαυμάζετε. μὴ γὰρ κἀμεῖς οὐκ ἠδυνάμεθα ταῦτα ποιεῖν; ἀλλ' οὐ βουλόμεθα, τὸ συμφέρον ὑμῶν σκοποῦντες. ἐκεῖνοι μὲν γὰρ τὰ ὑμέτερα καθαιροῦντες, τὰ ἑαυτῶν σκοποῦσιν. ὁρᾶς πανταχοῦ ἐξῶν παρρησιάζεται πρὸς αὐτοὺς ἐκτείνων αὐτοὺς κἀφορᾷ; εἰ γὰρ διαφθεῖραι αὐτοὺς ἤμελλε φθάσας ἐφθάρη δι' τοῦτο ποιοῦσιν, ὑβρίζουσι, δυναίμεθα καὶ ἡμεῖς ταῦτα ποιεῖν, δουλοῦσθαι, τύπτειν, ἐσθίειν καθ' ὑμῶν. εἶδες πῶς ὅλως ἐστὶν αὐτοὺς ἐᾶναι τὴν αἰτίαν, καὶ τῆς ἐκείνων ἀπονοίας. καὶ τῆς δουλοῦσθαι εἶναι ἀφροσύνης ἑαυτῆς; οὐ γὰρ ἵνα ἐμαυτὸν δείξω λαμπρότερον, ἀλλ' ἵνα ὑμᾶς ἀπαλλάξω ταύτης τῆς πικρᾶς δουλείας, ἀναγκάζομαι μικρόν τι καυχᾶσθαι. δεῖ δὲ οὐχ ἁπλῶς τὰ λεγόμενα ἐξετάζειν, ἀλλὰ τὴν αἰτίαν προσθέναι. ἐπεὶ καὶ σαμουὴλ ἐγκάμιον ὑπὲρ ἑαυτοῦ συνέθηκε λέγων, ὅτε τὸν σαοὺλ ἔχριεν. ὄνον τινὸς ὑμῶν εἴληφα; ἢ μόσχον, ἢ ὑπόδημα; ἢ ἐξέπασα τινὰ ὑμῶν; ἀλλ' ὅμως οὐδεὶς ἐγκαλεῖ. τὸ δὲ αὖπον, οὐκ ἀλλοπίζων ἑαυτὸν ἔλεγεν, ἀλλ' ἐπεὶ δὴ βασιλέα καθιστᾶν ἔμελλεν, ἐν ἀπολογίᾳ τάξει βούλεται ποιήσασθαι ἐκεῖνον πρᾶον καὶ ἥμερον εἶναι. καὶ σπουδῇ συνεσιν προφήτου. μαθὼν δὲ τοῦ φιλανθρώπου, ὅτι μὲν γὰρ ἀποφέρεσθαι αὐτοὺς ἠβούλετο πολλὰ φορτικὰ συναγαγὼν ἔλεγεν περὶ τοῦ μέλλοντος βασιλεύειν. οἷον ὅτι μυλοθρίδας τὰς γυναῖκας αὐτῶν ποιήσει, ποιμένας τοὺς ἀνδρας ἡμιόνων ἐπιστάτας. καὶ γὰρ μὴ ἀκριβείᾳ ἐπεξέρχει τὴν τῆς βασιλείας δεσποτείαν, ἐπειδὴ εἶδεν οὐδενὶ τούτων κωλυομένους, ἀλλὰ ἁπλᾶ τὰ νοσοῦντας. καὶ οὕτως αὐτῶν φείδεται, καὶ ῥυθμίζει τὸν βασιλέα πρᾶον εἶναι. διαθήκη καὶ αὐτὸν παράγει μάρτυρα. οὐ γὰρ δὴ ἐδικάζετό τις πρὸς αὐτὸν τότε, οὐδὲ ἐνεκάλει ἵνα ἀπολογήσεται, ἀλλ' ἵνα ἐκεῖνον ποιήσῃ βελτίονα, ταῦτα ἔλεγεν. διὸ καὶ ἐπήγαγε καθαίρων αὐτῷ τὸ φύσημα. ἐὰν ἀκούσητε ὑμεῖς, καὶ ὁ βασιλεὺς ὑμῶν τά, καὶ τά, ἔστιν ὑμῖν ἀγαθά. ἐὰν δὲ μὴ ἀκούσητε, τὰ ἐναντία ἅπαντα. καὶ ἀμφὼ δὲ ἔλεγεν. οὐκ ἄμφω προφήτης, οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἦν αὐτόπλως ἥμφω συλλέγοντα κνίζων. καὶ ἀνέλαβέ με ὁ θς. οὐκ ἐθαύμασε δὲ ἑαυτὸν ἔλεγεν, ἀλλὰ ἐπισφίγγων τοὺς ὑποβλύοντας αὐτὸν οὐχ ὡς προφήτην. καὶ ἵνα δείξῃ ὅτι οὐκ ἀπατᾷ, οὐδὲ οἰκοθεν λέγει ταῦτα ἃ λέγει. καὶ ἕτερος δὲ πάλιν τὸ αὐτὸ δηλοῖ ἐμφαίνων, ἔλεγεν. ἀλλὰ μὴν ἐγὼ ἐνεπλήσθην ἰσχύος πνεύματι ἐν πνεύματι, καὶ δικαιοσύνης. καὶ ὁ δεσπότης δὲ ὅταν τὰ κατὰ τὴν ἀρχὴν, καὶ τὸν λέοντα διηγεῖτο, οὐχ ἁπλῶς ἀλλ' οἰκοδομῶν τι μέγα καὶ θαυμαστὸν, ἔλεγεν. ἐπειδὴ γὰρ ἀπιστεῖτο ὅτι περιέσται τὸ βαρβάρου γυμνὸς ὁ μηδὲν ὅπλα ἐνέγκειν δυνάμενος, ἵνα καθ' ἑαυτὸν πορίσηται ἀποδείξεις τῆς οἰκείας ἀνδρείας. καὶ τὸ πρᾶσσε δυνατὸν ἀφεῖλε τῷ σαοὺλ οὐχ ἁπλῶς δείκνυμι, ἔλεγεν ἅπερ ἔλεγεν. ἀλλὰ πονηρὰν διανοούμενος ὑποψίαν. ἵνα κατεσκέδασαν αὐτὸν λέγοντες, ὅτι ἀνελεῖν αὐτὸν ἤθελε. δεῖ τοίνυν παντοχοῦ τὴν αἰτίαν ζητεῖν. ὁ γὰρ πρὸς

τὸ συμφέρον

τὸ συμφέρον τῶν ἀκουόντων ὁρῶν, κἂν ἐγκωμιάζῃ ἑαυτὸν, οὐ μόνον οὐκ ἐγκαλεῖ ὡς ἄξιος ἀλλὰ καὶ στεφανοῦσθαι. κἂν σιγὴν τότε εἰ καλεῖσθαι ἀνάγκη. ἐπεὶ καὶ ὁ Δαυὶδ τότε εἰ ἐσίγησεν ὅτε τὸ μολιὰθ, οὐκ ἂν εἴασαν αὐτὸν ἐξελθεῖν ὅτε τὴν παράταξιν, οὐδὲ τὸ λαμπρὸν ἐκεῖνο φῆσαι προοίμιον. ἀλλ' οὐδὲν λέγει ἀναγκασθείς, καὶ οὐχὶ τοῖς ἀδελφοῖς. καίτοιγε καὶ παρ' αὐτοῖς ἦν φανῆναι, καὶ παρὰ τῷ βασιλεῖ. ἀλλ' ὁ φθόνος ἐνέφραττεν αὐτῶν τὰς ἀκοάς. διὸ περ ἐκείνους ἀφεὶς, τῷ μηδέπω βασκαίνοντι διαλέγεται.

Η' Ἠθικόν.

Δεινὸν γὰρ ἡ βασκανία, δεινὸν, καὶ τῆς οἰκείας ἀνατεῖναι καταφρονεῖν σωτηρίας. οὕτω καὶ καὶν ἑαυτὸν ἀπώλεσε, καὶ πρὸ τούτου πάλιν ὁ τὸν τούτου πρὸ ἀγγέλων διάβολος. οὕτως ὁ σαοὺλ δαίμονα πονηρὸν ἐκάλεσε κατὰ τῆς ἑαυτοῦ ψυχῆς, καὶ καλέσας, τῷ ἰατρῷ πάλιν ἐβάσκαινε. τοιοῦτον γὰρ ὁ φθόνος. ἤδει ὅτι ἐσώθη, καὶ ἀπολέσθαι μᾶλλον ἢ θέλει, ἢ τὸν σώσαντα δυσωπῶν ἰδεῖν. τί τούτου χαλεπώτερον γένοιτ' ἂν τοῦ πάθους; οὐκ αὖτις ἀμφὶ τοι διαβόλου γέννημα δῆλον εἰπών. καὶ ἐν μὲν ἐκείνῳ κενοδοξίας καρπὸς, μᾶλλον δὲ καὶ ῥίζα. ἀμφότερα γὰρ ταυτὶ τὰ κακὰ, ἑαυτὰ συγκατασκευάζειν εἴωθεν. οὕτω δὴ καὶ τότε ἐβάσκαινεν ὁ σαοὺλ. ὅπου δὴ εἶπον, ἐπάταξε Δαυὶδ ἐν μυριάσιν. οὔ τί γένοιτ' ἂν δυλογώτερον; τί γὰρ εὐέμοι φθονεῖς, ὅτι ὅπηνεσεν ὁ δεῖνα; καὶ μέντοι χαίρειν ἐδει. λέγω δὲ οὐδὲ οἶδας, εἰ ἀληθὴς ὁ ἔπαινος ἦν. καὶ διαβόλου πενθεῖς ὅτι οὐκοῦν θαυμαστὸς ὅπηνέθη; καὶ μᾶλλον ἐλεεῖν χρή. καὶ γὰρ ἐὰν μὴ ἀγαθὸς ἦν, οὐδεὶς φθονεῖ ὅπαινουμένῳ, ἀλλ' ὅπαινεῖ μᾶλλον τῶν δυφημούντων. εἰ δὲ μὴ τοιοῦτος, τί δάκνῃ; τί κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς; ὅτι θαυμαστὸς τοῖς ἀνθρώποις; ἀλλὰ ἀνθρώποις τοῖς σήμερον οὖσι, καὶ αὔριον οὐκοῦσιν. ἀλλ' ὅτι δόξης ἀπολαύει; ποίας εἰκῆ; περὶ ἧς ὁ προφήτης φησὶν, ὅτι ἀνθος ὡσὶ χόρτου; διαβολὴ οὖν βασκαίνεις, ὅτι οὐκ ἀχθοφορεῖς; οὐδὲ χόρτου περιφέρεις φορτία τοιαῦτα; εἰ δὲ αὐτόσοι ξηλωτὴς εἶναι δοκεῖ διαβολὴ, τί μὴ καὶ δρυτόμοι καθ' ἑκάστην ἀχθοφοροῦντες ἡμέραν, καὶ ἐν τῇ πόλει εἰσιόντες; οὐδὲν γὰρ τούτου ἄμεινον διαβολὴ τὸ φορτίον, ἀλλὰ καὶ χεῖρον. ἐκεῖνο μὲν γὰρ τὸ σῶμα πιέζει μόνον, διαβολὴ δὲ καὶ τὴν ψυχὴν πολλάκις παρέβλαψε, καὶ μείζονα παρέσχε τὴν ἀγωνίαν, τῆς ἡδονῆς. κἂν γὰρ λέγων δυσωπῇ, μείζονα ἔχει τὸν φόβον τῆς δυφημίας. μᾶλλον δὲ ἡ μὲν, βραχεῖαν, τὸν δὲ, διηνεκῆ. ἀλλὰ παρὰ ἄρχουσιν δυσωπεῖ; κἀκεῖ πάλιν φθόνος καὶ κίνδυνος. ὃ γὰρ σὺ πρὸς αὐτὸν πάσχεις, διαβολὴ καὶ ἕτεροι πλείους. ἀλλ' ὅπαινεῖται συνεχῶς; διαβολὴ δουλείαν ποιεῖ πικράν. οὐ γὰρ τολμήσει τί πρᾶξαι κατὰ γνώμην, ἵνα μὴ προσκρούσῃ τοῖς δοξάζουσιν αὐτόν. δεσμὰ γὰρ αὐτῷ χαλεπὰ ἡ περιφάνεια. ὡς τε ὅσῳ ἂν πλείοσι γνώριμος ᾖ, τοσούτῳ πλείους ἔχει δεσπότας, καὶ ὅπιτείνεται τὰ τῆς δουλείας αὐτῷ τῶν κυρίων αὐτοῦ παντοχοῦ φαινομένων. καὶ ὁ μὲν οἰκέτης, ὅταν ἀπαλλαγῇ τῆς ὄψεως τοῦ δεσπότου, κἂν ἀναπνεῖ κἂν μετ' ἐλευθερίας ἐστὶν ἁπάσης, οὗτος δὲ παντοχοῦ δεσπότας περιτυγχάνει. πάντων γὰρ δοῦλος ὅτι τῶν ἐν ἀγορᾷ φαινομένων. κἂν κατεπείγῃ τι τῶν ἀναγκαίων, οὐ τολμᾷ, εἰς ἀγορὰν ἐμβαλεῖν, εἰ μὴ κἂν τῶν οἰκετῶν ἑπομένων, καὶ τοῦ ἵππου, καὶ τῆς ἄλλης φαντασίας συγκεκροτημένης, ἵνα μὴ οἱ δεσπόται καταγνῶσι. κἂν φίλον ἴδῃ τινὰ τῶν γνησίων, οὐ θαρρεῖ μετ' ἰσοτιμίας αὐτῷ διαλεχθῆναι. δέδοικε γὰρ τοὺς δεσπότας μὴ

τας, μὴ καθ' ἑλωσιν αὐτὴν ἀπὸ τῆς δόξης. ὥστε ὅσῳ περιφανέστερός ἐστι, τοσούτῳ μᾶλλον δεδούλωται. κἂν πάθῃ τι τῶν ἀνιδρῶν, ἡ ὕβρις χαλεπωτέρα, ὅσῳ καὶ πλείους ἔχει τοὺς μάρτυρας. καὶ παρ' ἀξίαν τὸ πρᾶγμα εἶναι δοκεῖ. οὐ μόνον δὲ ἡ ὕβρις, ἀλλὰ καὶ ἡ συμφορά. καὶ γὰρ πολλοὺς ἔχει τοὺς ἐφηδομένους, ὥσπερ οὖν κἂν ἀγαθοῦ τινὸς ἀπολαύσῃ, πλείους τοὺς φθονοῦντας, καὶ βασκαίνοντας, καὶ καθελεῖν ἐπουδακότας. ἆρα οὖν ἀγαθὸν εἰ ἐπαίνου; ἆρα δόξα; οὐδαμῶς. ἀλλὰ ἀδοξία, καὶ δουλεία, καὶ δεσμὰ, καὶ πᾶν ὁτιοῦν τις φορτικόν. εἰ δὲ καὶ οὕτως ἐπέραστόν σοι ἡ παρὰ ἀνθρώπων δόξα, μὴ πάνυ σε θορυβεῖ παρὰ πολλῶν προτυμένος ὁ δεῖνα, ὅταν ἴδῃς ἀπολαύοντα τῶν πρότων, πρὸς τὸν μέλλοντα αἰῶνα διάβηθι τῷ λογισμῷ, καὶ τὴν ἐκεῖ δόξαν. καὶ ὥσπερ θηρίον ἐπιὸν ἐπὶ δῶν διαφυγεῖν, εἰς οἰκίσκον εἰσελθὼν ἀποκλείεις τὰς θύρας, οὕτω καὶ νῦν τὴν μέλλουσαν ζωὴν κατάφυγε, καὶ τὴν ἀπόῤῥησιν τὴν δόξαν ἐκείνῃ. οὕτω γὰρ μὴ ζαυτὴν καταπατήσεις, μὴ ἐκείνης ἐπιλήψῃ ῥᾳδίως, καὶ τῆς ἀληθοῦς ἐλευθερίας ἀπολαύσεις, καὶ τῶν αἰωνίων ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ. Λόγος κε'.

» Ἐν ᾧ δ' ἂν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. Ὅρα πάλιν αὐτὴν ἀναδυόμενον, καὶ παραιτήσει χρώμενον, καὶ προδιορθώσει. καίτοι καὶ ἡ δὴ πολλὰ ζαῦτα εἰρηκεν. ὄφελον ἀνέχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ, καὶ πάλιν, μήτις με δόξῃ ἄφρονα εἶναι. εἰ δὲ μή γε, καὶ ὡς ἄφρονα δέξασθε. ὃ λαλῶ, οὐ κατὰ κύ, ἀλλ' ὡς ἐν ἀφροσύνῃ. ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι. καὶ ἐν ζαῦτα πάλιν, ἐν ᾧ δ' ἂν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, ζολμῶ κἀγώ. τόλμαν καὶ ἀφροσύνην καλεῖ τὸ περὶ ἑαυτὸν μέγα ζ λέγειν. καὶ ζαῦτα ἀναγκης οὔσης, ὡσανεὶ ἡμᾶς ἐκπεριουσίασε τὸ τοιοῦτον φεύγειν. εἰ γὰρ μὲ τὰ τὰ πάντα ποιῆσαι ἀχρείους δεῖ καλεῖν ἑαυτοὺς οὐδὲ μᾶς κατεσειγούσης αἰτίας, τίνος ἂν εἴη συγγνώμης ἄξιος ἐπαίρων τις ἑαυτὸν καὶ κομπάζων; διαζῆν καὶ ὁ φαρισαῖος ἔπαθεν ἅπερ ἔπαθε, καὶ ἐν λιμένι ναυάγιον ὑπέμεινεν, ὅπ ζούτῳ προσέῤῥηξε τῷ σκοπέλῳ. διαζῆν καὶ ὁ παῦλος μυρίαν ἀνάγκην ὁρῶν, ὅμως ἀναδύεται, καὶ σιωπῶς ἀναμιμνήσκει, ὅπ ἀφροσύνης τὸ τοιοῦτον ἐστὶ, καὶ τότε λοιπὸν κατατολμᾷ, τὴν ἀπὸ τῆς ἀνάγκης ἀπο-
» λογίαν προβαλλόμενος, καὶ φησὶ. Ἑβραῖοι εἰσὶ; κἀγώ. Οὐ γὰρ ἴσῳ πάντας τοὺς ἑβραίους ἰηλίτας εἶναι. ἐπεὶ καὶ ἀμμανίται, καὶ μωαβίται ζῆν ἦσαν. διὸ ἐπήγαγεν ἐκκαθαίρων τὴν
» εὐγένειαν, καὶ φησὶ. Σπέρμα ἀβραάμ εἰσι; κἀγώ. διάκονοι χῦ εἰσι; παραφρονῶν λαλῶ,
» ὑπὲρ ἐγώ. Οὐκ ἤρκεσθη τῇ προτέρᾳ παραιτήσει, ἀλλὰ καὶ ἐν τεῦθεν πάλιν αὐτὴν κέχρηται. παραφρονῶν λαλῶ ὑπὲρ ἐγώ. κρεῖττον αὐτῶν ἐγώ, καὶ βελτίων. καίτοι τὰς ἀποδείξεις εἶχε σαφεῖς τῆς ὑπεροχῆς. ἀλλ' ὅμως παραφροσύνῃ, καὶ οὕτως τὸ πρᾶγμα καλεῖ. καὶ μὴν εἰ ψευδαπόστολοι ἦσαν, οὐκ ἔδει κατὰ σύγκρισιν εἰσάγειν τὴν ὑπεροχὴν, ἀλλὰ ἀνελεῖν τὸ εἶναι αὐτοὺς διακόνους. ἀνεῖλε μὲν οὖν αὐτὸ εἰπών. ψευδαπόστολοι. ἐργάται δόλιοι. μετασχηματιζόμενοι εἰς ἀποστόλους χῦ. νῦν δὲ αὐτὸ οὐ ποιεῖ οὕτως. εἰς γὰρ ἐξέτασιν ἔμελλεν ὁ λόγος προβαίνειν. οὐδεὶς δὲ ἐξετάσεως οὐκοὔσης, ἁπλῶς ἀποφαίνεται. ἀλλὰ πρῶτον κατὰ σύγκρισιν θεὶς τὴν ἀφ' ὧν πραγμάτων ἀναίρεσιν, ἐπιδείκνυται τὴν καὶ πολὺ βορβορωδεστέραν οὖσαν. ἀλλως δὲ γνώμῃ αὐτῶν ἐκείνων τίθησιν. οὐκ αὐτὸ ἀποφασιν λέγων.

διάκονοι

διάνοιαν χῦ εἰσὶ, καὶ εἰπὼν ὕπερ ἐγὼ, προάγει τὴν σύγκρισιν. μὴ δείκνυσί πῶς οὐκ ἀποφαινόμενος, ἀλλὰ τῷ ἀβλὲ τὸ πραγματῶ ἐπίδειξιν ἐπάγων, τὸ χαρακτῆρα τ' ἀποστολῆς διατηρεῖ. » μὴ ἀφεὶς τὰ σημεῖα πάντα, ἀπὸ τῶν πειρασμῶν ἄρχεται οὕτως λέγων. Ἐν νηστείαις περισσοτέρως, ἐν πληγαῖς, ὑπερβαλλόντως. Τοῦτ, ἐκεῖνό μεῖζον τὸ, μὴ πληγαῖς; μὴ μαστίξαι » ἐν φυλακαῖς, περισσοτέρως. Καὶ ἐν θανάτοις πάλιν ἐπίτασις. Ἐν θανάτοις, πολλάκις. καθημέραν γάρ φησιν ἀποθνήσκω. ἐν θανάτοις δὲ καὶ ἔργῳ. πολλάκις γὰρ εἰς κινδύνους παρεδόθην θάνατον ἔχοντας. Πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον ὑπὸ ἰουδαίων. Διατί παρὰ μίαν; νόμος ἦν παλαιὸς, τὸν πλέον τῶν τεσσαράκοντα λαβόντα, ἄτιμον εἶναι παρ' αὐτοῖς, ἵνα οὕτω μὴ ἡ τοῦ τύπτοντος ῥώμη, καὶ ὁρμὴ πλέον ἐπενεγκοῦσα τὸ ἀριθμοῦ ἄτιμον ποιήσῃ, ὥρισαν παρὰ μίαν τύπτεσθαι, ἵνα κἂν πλεονάσῃ ὁ τύπτων, μὴ ὑπὲρ τὰ τεσσαράκοντα ἐκπέσῃ, ἀλλ' εἴσω τοῦ ἀριθμοῦ τοῦ νενομισμένου μείνας, μὴ ἀτιμάσῃ τὸν τυπτόμενον. » Τρὶς ἐραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα. Καὶ τί οὖν πρὸς τὸ δυάγγελιον; ὅτι μακρὰς ὁδοὺς ἐτέλλετο, καὶ διαπορτίους. Νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. Οἱ μὲν ἐν μέσῳ πελάγει φασὶ, οἱ δὲ, ὡς νηχόμενος. ὅπερ καὶ ἀληθέστερον. ἐκεῖνό γε οὐ » τε θαύματος ἄξιον, οὐδ' ἂν ὡς τῶν ναυαγίων μεῖζον τέθεικε. Κινδύνοις ποταμῶν. » Ἠναγκάζετο γὰρ καὶ διαπορθμεύειν ποταμούς. Κινδύνοις λῃστῶν, κινδύνοις » ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ. Παντοχοῦ μοι τὰ ἆθλα προύκειτο, ἐν τόποις, » ἐν χώραις, ἐν πόλεσιν, ἐν ἐρημίαις. Κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν ψευδαδέλφοις. » Ὅρα ἕτερον εἶδος πολέμου. οὐ γὰρ οἱ ἐχθροὶ μόνον, ἀλλὰ καὶ οἱ ὑποκρίνοντο τὴν ἀδελ » φότητα, ἐβαλλον. καὶ πολλῆς ἐδεῖτο τῆς διανίας, καὶ πολλῆς τῆς σωφίσεως. Ἐν νό- » τῳ, καὶ μόχθῳ. Κίνδυνοι πόνους, πόνοι κινδύνους διεδέχοντο ἀπάλληλοι, καὶ συνε- » χῆς, καὶ οὐδὲ μικρὸν ἀναπνεῦσαι συνεχώρουν. Ἐν ὁδοιπορίαις πολλάκις, ἐν λιμῷ, » καὶ δίψει, καὶ γυμνότητι, χωρὶς τῶν παρεντός. Πλείονα τὰ παραλειφθέντα τῶν ἀπαριθμηθέντων. μᾶλλον δὲ οὐδὲ αὐτὰ τὰ ἀπαριθμηθέντα, ὅσα, ὅτιν εἰπεῖν. οὐ δὲ γὰρ κατ' εἶδος αὐτὰ τέθεικεν. ἀλλ' ὧν μὲν ὀλιγοστὸς ἦν ὁ ἀριθμὸς, καὶ βραχὺς, ἐμνήσθη τούτων, τρὶς καὶ τρὶς λέγων, καὶ ἅπαξ. τῶν δὲ πλειόνων, οὐκέτι οὕτως, ἀλλὰ τὸ πολλάκις ὑπομεμνηκέναι. μὴ οὐ λέγει τὰ ἐξ αὐτῶν. οἷον τοσούσδε, καὶ τοσούσδε ἐπάθομεν. ἀλλ' ἃ ἔπαθε μόνον ὑπὲρ τοῦ κηρύγματος, ὁμοῦ μὲν μετριάζων, ὁμοῦ δὲ δεικνὺς ὅτι καὶ μηδὲν γέγονται, ὅτι τὸ πλέον πο- » νουμένῳ. οὕτω τὰ τῶν μαθητῶν ἐστι πεπληρωμένα. Ἡ ἐπισύστασις μου καθημέραν. Οἱ θόρυβοι, αἱ ταραχαὶ, αἱ πολιορκίαι τῶν δήμων, μὴ τῶν πόλεων ἐφοδοι. Τούτῳ γὰρ μάλιστα πάντων ἐπολέμουν οἱ ἰουδαῖοι, ὅτι δὴ μάλιστα πάντων αὐτοὺς συνέχει, καὶ μέγιστος τῆς μανίας ἔλεγχος ἦν, μεταταξάμενος ἀθρόον. καὶ πολὺς ὁ πόλεμος ἔπνει κατ' αὐτῶν, παρὰ τῶν οἰκείων, παρὰ τῶν ἀλλοτρίων, παρὰ τῶν ὑποκειμένων. καὶ πανταχοῦ κύμασι, καὶ κρημνοί, ἐν τῇ οἰκουμένῃ, ἐν τῇ ἀοικήτῳ, ἐν τῇ γῇ, ἐν τῇ θαλάσσῃ. ἔξωθεν, ἔσωθεν. καὶ οὐδὲ τῆς ἀναγκαίας ὑπόρει τροφῆς, οὐδὲ ψιλῆς περιβολῆς, ἀλλ' ὁ τῆς οἰκουμένης ἀγωνιστὴς, γυμνὸς ἠγωνίζετο, καὶ λιμώττων ἐπίνευε. Τοσοῦτον ἀστεῖον τὸ χρηματίζεσθαι. καὶ οὐκ ἐδυσχέραινεν, ἀλλὰ χαίρειτας ἤδει τούτων τῷ ἀγωνοθέτῃ.

Ἡ μέριμνα

BIBLIOT. UNIWERSYT. W POZNANIU

» Ἡ μέριμνα πασῶν τ' ἐκκλησιῶν. Τοῦτο τὸ κεφάλαιον ἁπάντων, ὅπη μὴ ἡ ψυχὴ διεσπᾶτο, καὶ ἡ διανοία διετέμνετο. εἰ γὰρ καὶ μηδὲν ἔξωθεν προσέβαλεν, ἱκανὸς ὁ ἔνδον πόλεμος· τὰ νύμφια τὰ ἐπάλληλα, αἱ νιφάδες τῶν φροντίδων, ὁ πόλεμος τῶν λογισμῶν. εἰ γὰρ οἰκίας τις μιᾶς προνοῶν, καὶ οἰκέτας ἔχων, καὶ ἐπιτρόπους, καὶ οἰκονόμους οὐδὲ ἄνω πνεῖ πολλάκις ὑπὸ τῶν φροντίδων οὐδενὸς ὄντος τοῦ ἐνοχλοῦντος, οὗτος οὐκ οἰκίας μιᾶς ἀλλὰ καὶ πόλεων, καὶ δήμων, καὶ ἐθνῶν, καὶ ὁλοκλήρου τῆς οἰκουμένης τὰς φροντίδας ἔχων, καὶ ὑπὲρ τηλικούτων πραγμάτων, καὶ τοσούτων ὄντων τῶν ἐπηρεαζόντων, καὶ μόνος ὤν, καὶ τοσαῦτα πάσχων, καὶ οὕτω κινδυνεύμενος, ὡς οὐδὲ πατὴρ παίδων, συνόησον πῶς ὑπέμενε. ἵνα γὰρ μὴ λέγῃς· πῶς γὰρ εἰ ἐμέριμνα μὲν ἐμέριμνα δὲ ἁπλῶς, ἐπῆγε καὶ τὴν ἐπίτασιν τῆς φρον-
» πίδος λέγων; Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Οὐκ εἶπεν, οὐ κοινωνῶ τῇ ἀθυμίᾳ· ἀλλ' ὡς ἐν αὐτῷ ὢν τῷ πάθει, ὡς ἐν αὐτῇ ὢν τῇ ἀῤῥωστίᾳ, οὕτω θορυβοῦμαι, καὶ ταράττομαι.
» Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; Ὁρᾷς πάλιν τὴν ὑπερβολὴν τῆς διάνοιας· πῶς πάρεσιν ἐν τῇ τῆς πυρώσεως προσηγορίᾳ ἐμπίπραμαι, καίομαι φησί. ὃ δὴ πάντων μεῖζον ἦν. ἐκεῖνα μὲν γὰρ εἰ καὶ σφοδρά, ἀλλὰ καὶ παροδεύεται ταχέως, καὶ τὴν ἡδονὴν εἶχεν ἀμάραντον· ἔδει δὲ ἦν τὸ θλῖβον αὐτὸν, καὶ στενοχωροῦν, μὴ διατηροῦσιν αὐτὸ τὴν διανοιαν, τὸ καθ' ἕκαστον τῶν ἀσθενούντων τοιαῦτα πάσχειν, εἰ μὴ ὅστις οὖν ἦν· οὐ δὲ γὰρ ὑπὲρ τῶν μειζόνων μὲν ἔλεγε τῶν δὲ ἐλαττόνων κατεφρόνει· ἀλλὰ καὶ τὸν ἀπῤῥιμμένον, ἐν τοῖς ἀναγκαίοις ἐτίθετο. (διὸ καὶ ἔλεγε, τίς ἀσθενεῖ; ὅστις ἐαν ᾖ. καὶ καθάπερ αὐτὸς ὢν ἡ
» ἐκκλησία ἡ κατὰ τὴν οἰκουμένην, οὕτω καθ' ἕκαστον ὡδύνατο μέλος. Εἰ καυχᾶσθαι δεῖ,
» τὰ τῆς ἀσθενείας μου καυχήσομαι. Ὁρᾷς ὅπι οὐδαμοῦ ἀπὸ σημείων, ἀλλ' ἀπὸ τῶν διωγμῶν καυχᾶται, ἢ τῶν πειρασμῶν; διὰ γὰρ φησιν ἀσθενείας, καὶ ποικίλον τὸν πόλεμον δείκνυσι. καὶ γὰρ οἱ Ἰουδαῖοι αὐτὸν ἐπολέμουν. καὶ τὰ ἔθνη πρὸς αὐτὸν ἵστατο. καὶ οἱ ψευδάδελφοι αὐτῷ ἐπῆκτεινον. καὶ οἱ ἀδελφοὶ αὐτὸν ἐλύπουν ἀσθενοῦντες, καὶ σκανδαλιζόμενοι. πάντοθεν αὐτῷ θόρυβος, καὶ ταραχή. ἀπὸ τῶν οἰκείων, ἀπὸ τῶν ἀλλοτρίων. οὕτως
» ἀποστολικὸς χαρακτήρ. διὰ τούτων ὑφαίνεται διάγγελιον. Ὁ θεὸς καὶ πατὴρ τοῦ
» κυρίου Ἰησοῦ οἶδεν, ὅτι οὐ ψεύδομαι. ὁ ἐθνάρχης ἀρέτας τοῦ βασιλέως ἐφρούρει τὴν δαμασκηνῶν πόλιν πᾶσαν μέλων. Τί δήποτε ἐν ταῖς θλίψεσι διαβεβαιοῦται, καὶ πιστοῦται; ἵνα μὴ ἀπ' οὐδενὸς τῶν προτέρων δόξῃ μὴ ποιήσας; ὅπι ἴσως δόξει ἀρχαιότερον ἦν, καὶ ἀδηλότερον, ἐκεῖνα δὲ καὶ αὐτοῖς γνώριμα, ἡμέριμνα τῶν ἐκκλησιῶν, καὶ τὰ ἄλλα πάντα. θέα τοίνυν τὸν πόλεμον ὅσος, εἶγε δι' αὐτὸν τὴν πόλιν ἐφρούρει. ὅταν δὲ τὸν πόλεμον εἴπω, τί ἕτερον λέγω τοῦ παύλου; εἰ γὰρ μὴ σφοδρὸς ἔπνει, οὐκ ἂν εἰς τοσαύτην ἀνῆψε τὸν ἐθνάρχην μανίαν. ταῦτα ψυχῆς ἀποστολικῆς, τὸ πάσχειν τοσαῦτα, καὶ μηδαμοῦ περιτρέπεσθαι, ἀλλὰ φέρειν γενναίως τὰ ἐμπίπτοντα, καὶ ὁμόσε χωρεῖν τοῖς κινδύνοις, μὴ δὲ ἐπιπηδᾶν. ὅρα γοῦν ἐν ταῖς θλίψεσι τῶς ἠνέσχετο διαφυγεῖν τὴν ἀπολιορκίαν, ἀλλὰ θυρίδος χαλασθεὶς ἐν σαργάνῃ. εἰ γὰρ καὶ ἐπεθύμει τῆς ἐντεῦθεν ἀποδημίας, ἀλλ' ὅμως καὶ τῆς τῶν ἀνθρώπων ἤρας σωτηρίας. διὸ πολλάκις, καὶ τοιαῦτα ἐμηχανᾶτο, τηρῶν ἑαυτὸν τῷ κηρύγματι. καὶ οὐ παρητεῖτο, οὐδὲ ἀνθρωπίνοις χρήσασθαι μηχανήμασιν ἡνίκα ἀπῄτει καιρός. οὕτως ἦν νή-

φων, καὶ

φων, καὶ ἐγκωμιαστικός. ἔνθα μὲν γὰρ ἄφυκτα ἦν κακά, τῆς χάριτος ἔδει μόνης. ἔνθα δὲ σύμμετρος ὁ πειρασμός, πολλὰ καὶ οἰκοθεν ἐπινοεῖ. καὶ ἐν τούτοις πάλιν τῷ θεῷ τὸ πᾶν λογιζόμενος. καὶ καθάπερ ἂν εἰ σπινθὴρ πυρὸς ἀσβέστου εἰς πέλαγος ἐμπεσὼν κυμάτων πολλῶν ἐπιόντων ἐσβεννύοιτο, καὶ πάλιν ἀνέρχοιτο λαμπρὸς, οὕτω δὴ καὶ ὁ μακάριος παῦλος. νῦν μὲν ἐχώννυτο κυμαινομένων, νῦν δὲ αὐτοὺς διασβύς, φαιδρότερος ἀνίσταται, τῷ πάσχειν κακῶς περιγινόμενος.

Ἡ ἀπόδειξις.

Αὕτη γὰρ ἡ λαμπρὰ νίκη. ἔδειξε τὸ ἐκκλησίασμα τὸ πρόσωπον. οὕτως ὁ διάβολος βάλλει, παθόντων ἡμῶν κακῶς· ἡμῶν γὰρ πασχόντων, ἁλίσκεται, καὶ πάσχει κακῶς, ὅταν ἡμᾶς ποιεῖν βούληται. ὅπερ καὶ τῷ παύλῳ συνέβαινε. καὶ ὅσῳ μεῖζον ἐπῆγε τοὺς κινδύνους, τοσούτῳ μᾶλλον ἥπτα το. οὐδὲ γὰρ ἓν εἶδος κατεσκεύαζε πειρασμῶν, ἀλλὰ ποικίλον, καὶ διάφορον. τὰ μὲν γὰρ πόνον εἶχε, τὰ δὲ ἀθυμίαν, τὰ δὲ φόβον, τὰ δὲ ὀδύνην, τὰ δὲ φροντίδα, τὰ δὲ αἰσχύνην, τὰ δὲ πάντα ὁμοῦ. ἀλλ' ὅμως ἐν πᾶσιν ἐκράτει. καὶ καθάπερ στρατιώτης εἰς τὴν οἰκουμένην πολεμῶσαν ἔχων ἅπασαν ἐν μέσοις στρέφοιτο τοῖς τάγμασι τῶν πολεμίων, καὶ μηδὲν πάσχοι δεινὸν, οὕτω καὶ ὁ παῦλος μόνος ἐν βαρβάροις, ἐν ἕλλησι, παντοχοῦ γῆς, παντοχοῦ θαλάττης φαινόμενος, ἀχείρωτος ἔμενε. καὶ ὥσπερ τις σπινθὴρ εἰς καλάμην, καὶ χόρτον ἐμπίπτων πρὸς τὴν ἑαυτοῦ φύσιν ἐπιτίθησι τὰ καιόμενα, οὕτω καὶ οὗτος ἅπασιν ἐπιών, πάντα μετέθηκε πρὸς τὴν ἀλήθειαν, χειμάρρου δίκην πάντα ἐπιών, καὶ ἀναιρέπων τὰ κωλύματα. καὶ καθάπερ ἀθλητὴς ἀνὴρ παλαίων, πρέχων, πυκτεύων, ἢ στρατιώτης τειχομαχῶν, πεζομαχῶν, ναυμαχῶν, οὕτω πᾶν εἶδος μετῆει μάχης, καὶ πῦρ ἐνέπνει, καὶ πᾶσιν ἀπρόσιτος ἦν. ἑνὶ σώματι, καταλαμβανῶν τὴν οἰκουμένην, μιᾷ γλώττῃ, πάντας τρέπόμενος. οὐχ οὕτως αἱ πολλαὶ σάλπιγγες ἐνέπιπτον τοῖς λίθοις τῆς τῶν ἱεριχουντίων πόλεως, καὶ καθῄρουν αὐτοὺς, ὡς ἡ τούτου φωνὴ ἠχοῦσα, τὰ ὀχυρώματα τὰ διαβολικὰ ῥίπτει χαμαί, καὶ τοὺς ἐναντίους πρὸς αὑτὸν μετέθηκε. μὴ ἵνικα συνέλεξεν αἰχμάλωτον πλῆθος αὐτὸς τούτους ὁ πλίσας, οἰκεῖον στρατόπεδον πάλιν ἐποίει. καὶ δι' αὐτῶν ἐκράτει θαυμαστῶς. διὰ δὲ τὸν γολιάθ, καταφέρων ἀπὸ λίθου μόνου ἑνός. ἀλλ' εἰ τὰ παύλου κατορθώματα ἐξετάσεις, παιδὸς ἔργον ἐκεῖνο, καὶ ὁσον ποιμένος, καὶ στρατηγοῦ τὸ μέσον, τοσοῦτον ὄψει τὸ διάφορον. οὗτος γὰρ οὐ λίθον ῥίπτων κατέφερε τὸν γολιάθ, ἀλλὰ φθεγγόμενος μόνον, ἅπασαν τοῦ διαβόλου κατέλυε τὴν φλόγα, καθάπερ λέων βρυχόμενος, καὶ φλόγα ἀπὸ τῆς γλώττης ἀφιείς. οὕτω πᾶσιν ἀφόρητος, καὶ πανταχοῦ μετεπίπτε συνεχῶς. ἐδράμομεν ἐπὶ τούτους, ἦλθεν ἐπ' ἐκείνους. μετέβη πρὸς τούτους, ἀπεπήδησε πρὸς ἑτέρους. ἀνέμου ταχύτερον ἐπιών. καὶ καθάπερ μέλιν οἰκίαν, ἢ πλοῖον ἐν τῇ οἰκουμένῃ ἅπασαν κυβερνῶν. τοὺς μὲν βαπτιζομένους ἀνέλκων. τοὺς δὲ ἁλιγγιῶντας στηρίζων. τοῖς ναύταις παρακελευόμενος. ἐπὶ τῶν αὐχένων καθήμενος. τὴν πρώραν περισκοπῶν. χοινίκια τείνων. κώπῃ μεταχειρίζων. ἰχθὺν ἕλκων. πρὸς τὸν οὐρανὸν βλέπων. πάντα αὐτὸς ὤν, καὶ ναύτης, καὶ κυβερνήτης, καὶ πρωρεὺς, καὶ ἰχθὺς, καὶ πλοῖον, καὶ πάντα πάσχων, ἵνα τὰ ἑτέρων λύσῃ κακά. σκόπει δὲ, ὑπὲρ τῆς ναυαγίου, ἵνα τὸ ναυαγίου παύσῃ τῆς οἰκουμένης. νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκεν, ἵνα τὸν βυθὸν τῆς πλάνης ἀνιμήσηται. ἐν κόπῳ γέγονεν, ἵνα τοὺς κοπιῶντας ἀναπαύσῃ. πληγὰς ὑπέμεινεν, ἵνα τοὺς

τοῦ τὸ

ὑπὸ τοῦ διαβόλου πληγέντας ἰάσηται. ἐν φυλακαῖς διέτριψεν, ἵνα αὐτοὺς ἐν φυλακῇ, καὶ σιδήρῳ καθημένους, εἰς φῶς ἐξαγάγῃ. ἐν θανάτοις πολλάκις, ἵνα θανάτων ἀπαλλάξῃ χαλεπῶν. πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβεν, ἵνα αὐτοὺς τοὺς ταῦτα ποιοῦντας ἐλευθερώσῃ τῆς τοῦ διαβόλου μάστιγος. ἐῤῥαβδίσθη, ἵνα ὑπὸ τὴν ῥάβδον, τὴν βασιλείαν ἀγάγῃ τοῦ Χῦ. ἐλιθάσθη, ἵνα ἀπαλλάξῃ τῶν ἀναισθήτων λίθων. ἐν ἐρημίᾳ γέγονεν, ἵνα τῆς ἐρημίας ἐξελεῖται. ἐν ὁδοιπορίαις, ἵνα φῶς πλανωμένους, καὶ τὴν εἰς τὸν οὐρανὸν φέρουσαν ὁδὸν ἀνοίξῃ. ἐν πόλεσιν ἐκινδύνευσεν, ἵνα τὴν ἄνω πόλιν ὑποδείξῃ. ἐν λιμῷ, καὶ λίμῳ, ἵνα ἀφέληται τοῦ χαλεπωτέρου λιμοῦ. ἐν γυμνότητι, ἵνα ἀχημονοῦντας ἐν στολῇ τῇ φωτὶ τοῦ Χῦ. ἐν ἐπιστασίᾳ ὄχλου, ἵνα τῆς περιστάσεως τῶν δαιμόνων ἀπαγάγῃ. ἐτορώθη, ἵνα σβέσῃ τὰ τετορωμένα βέλη τοῦ διαβόλου. διὰ θυρίδος ἀπὸ τείχους ἐχαλάσθη, ἵνα κάτωθεν ἀνάγῃ τοὺς ἐῤῥιμμένους χαμαί. ἐπὶ οἷς φθεγξόμεθα, οὐδὲ εἰδότες ἅπερ ἔπαθε παῦλος; ἐπὶ χριμάτων μνησθησόμεθα; ἐπὶ γυναικὸς, καὶ πόλεως, μὴ ἐλευθερίασε; ἐκεῖνον αὐτῆς τῆς ζωῆς μυριάκις καταφρονοῦντα ἰδόντες; ὁ μάρτυς ἅπαξ ἀποθνήσκει, ὁ δὲ μακάριος ἐκεῖνος, ἑνὶ σώματι, καὶ μιᾷ ψυχῇ, τοσούτοις κινδύνοις ὑπέμεινε, μὴ ἀθυμήσαι δυνηθεὶς ἱκανοὺς θορυβῆσαι ψυχήν. καὶ ἅπερ ἅπαντες ἐν τοσούτοις σώμασιν, οἱ ἅγιοι ἔπαθον, ταῦτα αὐτὸς ἐν ἑνὶ πάντα ἤνεγκε, καθάπερ εἰς στάδιον τὴν οἰκουμένην εἰσελθών, καὶ πάντα ἀποδυσάμενος, οὕτως ἴσταται γενναίως. καὶ γὰρ ἔδει τοὺς πυκτεύοντας αὐτῷ δαίμονας. διὸ καὶ λαμπρὸς θεάτρου ἐκπροσοιμίων ἐφάνη. ἐξ αὐτῆς τὴν βαλβίδος, καὶ μέχρι τέλους ὅμοιος διέμεινε. μᾶλλον δὲ καὶ ἐπέτεινε τὸν διωγμὸν ἐγγὺς τοῦ βραβείου γενόμενος. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι τοσαῦτα πάσχων, καὶ ποιῶν, σφόδρα μετριάζειν ἤδει. καὶ γὰρ εἰς ἀνάγκην ἐμπεσὼν τῆς διηγήσεως τῶν οἰκείων κατορθωμάτων, ταχέως ἅπαντα παρέδραμε. καίτοιγε μυρίας βίβλους ἂν ἔπλησεν αὐ, εἰ τῶν εἰρημένων ἕκαστον ἐξαπλῶσαι ἠβούλετο. καὶ τὰς ἐκκλησίας εἶπεν ἃς ἐμερίμνα, εἰ τὰς φυλακὰς, καὶ τὰ ἐν αὐταῖς κατορθώματα, εἰ τῶν λίθων καθεκάστην τὰς περιστάσεις, τὰς ἐφόδους. ἀλλ' οὐκ ἠθέλησε. ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες, καὶ μετριάζειν μάθωμεν, καὶ μηδέποτε ἐν πλούτῳ καυχᾶσθαι, μὴ δὲ ἐν τοῖς ἁγίοις βιωτικοῖς. ἀλλ' ἐν ταῖς ὕβρεσι ταῖς διὰ τὸν Χν. καὶ ἐν ταύτοις, ὅταν ἀναίσκυντοι γένηται. ὡς εἰ μηδὲν εἴη τὸ κατεσθίειν, μὴ δὲ τούτων μνημονεύωμεν. ἵνα μὴ ἐταιρώμεθα. ἀλλὰ ἁμαρτημάτων μόνων. οὕτω γὰρ ἀπαλλαγησόμεθα αὐτῶν ῥᾳδίως. καὶ τὸν θεὸν ἵλεων ἕξομεν, καὶ τῆς μελλούσης ἐπιτευξόμεθα ζωῆς. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος. κς'.

» Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι. ἐλεύσομαι γὰρ εἰς ὀπτασίας, καὶ ἀποκαλύψεις κυρίου. Τί δῆτα ὁ τοσαῦτα εἰπὼν φησι; καυχᾶσθαι δὴ οὐ συμφέρει μοι φῇ, ὡς οὐδὲν εἰρηκώς; οὐχ' ὡς οὐδὲν εἰρηκώς, ἀλλ' ἐπειδὴ μέλλει μεταβαίνειν, εἰς ἕτερον εἶδος καυχήσεως, ὃ μᾶλλον μὴ οὐκ ἔχει τοσοῦτον, λαμπρότερον δὲ δοκεῖ δεικνύναι τοῖς πολλοῖς, οὐ τοῖς ἀκριβῶς ἐξετάζουσι

βῶς ἐξετάζουσι, φησί. καυχᾶσθαι δὴ οὐ συμφέρει μὲν. τὰ γὰρ μεγάλα καυχήματα, ταῦτα ἅπερ ἀπηριθμήσατο, τὰ τῶν πειρασμῶν. ἔχει δὲ καὶ ἕτερα λέγειν, τὰ τῶν ἀποκαλύψεων, τὰ τῶν ἀπορρήτων μυστηρίων. καὶ τίνος ἕνεκεν φησιν οὐ συμφέρει; ἵνα μὴ μεῖς εἰς ἀπόνοιαν ἐμπέσῃ φῆ. τί λέγεις; αὐ γὰρ μὴ εἴπῃς αὐτὰ οὐκ οἶδας αὐτά; ἀλλ' οὐχ ὁμοίως ἐκαιρόμεθα αὐτοὶ εἰδότες αὐτά, καὶ εἰς ἄλλους ἐκφέροντες. οὐ γὰρ ἡ τῶν κατορθωμάτων φύσις ἐκαίρειν εἰώθειν, ἀλλ' ἡ τῶν πολλῶν μαρτυρία, καὶ γνῶσις. διὰ τοῦτο οὖν φησι, οὐ συμφέρει μοι, καὶ ἵνα μὴ μείζονα ἐν ἐμοὶ περὶ ἐμοῦ ἔννοιαν τοῖς ἀκούουσιν. ἐκεῖνοι μὲν γὰρ οἱ ψευδαπόστολοι, καὶ τὰ οὐκ ὄντα, περὶ ἑαυτῶν ἔλεγον, οὗτος δὲ καὶ τὰ ὄντα ἀποκρύπτεται. καὶ ταῦτα ἀνάγκης τοσαύτης ἐπικειμένης. καὶ φησὶν οὐ συμφέρειμοι, ψευδέων ἅπαντας ἐκπολλῆς περιουσίας τὸ τοιοῦτον φεύγειν. οὐδὲν γὰρ ἔχει τὸ πρᾶγμα κέρδος, ἀλλὰ καὶ βλάβην, πλὴν ἐάν μὴ ἀναγκαία τις ᾖ πρόφασις, καὶ ὠφέλιμος ἡ εἰς τοῦτο ἐνάγουσα. εἰπὼν τοίνυν τοὺς κινδύνους, τοὺς πειρασμούς, τὰς ἐπιβουλάς, τὰς ἀθυμίας, τὰ ναυάγια, ἐφ' ἕτερον μεθίσταται καυχήσεως εἶδος, λέγων. Οἶδα ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων, (εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα, ὁ Θεὸς οἶδεν,) ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. καὶ οἶδα ὅτι ἡρπάγη, εἰς τὸν παράδεισον, εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα. καὶ ἤκουσεν ἀῤῥήτα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. ὑπὲρ τοῦ τοιούτου καυχήσομαι. ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι. Μεγάλη μὲν αὕτη ἡ ἀποκάλυψις. οὐκ αὐτὴ δὲ γέγονε μόνη, ἀλλ' ἕτεραι πλείους. αὐτὸς δὲ μίαν ἐκ πολλῶν πίθησιν. ὅτι γὰρ πολλαὶ ἦσαν, ἄκουσον τί φησι. τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι. καὶ μὴν εἰ ποιεῖς αὖ, εἰ κρύψαι ἤθελε, παντελῶς ἔδει μὴ δηλῶσαι αἴνιγμα, μὴδὲ εἰπεῖν τὸ τοιοῦτον. εἰ δὲ εἰπεῖν ἤθελε, σαφῶς εἰπεῖν. τίνος οὖν ἕνεκεν, οὔτε σαφῶς εἶπεν, οὔτε ἐσίγησεν; ἵνα καὶ ταῦτα δείξῃ ὅτι ἄκων εἰς τὸ πρᾶγμα ἔρχεται. διὰ τοῦτο καὶ τὸν χρόνον ἔθηκε τῶν δεκατεσσάρων ἐτῶν. οὐ δὲ ἁπλῶς αὐτὸ μέμνηται, ἀλλὰ δεικνὺς ὅτι οὐκαὼ ὁ τοσοῦτον καρτερήσας χρόνον, νῦν αὖ ἐξεῖπεν εἰ μὴ πολλὴ ἦν ἡ ἀνάγκη. ἀλλ' ὅμως ἐσίγησεν ἄν εἰ μὴ τοὺς ἀδελφοὺς ἀπολλυμένους ἑώρα. εἰ δὲ ἐκ προοιμίων τοιοῦτος ἦν ὁ παῦλος, ὥστε τοιαύτης καταξιωθῆναι ἀποκαλύψεως ὅτε οὔπω τοιαῦτα κατορθώματα εἶχεν, συννόησον ἡ λίκος ἐν τεσσαρεσκαίδεκα ἔτεσι γέγονεν. ὅρα δὲ πῶς καὶ ἐν αὐτῷ τούτῳ μετριάζει, τῷ τὰ μὲν εἰπεῖν τὰ δὲ ὁμολογεῖν ἠγνοηκέναι. ὅτι μὲν γὰρ ἡρπάγη, εἶπεν. εἴτε δὲ ἐν σώματι, εἴτε οὐκ ἐν σώματι, οὐκέτι φῆ εἰδέναι. καίτοιγε ἐξήρκει τὴν ἁρπαγὴν εἰπόντι, σιγῆσαι. νυνὶ δὲ μετριάζων, καὶ διὰ τοῦτο προστίθησι. τί οὖν ὁ νοῦς; ἡρπάγη, καὶ ἡ ψυχή, τὸ δὲ σῶμα νεκρὸν ἔμεινεν; ἀλλὰ τὸ σῶμα ἡρπάγη; ἀλλ' οὐκ ἦν εἰπεῖν. εἰ γὰρ ὁ παῦλος ἠγνόει ὁ ἁρπαγείς, καὶ τοιούτων, καὶ τοσούτων ψυχῶν ἀπορρήτων, πολλῷ μᾶλλον ἡμεῖς. ὅτι μὲν γὰρ ἐν παραδείσῳ ἦν, ἤδει, καὶ ὅτι ἐν τῷ τρίτῳ ἦν οὐρανῷ, οὐκ ἠγνόει. τὸν δὲ τρόπον οὐκ ἤδει σαφῶς. σκόπει δὲ καὶ ἑτέρωθεν αὐτοῦ τὸ ἄτυφον. διὰ μὲν γὰρ τῆς Δαμασκηνῶν πόλεως, πιστοῦται τὸν λόγον, ἐν ταῦθα δὲ οὐκέτι. οὐ δὲ γὰρ σφόδρα αὐτὸ κατασιγάσαι ἠβούλετο, ἀλλ' εἰπεῖν, καὶ αἰνίξασθαι μόνον. διὸ καὶ ἐπάγει λέγων. ὑπὲρ τοῦ τοιούτου καυχήσομαι. οὐ διὰ δηλῶν ὅτι ἑτέρους ἦν ὁ ἁρπαγείς.

ἀλλ' ὡς

ἀλλ' ὡς ἐνεχώρει, καὶ διωκτὸν ἦν, καὶ εἰπεῖν, καὶ διακρούσασθαι τὸ περὶ αὐτοῦ εἰπεῖν φανερῶς, οὕτω σχηματίζει τὸν λόγον. ποία γὰρ ἀκολουθία ἦν περὶ ἑαυτοῦ διαλεγόμενον ἄλλον παραίγειν εἰς μέσον; τίνος οὖν ἕνεκεν οὕτως αὐτὸ τέθεικεν; οὐκ ἴσον εἰπεῖν ἡρπάγην, καὶ οἶδα ἁρπαγέντα, καὶ καυχῶμαι ὑπὲρ ἐμαυτοῦ, καὶ ὑπὲρ τοῦ τοιούτου καυχήσομαι. εἰ δέ λέγοι τίς, καὶ πῶς ἔνι χωρὶς σώματος ἁρπαγῆναι; ἐρήσομαι αὐτόν. πῶς δὲ ἔνι μὴ σώματος ἁρπαγῆναι; καὶ γὰρ καὶ τοῦτο ἐκείνου ἀπορώτερον, ἐὰν λογισμοῖς ἐξετάζῃς, καὶ μὴ τῇ πίστει παραχωρῇς. τίνος δὲ ἕνεκεν, καὶ ἡρπάγη; ὑπὲρ τοῦ μὴ δοκεῖν αὐτὸν, ὡς ἐγώγε οἶμαι, ἐλαττον ἔχειν τῶν λοιπῶν ἀποστόλων. ἐπειδὴ γὰρ ἐκεῖνοι συνεγένοντο τῷ Χῷ, διὰ τοῦτο εἰς δόξαν ἥρπασε τοῦτον εἰς τὸν παράδεισον. πολὺ γὰρ ὄνομα τοῦ χωρίου τούτου, καὶ πανταχοῦ ἤδετο. διὸ καὶ ὁ Χς ἔλεγε. σήμερον μετ' ἐμοῦ ἔσῃ, ἐν τῷ παραδείσῳ. ὑπὲρ τοῦ τοιούτου καυχήσομαι. τίνος ἕνεκεν; εἰ γὰρ ἄλλος ἡρπάγη, σὺ τί καυχᾷ; ὅθεν δῆλον, ὅτι περὶ ἑαυτοῦ ταῦτα ἔλεγεν. εἰ δὲ ἐπήγαγεν ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι ἀναγκης οὐκούσης, οὐδὲν ἐρῶ τοιοῦτον ἁπλῶς, καὶ εἰκῇ. ἢ συσιάζων πάλιν τὸ εἰρημένον, ὡς ἐνεχώρει. ὅτι γὰρ
» περὶ ἑαυτοῦ πᾶς ὁ λόγος ἦν, καὶ τὰ ἑξῆς δηλοῖ. ἐπήγαγε γὰρ λέγων. Ἐὰν δὲ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων. ἀλήθειαν γὰρ ἐρῶ. Πῶς οὖν ἔμπροσθεν ἔλεγες, ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ. μὴ ὃ λαλῶ, οὐ κατὰ κύριον λαλῶ, ὡς ἐν ἀφροσύνῃ. ἐνταῦθα δὲ, ἐὰν δὲ καὶ θελήσω καυχήσασθαι, οὐκ εἰμὶ ἄφρων. οὐ κατὰ τὸ καυχᾶσθαι, ἀλλὰ κατὰ τὸ ψεύδεσθαι. εἰ γὰρ τὸ καυχᾶσθαι ἀφροσύνης, πόσῳ μᾶλλον τὸ ψεύδεσθαι; κατὰ δῆλον οὖν φησιν οὐκ ἔσομαι ἄφρων. διὸ καὶ ἐπήγαγεν. ἀλήθειαν γὰρ λέγω.
» Φείδομαι δὲ μήτις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει, ἢ ἀκούει τι ἐξ ἐμοῦ. Αὕτη ἐστὶν ἡ ὁμολογημένη αἰτία. καὶ γὰρ καὶ θεοὺς αὐτοὺς ἐνόμισαν διὰ τὸ μέγεθος τῶν σημείων. καθάπερ οὖν τῶν στοιχείων ἀμφότερα πεποίηκεν ὁ Θς, καὶ ἀσθενῆ, καὶ λαμπρὰ κατασκευάσας. τὸ μὲν, ἵνα κηρύξῃ τὴν αὐτοῦ δύναμιν, τὸ δὲ, ἵνα κωλύσῃ τῶν ἀνθρώπων τὴν πλάνην. οὕτω δὴ καὶ ἐνταῦθα, καὶ θαυμαστοὶ ἦσαν, καὶ ἀσθενεῖς. ὥστε δι' αὐτῶν τῶν ἔργων, παιδεύεσθαι τοὺς ἀπίστους. εἰ γὰρ μένοντες θαυμαστοὶ μόνον, μηδὲν ἀσθενείας δεῖγμα φέροντες λόγῳ τοὺς πολλοὺς ἀπῆγον τοῦ μείζονα περὶ αὐτῶν ὑποπτεύειν τῆς ἀληθείας, οὐ μόνον οὐδὲν αὐτοὺς ὠφέλησαν, ἀλλὰ καὶ τοὐναντίον αὐτοὺς κατεσκεύασαν. αἱ γὰρ διὰ τῶν λόγων γινόμεναι παραιτήσεις, τὰ τῆς εἰνοφροσύνης αὐτοὺς ἐδείξαν εἶναι μᾶλλον, καὶ πλέον αὐτοὺς θαυμαστοὺς εἶναι παρεσκεύασαν. διὰ τοῦτο ἔργῳ, καὶ πράγμασιν ἡ ἀσθένεια αὐτῶν ἐξενέκαλυπτε το. καὶ τοῦτο ἴδοις ἂν καὶ ἐπὶ τῶν ἐν τῇ παλαιᾷ γενομένων ἀνθρώπων. καὶ γὰρ ὁ Ἠλίας θαυμαστὸς ἦν, ἀλλ' ἠλέγχθη ποτὲ καὶ δειλίας. καὶ ὁ Μωϋσῆς, μέγας, ἀλλὰ καὶ οὗτος, διὰ τοῦτο τὸ πάθος, ἐδραπέτευσε. ταῦτα δὲ ἔπαθον, τοῦ μὲν ἀφιγμένου, καὶ συγχωροῦντος ἐλεγχθῆναι τὴν ἀνθρωπίνην φύσιν. εἰ γὰρ ἐπειδὴ ἐξήγαγεν αὐτοὺς λέγοιτο, που ἐφ' Μωϋσῆς; εἰ μὴ εἰσήγαγε, τί οὖν ἂν εἶπον; διὰ τοῦτο μὴ αὐτὸς φησι. φείδομαι μήτις εἰς ἐμὲ λογίσηται. οὐκ εἶπεν εἶπη. ἀλλ' ἵνα μὴ δὲ λογίσηταί τι μεῖζον τῆς ἀξίας τῆς ἐμῆς. ὥστε καὶ ἐντεῦθεν δῆλον, ὅτι περὶ αὐτοῦ πᾶς ὁ λόγος. διὸ καὶ ἀρχόμενος, ἔλεγε. καυχᾶσθαι δὴ οὐ συμφέρει μοι. οὐκ ἂν εἰ περὶ ἑτέρου ἐμελλεν ἐρεῖν ἅπερ εἶπε, τοῦτο εἶπε. τίνος γὰρ ἕνεκεν

οὐ συμφέρει

οὐ συμφέρει περὶ ἑτέρου καυχᾶσθαι, ἀλλ' αὐτὸς ἦν ὁ τούτων ἀξιωθείς. διὸ μὴ ἐπάγει λέγων.
» Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί,
» ἄγγελος σατᾶν ἵνα με κολαφίζῃ. Τί λέγεις; ὁ τὴν βασιλείαν οὐδὲν εἶναι νομίζων, οὐδὲ τὴν γέενναν, πρὸς τὸν πόθον τὸν χριστὸν τὴν παρὰ τῶν πολλῶν ἐνόμιζε τιμὴν εἶναι τιμιωτέραν; ὥστε καὶ ἐπαρθῆναι, καὶ διπνευστοῦς δεῖσθαι τοῦ χαλινοῦ; οὐ γὰρ εἶπεν ἵνα κολαφίσῃ, ἀλλ' ἵνα κολαφίζῃ. καὶ τίς αὖ πάλιν εἴποι; τί οὖν ἐστι τὸ λεγόμενον; ὅταν ἀνακαλύψωμεν τίς ποτέ ἐστιν ὁ σκόλοψ, καὶ τίς ὁ ἄγγελος τοῦ σατᾶν, τότε καὶ πάλιν ἐροῦμεν. Τινὲς μὲν οὖν κεφαλαλγίαν τινὰ ἔφασαν αὐτὸν λέγειν, ὑπὸ τοῦ διαβόλου γινομένην. ἀλλὰ μὴ γένοιτο. οὐ γὰρ αὐτὸ τὸ σῶμα τοῦ παύλου, ταῖς τοῦ διαβόλου χερσὶν ἐξεδόθη, ὅπουγε αὐτὸς ὁ διάβολος ἐπιτάγματα μόνον εἶχεν αὐτῷ τῷ παύλῳ. μὴ νόμοις αὐτῶν, καὶ ὅρους ἐπίθει, ὅτε τὸν πορνεύοντα παρέδωκεν, εἰς ὄλεθρον τῆς σαρκὸς, καὶ ὑπερβῆναι τούτοις οὐκ ἐτόλμησεν ἐκεῖνος. τί οὖν ἐστι τὸ λεγόμενον; σατᾶν ὁ ἀντικείμενος λέγεται τῇ τῶν ἑβραίων φωνῇ. καὶ ἐν τῇ τρίτῃ τῶν βασιλειῶν, τοὺς ἀντικειμένους οὕτως ἐκάλεσεν ἡ γραφή. καὶ περὶ τοῦ σολομῶντος διηγουμένη φησὶν. οὐκ ἦν σατᾶν ἐν ταῖς ἡμέραις αὐτοῦ. τουτέστιν ἀντικείμενος, πολεμῶν, ἢ ἐνοχλῶν. ὃ δὲ τοίνυν λέγει, τοῦτό ἐστιν. οὐκ ἐᾷ σατᾶν ὁ θεὸς προχωρῆσαι τὸ κήρυγμα, τὸ φρόνημα καταστέλλων ἡμῶν. ἀλλὰ συνεχώρησε τοῖς ἀντικειμένοις ἐπιπηδᾶν ἡμῖν. τοῦτο μὲν γὰρ ἱκανὸν ἦν κατασκάσαι τὸ φρόνημα, ἐκεῖνο δὲ οὐκέτι τὸ τῆς κεφαλαλγίας. ἄγγελον τοίνυν σατᾶν λέγει, ἀλέξανδρον τὸν χαλκέα. τὸν περὶ ὑμέναιον, καὶ φιλητόν. πάντας τοὺς ἀντικειμένους τῷ λόγῳ. τοὺς φιλονεικοῦντας αὐτῷ, καὶ πολεμοῦντας. τοὺς ἐμβάλλοντας εἰς δεσμωτήριον. τοὺς δέροντας, τοὺς ἀπάγοντας. ἐπειδὴ τὰ τοῦ σατανᾶ ἔπραττον. ὥσπερ οὖν γοῦν διαβόλου καλεῖ τοὺς ἰουδαίους τὰ ἐκείνου ζηλοῦντας, οὕτως καὶ ἄγγελον σατᾶν ἅπαντα τὸν ἀντιπολοῦντα. τοῦτο οὖν φησιν ἐδόθη μοι σκόλοψ, ἵνα με κολαφίζῃ. οὐχ ὥστε δεῖ τοὺς τοιούτους ὁπλίζοντι (μὴ γένοιτο.) οὐ κολάζοντι οὐδὲ τιμωρουμένῳ, ἀλλὰ συγχωροῦντι, καὶ ἀφιέντος
» τέως. Ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα. Τουτέστι πολλάκις. καὶ τοῦτο πολλῆς ταπεινοφροσύνης τὸ μὴ κρύψαι, ὅπου οὐκ ἔφερε τὰς ἐπιβουλάς. ὅπου ἐνόμιζε. καὶ δεήσεως ἐ-
» δεῖτο ὑπὲρ ἀπαλλαγῆς. Καί εἴρηκέ μοι. ἀρκεῖσοί σοι ἡ χάρις μου ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Τουτέστιν ἀρκεῖσοί σοι πενομένους ἐγείρειν. ὅπου τυφλοὺς δοξάζειν. ὅπου λεπροὺς καθαίρειν. ὅπου τὰ ἄλλα θαυμαστουργεῖν. μὴ ζήτει καὶ τὸ ἀπύρδωτον, καὶ τὸ ἀδέες. καὶ τὸ χωλεῖς πραγμάτων κηρύττειν. ἀλλὰ ἀλγεῖς, καὶ ἀθυμεῖς; μὴ δόξῃ τοῦτο ἀσθενείας εἶναί μοι, τὸ πολλοὺς εἶναι τοὺς ἐπιβουλεύοντας, καὶ δέροντάς σε, καὶ ἐλαύνοντας, καὶ μαστίζοντας. τοῦτο μὲν οὖν αὐτὸ δείκνυσί μου τὴν δύναμιν. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὅταν διωκόμενοι, τῶν διωκόντων περιγινώμεθα. ὅταν ἐλαυνόμενοι, τῶν ἐλαυνόντων κρατῶμεν. ὅταν δεσμούμενοι, τοὺς δέροντας τρέπωμεθα. μὴ τοίνυν ζήτει τὰ περιττά. ὁρᾷς πῶς ἀληθῆ μὲν αἰτίαν αὐτὸς πίθησιν ἀληθῆ δὲ ὁ θεός; αὐτὸς μὲν γὰρ λέγει. ἵνα μὴ ὑπεραίρωμαι ἐδόθη μοι σκόλοψ τῇ σαρκί. τὸν δὲ θεὸν εἰρηκέναι φησὶν ὑπὲρ τοῦ δεῖξαι τὴν δύναμιν αὐτοῦ, τοῦτο συγχωρεῖ. οὐ τοίνυν περιττὸν μόνον ζητεῖς, ἀλλὰ καὶ ἐπισκοτοῦν τῇ τῆς δυνάμεώς μου δόξῃ πρᾶγμα. τὸ γὰρ ἀρκεῖσοι, τοῦτο δηλοῦντός ἐστιν, ὡς οὐκ ὀφείλοντος προστεθῆναι ἑτέρου τινός, ἀλλ' ὡς τοῦ παντὸς ἀπηρτισμένου. ὥστε καὶ ἐντεῦθεν

δῆλον,

δῆλον, ὅτι οὐ κεφαλαλγίαν φησί. οὐ γὰρ δὴ νοσοῦντες ἐκήρυττον. ζοῦ γὰρ ἠδύναντο κηρύττειν ἀσθενοῦντες) ἀλλ' ὅτε ἐλοιδορούμενοι, διωκόμενοι, πάντων περιεγένοντο. Ὅταν δὴ οὖν ταῦτα ἤκουσα φῇ. Ἡδέως οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου. Ἵνα γὰρ μὴ κατασῶσιν, ἐκείνων τῶν ψευδαποστόλων τῷ τοῖς ἐναντίοις καυχωμένων, καὶ τούτων ὄντων ἐν διωγμοῖς, δείκνυσιν, ὅτι διαφέρει λαμπρότερος γίνεται. καὶ οὕτω μᾶλλον ἡ δύναμις τοῦ θεοῦ διαλάμπει. καὶ καυχήσεως ἄξια τὰ γινόμενα. διὸ φησὶ. ἥδέως οὖν καυχήσομαι. οὐχὶ λυπούμενος ταῦτα εἶπον ἅπερ ἀπηριθμησάμην. ἢ διαφέρει ὅπερ εἰρηκα νῦν. ὅτι ἐν δόξῃ μοι σκόλοψ. ἀλλ' ἐγκαλλοπιζόμενος καὶ πλείονα δύναμιν ἐφελκόμενος. διὸ καὶ φησίν. Ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. Ἐν ταῦτα καὶ ἕτερόν τι αἰνίττεται. ὅτι ὅσῳ τὰ τῶν πειρασμῶν ἐπεγίνετο, τοσούτῳ τὰ τῆς χάριτος ἤυξετο, καὶ ἐπέμενε. Διὸ εὐδοκῶ ἐν ἀσθενείαις πολλαῖς. Ποίαις; εἰπέ μοι. Ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις. Εἶδες πῶς αὐτὸ ναῦν ἀπεκάλυψε σαφέστατα; λέγων γὰρ τῆς ἀσθενείας τὸ εἶδος, οὐκέτι ζητητοὺς, ἢ περίοδον τινὰ τοιαύτην, ἢ ἄλλῳ ἀρρωστίαν σωματικήν. ἀλλὰ ὕβρεις, διωγμοὺς στενοχωρίας. εἶδες ψυχὴν εὐγνώμονα; ἐπιθυμεῖ ἀπαλλαγῆναι τῶν δεινῶν. ὅτε δὲ ἤκουσε παρὰ τοῦ θεοῦ ὅτι οὐ δεῖ σοῦ γίνεσθαι, οὐ μόνον οὐκ ἐδυσκόλανεν ἀποτυχὼν τῆς εὐχῆς, ἀλλὰ καὶ ἡδυφράνθη. διὸ ἔλεγεν. Εὐδοκῶ, χαίρω, ἐπιθυμῶ, ὑβρίζεσθαι, διώκεσθαι, στενοχωρεῖσθαι ὑπὲρ Χριστοῦ. Ταῦτα δὲ ἔλεγε, καὶ κατέλλων ἑαυτοὺς, καὶ τούτων ἀφαιρῶν τὰ φρονήματα, ἵνα μὴ ἀλαζόνωνται τοῖς παύλου παθήμασιν. ἀρκεῖ γὰρ ἡ ὑπόθεσις πάντων ποιῆσαι λαμπροτέρους. εἶτα καὶ ἄλλῳ αὐτὰν πάθησιν. Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι. Τί θαυμάζεις εἰ τοῦ θεοῦ ἡ δύναμις τότε διαδείκνυται, καὶ ἐγὼ τότε δυνατός εἰμι; τότε γὰρ μάλιστα ἡ χάρις ἐπῆλθε. Καθὼς γὰρ περισσεύει τὰ παθήματα αὐτοῦ, περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. Ὅπου θλῖψις, ἐκεῖ καὶ παράκλησις, ὅπου παράκλησις, ἐκεῖ καὶ χάρις. ὅτε γοῦν ἐνέπεσεν εἰς τὸ δεσμωτήριον, τότε τὰ θαυμαστὰ ἐποίησεν ἐκεῖνα. ὅτε ἀναιρεῖσθαι καὶ εἰς τὴν βάρβαρον ἐξεπέχθη χώραν, τότε μάλιστα ἐδοξάσθη. ὅτε εἰς τὸ δικαστήριον εἰσῆλθε δεδεμένος, τότε καὶ τοῦ δικαστοῦ περιεγένετο. οὕτω καὶ ἐν τῇ παλαιᾷ συνέβαινεν. ἐν τοῖς πειρασμοῖς ἤνθουν οἱ δίκαιοι.

Ἡ θεωρία.

Οὗτος οἱ τρεῖς παῖδες, οὕτως ὁ δανιὴλ, καὶ μωϋσῆς, καὶ ἰωσὴφ. πάντες ἐν τούτῳ λαμπροὶ, καὶ μεγάλων ἠξιώθησαν στεφάνων. τότε γὰρ καὶ ἡ ψυχὴ καυχᾶται, ὅτε μετὰ τοῦ θεοῦ θλίβεται. τότε μείζονος ἀπολαύει βοηθείας, πλείονος δεσπότου συμμαχίας, καὶ πλείονος ἄξια χάριτος. καὶ πρὸ τοῦ μαρτυρῆσαι τοῦ παρὰ τοῦ θεοῦ κειμένου, μεγάλα καρποῦται ἀγαθὰ φιλόσοφος γινόμενος. καὶ γὰρ τὸν τύφον περιαιρεῖ, καὶ τὴν ῥᾳθυμίαν ἐκκόπτει πᾶσαν ἡ θλῖψις. καὶ πρὸς ὑπομονὴν ἀλείφει. ἐκκαλύπτει τῶν ἀνθρωπίνων πραγμάτων τὴν εὐτέλειαν. καὶ πολλὴν εἰσάγει φιλοσοφίαν. πάντα γὰρ αὐτῇ παραχωρεῖ τὰ πάθη, βασκανία, ζῆλος, ἐπιθυμία, σωματεία χρημάτων, ἔρως σωμάτων, ἀλαζονεία, τῦφος, θυμὸς, ἅπας ὁ λοιπὸς τῶν νοσημάτων τούτων ἐσμός. καὶ εἰ βούλει ἀπ' αὐτῶν τῶν πραγμάτων ἰδεῖν, καὶ ἀνδραποδίαν, καὶ δῆμον ὁλόκληρον, σωπήσομαί σοι δεῖξαι, καὶ ἐν θλίψει γενομένους, καὶ ἐν αἰσθήσει, καὶ διδάξαι πόσον ἐν τούτῳ τὸ κέρδος. πόση ἐκεῖθεν ἡ ῥᾳθυμία. καὶ γὰρ ὁ τῶν ἑβραίων δῆμος, ὅτε μὲν ἐκακοῦτο, καὶ ἱλαούνετο, ἕστενον, καὶ τὸν θεὸν παρεκάλουν. καὶ πολλὴν ἀνωθεν ἐπε-

πωῶν ζ τὴν

σωῶν τὴν ῥοπήν. ὅτε δὲ ἐλιπάνθησαν, ἀνεσκίρτησαν, οἱ νινευῖται πάλιν, ὅτε μὲ ἀδείας ἀπήλαυον, οὕτω τὸν θεὸν παρώξυναν, ὡς ὁλόκληρον ἀνειλῆσαι τὴν πόλιν ἐκβάθρων ἀναστῶσαν. ὅτε δὲ ὑπὸ τὸ κηρύγματος ἐτανεώθησαν ἐκείνου, πᾶσαν ἐπεδείξαντο φιλοσοφίαν. εἰ δὲ καὶ οὗ θρασὺν ἦν καθ' ἑαυτὸν ἰδεῖν ἐθέλεις, συνόησον τὸν σολομῶντα. καὶ γὰρ οὗτος ὅτε μὲν ἐν φρονίμοις, καὶ ταραχῆς πρὸς τῆς ταραχῆς τὸ ἔθνους ἐκείνου βουλόμενος, τῆς ὄψεως ἠξιώθη ἐκείνης. ὅτε δὲ ἐν τρυφῇ γέγονεν, εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον ἐξωλίσθησε. τί δὲ ὁ τούτου πατήρ; πότε θαυμαστὸς ἦν, καὶ παράδοξος; οὐχ ὅτε ἐν πειρασμοῖς ἦν; ὁ δὲ ἀβεσαλὼμ οὐχ ἕως μὲν ἔφυγεν ἐσωφρόνει; ἔπειδὴ δὲ ἐπανῆλθε, καὶ τυραννικὸς, καὶ παρανομώτατος ἐγένετο; τί δὲ ὁ ἰώβ; οὗτος γὰρ λαμπρὸς μὲν ἦν, καὶ ἐν ἀνέσει, λαμπρότερος δὲ μετὰ τὴν θλῖψιν ἐφάνη. καὶ τί δεῖ λέγειν τὰ ἀρχαῖα, καὶ παλαιά; αὖ γὰρ τὰ ἡμέτερα τῆς ἐξετάσεως τὰ νῦν, ὄψιν ἥλιον τῆς θλίψεως τὸ κέρδος. νῦν μὲν γὰρ εἰρωνίης ἀπολαύοντες, ἀνακεκωφώκαμεν, καὶ διερρύημεν, καὶ μυείων τὴν ἐκκλησίαν ἐνεπλήσαμεν κακῶν, ὅτε δὲ ἐλαυνόμεθα, καὶ σωφρονέστεροι, καὶ ἐπιεικέστεροι, καὶ ἀνυδαιότεροι, καὶ πρὸς τοὺς συλλόγους τούτους, ἤμεν προθυμότεροι πρὸς τὴν ἀκρόασιν. ὅπερ γὰρ τῷ χρυσίῳ τὸ πῦρ, τοῦτο ἡ θλῖψις ταῖς ψυχαῖς, τὸν ῥύπον ἀποσμήχουσα, καὶ θαρροῦς ἐργαζομένη, λαμπροὺς κατασκευάζουσα, καὶ φαιδρούς. αὕτη εἰς βασιλείαν εἰσάγει, ἐκείνη δὲ εἰς γέενναν. διὸ ἡ μὲν θλῖψις θύρα χωρὸς, ἡ δὲ τρυφὴ. διαφέρει καὶ αὐτὸς ἔλεγεν. ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, ὡς μέγα τι καταλαμβάνον ἡμᾶς ἀγαθόν. εἰ τοίνυν μαθητὴς εἶ, τρυφὴν, μὴ τεθλιμμένην ὁδεύε, μὴ δὲ λυχέραινε, μὴ δὲ ἀποδυσάτει. κἂν γὰρ οὕτω μὴ θλιβῇς, ἀνάγκη θλιβῆναι πάντως ἑξέτερά σου ὑποθέσεως ἀκερδούς. κἂν γὰρ ὁ βάσκανος, καὶ ὁ χρημάτων ἐρῶν, καὶ ὁ πόρνης περικαιόμενος, καὶ ὁ κενόδοξος, καὶ τῶν ἄλλων ἕκαστος τῶν τὰ πονηρὰ σπιόντων, πολλάσ ἀθυμίας ὑπομένει, καὶ θλίψεις, καὶ τῶν πενθούντων οὐκ ἐλάττω θλίβεται. εἰ δὲ μὴ δακρύει μὴ δὲ πενθεῖ, δι' αἰχύνην, καὶ ἀναισθησίαν, ὡς εἶχε τὴν ψυχὴν αὐτῆς κατακόθοις, μυείων ὄφεων κυμάτων γέμουσαν. ὅταν οὖν κἂν θλῖψιν, καὶ ἐκεῖνον μείζοντες τὸν βίον ἀνάγκη θλίβεσθαι, διατὶ μὴ θλῖψιν αἱρούμεθα τὴν μετὰ θλίψεως μυείους φέροντα τεφανους, καὶ γὰρ τοὺς ἁγίους ἅπαντας οὕτως ἤγαγεν ὁ τῆς ἀγῆς θλίψεως, μὴ πενοχωρίασ. ὁμῶς μὲν ἐκείνους ὠφελῶν, ὁμῶς δὲ τοὺς λοιποὺς ἀσφαλιζόμενος, ὥστε μὴ μείζονα τῆς ἀξίασ πρὸς αὐτὸν δόξαν ἔχειν. οὕτω γὰρ καὶ εἰδωλολατρείαν τὴν ἀρχὴν ἐκράτησαν, τῶν ἀνθρώπων ὑπὲρ τὴν ἀξίαν θαυμαζομένων. οὕτως ἀλέξανδρον τρισκαιδέκατον, ἐνόμισαν εἶναι θεὸν ἡσύγκλητος ῥωμαίων. καὶ γὰρ αὖ τις τοιαύτην εἶχε τὴν ἀξίαν, χειροτονεῖν καὶ ἐγκείνειν θεούς. ὅτε γοῦν τὰ κατὰ χν̄ ἀπηγγέλη πάντα, ἔπεμψεν ὁ τῶν ἐθνους ἄρχων συνθανόμενος εἰ δοκεῖ αὐτοῖς, καὶ αὐτὸν χειροτονῆσαι θεόν. οἱ δὲ, οὐκ ἐπένευσαν, ὀργιζόμενοι, καὶ ἀγανακτοῦντες, ὅτι πρὸ τῆς αὐτῶν ψήφου, καὶ γνώμης ἡ δύναμις τοῦ πανυρωθέντος ἐκλάμψασα, εἰς τὸ οἰκεῖον ἐπεισάσατο σέβασ τὴν οἰκουμένην ἅπασαν. ἔδει δὲ ὠκονομεῖτο, καὶ ἀκόντων αὐτῶν, ὥστε μὴ ἐξ ἀνθρωπίνης ψήφου τὴν θεότητα ἀνακηρυχθῆναι τοῦ χριστοῦ, μὴ δὲ ἕνα τῶν πολλῶν αὐτὸν εἶναι νομισθῆναι τῶν ὑπ' ἐκείνων χειροτονηθέντων. καὶ γὰρ καὶ νύκτας, θεοὺς ἀνόμασαν, καὶ τὰ παιδικὰ τὰ ἀδριανοῦ, ὅθεν καὶ ἡ πόλις ἀντίνοος λέγεται. ἐπειδὴ γὰρ θανάτος κατεμαρτύρει τῆς θνητῆς φύσεως, ἐφεύρεν ὁ διάβολος ἑτέραν ὁδὸν τὴν τῆς ψυχῆς ἀθανασίαν. ἢ τὴν ὑπερ-

βάλλουσαν κολακείαν αὐαμίξασ, εἰς ἀσέβειαν πολλοὺς ἐξήγαγε. καὶ θέαν κακουργίαν. ὅταν μὲν ἡμεῖς εἰς δέον αὐτὴν παράγωμεν, ἀνατρέπει τὸν λόγον. ὅταν δὲ εἰς βλάβην αὐτὸς κατασκευάζειν βούληται, μετὰ πολλῆς αὐτὴν ἴσησι τῆς ωτυδῆς. καὶ ἂν εἴποι τις. πόθεν θεὸς ἀλέξανδρος; οὐχὶ τέθνηκε; καὶ ἀθλίως, ἀλλ' ἀθανάτος ἡ ψυχὴ φησι. ναὶ ὑπὲρ ἀθανασίας ποιῆ τὸν λόγον, καὶ φιλοσοφεῖς; ἵνα ἀποφήσης τὸ ὦὴ πάντων θεοῦ; ὅταν δὲ ἡμεῖς λέγωμεν ὅτι μέγιστον τοῦ θεοῦ τὸ δῶρον, τοὺς ταπεινοὺς, καὶ χαμαιπετεῖς καὶ τῶν ἀλόγων οὐδὲν ἄμεινον διακειμένους, ὡς ὑπατημένους πείθεις. καὶ ἂν εἴπωμεν, ὅτι ὁ ἐσταυρωμένος ζῇ, γέλως δὴ θεός. καίτοι τῆς οἰκουμένης βοώσης ἁπάσης, καὶ πάλαι, καὶ νεῶ. τότε μὲν ἀπὸ τῶν σημείων, νεῶ δὲ ἀπὸ τῶν ἐπιφερομένων. οὐ γὰρ δὴ νεκροῦ ζῶντα τὰ κατορθώματα. αὖ δὲ εἴποιτις, ὅτι ἀλέξανδρος ζῇ, πίστευεις. καίτοιγε οὐδὲν ἔχων σημεῖον εἰπεῖν. ναίφησι. πολλὰ γὰρ καὶ μεγάλα κατώρθωσε ζῶν. καὶ γὰρ καὶ ἔθνη, καὶ πόλεις ὑπέταξε, καὶ πολέμους πολλοὺς, καὶ μάχας ἐνίκησε, καὶ τρόπαια ἔστησεν. ἐὰν οὖν ἐγὼ δείξω, ὅπερ ἐκεῖνος ζῶν οὐκ ἐνενόησεν, οὐκ αὐτὸς, οὐκ ἄλλος ἀφ' ὧν τῶν ποτὲ γενομένων ἀνθρώπων, ποίαν ἑτέραν ζητεῖς ἀναστάσεως ἀπόδειξιν; τὸ μὲν γὰρ ζῶντα κατορθοῦν πολέμους, καὶ νίκας, βασιλέα ὄντα, καὶ στρατόπεδα ἔχοντα, θαυμαστὸν οὐδὲν, οὐδὲ παράδοξον, καὶ καινόν. τὸ δὲ μετὰ ταφὸν, καὶ τάφον, τοσαῦτα ἐργάσασθαι πανταχοῦ γῆς, καὶ θαλάττης, τοῦτο ἐστὶ τὸ μάλιστα πολλῆς ἐκπλήξεως γέμον, καὶ τὴν θείαν, καὶ ἀπόῤῥητον ἀνακηρύττον δύναμιν. ὁ μὲν ἀλέξανδρος μετὰ τὴν τελευτὴν αὐτοῦ, διασωθεῖσαν τὴν ἀρχὴν αὐτοῦ, καὶ τέλεον ἀφανισθεῖσαν, οὐκ ἐπανήγαγε. πῶς δὲ ἔμελλεν ὁ νεκρός; ὁ δὲ χς, τότε αὐτὴν μάλιστα ὅτε ἐτελεύτησε. καὶ τί λέγω περὶ τοῦ χριστοῦ; ὅπουγε καὶ τοῖς μαθηταῖς αὐτοῦ μετὰ τὸ τελευτῆσαι λαμπρὰν ἔδωκε; ποῦ γὰρ εἰσέτι τὸ σῆμα ἀλεξάνδρου; δεῖξόν μοι, καὶ εἰσὲ τὴν ἡμέραν καθ' ἣν ἐτελεύτησε. τῶν δὲ δούλων τοῦ χριστοῦ, καὶ τὰ σήματα λαμπρὰ τὴν βασιλικωτάτην καταλαβόντα πόλιν, καὶ ἡμέραι καταφανεῖς, ἐορτὴν τῇ οἰκουμένῃ ποιοῦσαι. καὶ τὸ μὲν ἐκείνου, καὶ οἱ οἰκεῖοι ἀγνοοῦσι, τὸ δὲ τούτου, καὶ οἱ βάρβαροι ἐπίστανται. καὶ οἱ τάφοι τῶν δούλων τοῦ σταυρωθέντος, λαμπρότεροι τῶν βασιλικῶν εἰσὶν αὐλῶν, οὐ τῷ μεγέθει, καὶ τῷ κάλλει τῶν οἰκοδομημάτων. (καὶ τούτῳ μὲν γὰρ κρατοῦσιν.) ἀλλ' ὁ πολλῷ πλέον ἐστὶ, τῇ ωφελίᾳ τῶν σωζόντων. καὶ γὰρ αὐτὸς ὁ τὴν ἁλουργίδα περικείμενος ἀπέχεται τὰ σήματα ἐκεῖνα περιῳδυζόμενος, καὶ ἐν τῷ φόνῳ ἀποθέμενος ἕστηκε δεόμενος τῶν ἁγίων, ὥστε αὐτὸ προσῆναι παρὰ τῷ θεῷ, καὶ τὸ σωποιοῦν, καὶ τὸ ἁλιέως προστατῶν. καὶ τετελευτηκότων δεῖται ὁ τὸ διάδημα ἔχων. τολμήσεις οὖν εἰπεῖν ἐμοὶ τὸν τούτων δεσπότην νεκρὸν εἶναι; οὗ οἱ οἰκέται, καὶ τετελευτηκότες προστάται τῶν τῆς οἰκουμένης βασιλέων εἰσί. καὶ τοῦτο οὐκ ἐν τῇ ῥώμῃ ἴδοις ἂν γινόμενον μόνον, ἀλλὰ καὶ ἐν τῇ κωνσταντίνου πόλει. καὶ γὰρ καὶ ἐνταῦθα, κωνσταντῖνον τὸν μέγαν μεγαλοπρεπῆ τιμὴν τιμῶν ἐνόμισαν ὁ σωτὴρ, εἰ τοῖς προθύροις κατάθοιτο τοῦ ἁλιέως. καὶ ὅπερ εἰσὶν οἱ θυλωροὶ τοῖς βασιλεῦσιν ἐν τοῖς βασιλείοις, τοῦτο ἐν τῷ σώματι οἱ βασιλεῖς τοῖς βασιλεῦσι. καὶ οἱ μὲν ὥσπερ δεσπόται τοῦ τόπου, ἔνδον κατέχουσιν, οἱ δὲ, ὡς πάροικοι, καὶ γείτονες ἠγάπησαν τὴν αὐλείαν αὐτοῖς ἀφορισθῆναι θύραν, ἀπὸ τῶν ἐνταῦθα, καὶ τοῖς ἀπίστοις ἐπιδεικνύντες, ὅτι πλείων ἐν τῇ ἀναστάσει ἡ ὑπεροχή ἐστι τοῖς ἁλιεῦσιν. εἰ γὰρ ἐν-

ταῦθα

τῶν δὲ οὕτως ἐν τοῖς τάφοις, πολλῷ μᾶλλον ἐν τῇ ἀναστάσει· καὶ οὐ πάλλακται ἡ τάξις, οἱ μὲν βασιλεῖς οἰκετῶν ὑπηρετῶν, οἱ δὲ ἀρχόμενοι βασιλέων τὴν ἀξίαν περίκεινται, μᾶλλον δὲ καὶ λαμπροτέραν· καὶ ὅπου οὐκ οἰκεία τὸ πρᾶγμα, οὐ τὴ δείκνυσιν ἡ ἀλήθεια· ἀπὸ γὰρ ἐκείνων, καὶ οὗτοι λαμπρότεροι γεγόνασι· πολὺ γὰρ τῶν ἄλλων τάφων τῶν βασιλικῶν, τὰ σήματα ταῦτα σεμνότερα· ἐκεῖ μὲν γὰρ πολλὴ ἡ ἐρημία, ἐνταῦθα δὲ πολλὴ ἡ πανήγυρις· εἰ δὲ βούλει, καὶ τοῖς βασιλικοῖς παραβαλεῖν αὐλαῖς τοὺς τάφους τούτους, πάλιν ἐνταῦθα τὰ νικητήρια· ἐκεῖ μὲν γὰρ πολλοὶ οἱ σῳζόμενοι, ἐνταῦθα δὲ πολλαὶ οἱ καλούμενοι, καὶ ἁρπαζόμενοι πλουσίους, πένητας, ἀνδράσι, γυναῖκας, δούλους, ἐλευθέρους· ἐκεῖ πολὺς ὁ φόβος, ἐνταῦθα ἄφατος ἡ ἡδονή· ἀλλὰ γλυκὺ θέαμα χρυσοφορούμενα βασιλέα καὶ ἐστεφανωμένον ἰδεῖν, καὶ παρεστῶτας στρατηγούς, ἄρχοντας, ταξιάρχους, φυλάρχους, ὑπάρχους· ἀλλὰ τὰ ἐνταῦθα τοσούτῳ σεμνότερα, καὶ φιλοσοφώτερα, ὡς ἐκεῖνα σκιαμαχίαν εἶναι, καὶ παιδιὰν νομίσαι πρὸς ταῦτα· ἅμα γὰρ ὑπέρθρου τῶν οὐδῶν, καὶ πρὸς τὸν οὐρανὸν ὁ τόπος τὴν διανοίαν παρέπεμψε, πρὸς τὸν ἄνω βασιλέα, πρὸς τὸ φρικτὸν τὸ τῶν ἀγγέλων, πρὸς τὸν θρόνον τὸν ὑψηλόν, πρὸς τὴν δόξαν τὴν ἀπρόσιτον· καὶ ἐνταῦθα μὲν ὑποτάξειν ἄρχοντι τῶν ὑποκειμένων, τὸν μὲν λῦσαι, τὸν δὲ δῆσαι, τὰ δὲ ὀφθῆναι τῶν ἀγίων οὐ ζωὴν ἔχει τὴν ἐξουσίαν τὴν οἰκτράν, καὶ ταπεινήν, ἀλλ' ἐκείνην τὴν πολλῷ μείζονα· δαίμονας γὰρ παίειν, καὶ βασανίζειν, καὶ τῶν δεσμῶν ἐκείνων τῶν πικροτάτων ἀπολύειν τοὺς δεδεμένους· τί φοβερώτερον τοῦ δικαστηρίου τούτου; οὐδενὸς ὁρωμένου, οὐδενὸς ἐπικειμένου ταῖς πλευραῖς τοῦ δαίμονος φωναὶ καὶ ταραγμοί, μάστιγες, βάσανοι, τοῦ δαίμονος οὐ φέροντος τὴν ἀνυμαχητὶ δύναμιν ἐκείνην· καὶ οἱ τὰ σώματα φορέσαντες, τῶν ἀσωμάτων κρατοῦσι δυνάμεων· ἡνίκα, καὶ τὰ ὀφθῆ, καὶ ἡ πέφρα, τοὺς ἀοράτους ἐκείνους διαξαίνει φύσεις· ἀλλὰ δὴ λέγε, ὑπὲρ μὲν τοῦ βασιλικοὺς ἰδεῖν αὐλοὺς, οὐδεὶς αὖ ποτε ἀποδημήσειε· βασιλεῖς δὲ πολλοὶ πολλάκις ἀποδεδήμηκασι ζωῆς ἕνεκεν τῆς θεωρίας· τῆς γὰρ μελλούσης κρίσεως ἴχνη καὶ σύμβολα τὰ μαρτύρια τῶν ἁγίων παρέχεται, δαιμόνων μαστιζομένων, ἀνθρώπων κολαζομένων, καὶ ἐλευθερουμένων· εἶδες τῶν ἁγίων τὴν δύναμιν, καὶ τετελευτηκότων, εἶδες τῶν ἁμαρτωλῶν τὴν ἀσθένειαν, καὶ ζώντων· φύγε τοίνυν τὴν κακίαν, ἵνα κρατῇς τῶν τοιούτων· καὶ δίωκε μετὰ σπουδῆς ἀπάσης τὴν ἀρετήν· εἰ γὰρ τὰ ἐνταῦθα τοιαῦτα, ἐννόησον ἡλίκα τὰ μέλλοντα, καὶ τῷ ἔρωτι τούτῳ διηνεκῶς κατεχόμενος ἐπιλαμβάνου τῆς αἰωνίου ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, κζ'.

» Γέρων ἄφρων καυχώμενος, ὑμεῖς με ἠναγκάσατε· ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν σιωπᾶσθαι.
Α' παρθένος τὸν περὶ τῶν οἰκείων ἐγκωμίων λόγον, οὐκέτι μέχρι τούτου, ἀλλὰ ἀπολογεῖται πάλιν, καὶ συγγώμην ὑπὲρ τῶν εἰρημένων αἰτεῖ, ἀναγκαίως εἶναι λέγων τὸ πρᾶγμα, οὐ προαιρέσεως· ἀλλ' ὅμως καὶ ἀναγκαίως οὔσης, ἄφρονα ἑαυτὸν καλεῖ· ἀρχόμενος μὲν οὖν ἔλεγεν· ὡς ἄφρονα δέξασθέ με, καὶ ὡς ἐν ἀφροσύνῃ· νυνὶ δὲ τὸ, ὡς, ἀνελών, ἄφρονα ἑαυτὸν καλεῖ· μετὰ γὰρ τὸ κατασιγάσαι ἅπερ ἤθελε, θαρρῶν λοιπὸν, καὶ ἀφειδῶς ἐπιλαμβάνεται τοῦ πλούτου ἐλαττώμασι, πάσι δεύων ἅπαντας, μηδέποτε ἀναγκαίως οὔσης, ἑαυτὸν ἐγκωμιάζειν, ὅπου γε καὶ αὐτίκα ὑποκειμένης, ἄφρονα ἑαυτὸν ὁ παῦλος ὠνόμασεν· εἰ-

τα, καὶ τὴν αὐτίαν τῶν εἰρημένων, οὐκέτι τοὺς ψευδαποστόλους, ἀλλ' ἔτι τοὺς μαθητὰς ἅπασαν περιτρέπει. ὑμεῖς γάρ φησιν ἠναγκάσατε. εἰ μὲν γὰρ ἐκαυχῶντο, καὶ μὴ μετὰ τῆς ὑμετέρας ἔδει σπουδῆς, μὴ δὲ ὑμᾶς ἀπώλλυον, οὐκ ἂν οὕτως προὐχώρησεν εἰς τοὺς ἐμοὺς ἐπαινεθῆναι τοὺς λόγους. ἐπειδὴ δὲ ὁλόκληρον ἐκκλησίαν διέφθειρον, πρὸς τὸ συμφέρον ὑμῖν ὁρῶν, ἠναγκάσθην ἄφρων γενέσθαι. καὶ οὐκ εἶπεν. ἔδει γὰρ μὴ τὰ πρωτεῖα παρ' ὑμῶν ἐνεγκάμενοι, τὰ παρ' ἑαυτῶν κατασείρωσιν, ἀλλὰ ἔτι μὴν οὖν ἀνωτέρω τέθεικεν εἰπών, φοβοῦμαι ὡς ὄφις Εὔαν ἠπάτησεν, οὕτω φθαρεῖ τὰ νοήματα ὑμῶν. ἐντεῦθεν οὐχ οὕτως. ἀλλὰ αὐθεντικώτερον, καὶ μετὰ πλείονος ἐξουσίας, ἔχων ἐκτῶν εἰρημένων τὴν παῤῥησίαν. ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν νουθετεῖσθαι. εἶτα καὶ τὴν αὐτίαν τίθησιν. οὐ λέγει πάλιν τὰς ἀποκαλύψεις οὐδὲ τὰ σημεῖα μόνον, ἀλλὰ καὶ τοὺς πειρασμούς. » Οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων. Ὅρα πῶς πάλιν, καὶ ἐντεῦθεν αὐθεντικώτερον φθέγγεται. ἔμπροσθεν μὲν γὰρ ἔλεγε. λογίζομαι μηδὲν ὑστερῆσαι. ἐντεῦθεν δὲ ἀποφαντικῶς οὕτως ὅπερ εἶπον μετὰ τὰς ἀποδείξεις θαῤῥῶν φθέγγεται λοιπόν. οὐ μὴν δὲ οὕτως ἀφίσταται τοῦ μέτρου, οὐδὲ τοῦ οἰκείου ἤθους. ὥσπερ γὰρ μέγα πεῖρημα, καὶ τὴν αὐτίαν ὑπερβαίνον τὴν αὐτοῦ, ὅτι μετὰ τῶν ἀποστόλων ἑαυτὸν ἠ- » ρίθμησεν, οὕτω μετριάζει πάλιν, καὶ ἐπάγει λέγων. Εἰ καὶ οὐδέν εἰμι, τὰ σημεῖα τοῦ » ἀποστόλου κατειργάσθη ἐν ὑμῖν. Μὴ γοῦν ἴδῃς φησὶν, εἰ βυτελὴς ἐγὼ καὶ μικρὸς, ἀλλ' εἰ μὴ τούτων ἀπήλαυσας ὧν παρ' ἀποστόλου ἀπολαῦσαι ἐχρῆν. καὶ οὐκ εἶπεν βυτελὴς, ἀλλ' ὃ κατώτερον ἦν, οὐδέν. τί γὰρ ὄφελος μέγα εἶναι, καὶ μηδένα ὠφελεῖν; ὥσπερ οὖν οὐδὲ ἰατροῦ κέρδος ἐμπείρου μηδένα τῶν κάμνοντων ἰωμένου. μὴ τοίνυν φησὶ νῦν ἐξέταζε ὅπου οὐδὲν ἐγὼ, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι ἐν οἷς ὑμᾶς βυπαθεῖν ἔδει, οὐδὲν ὑστέρησα, ἀλλ' ἐγὼ τὴν πεῖραν ἔδωκα τῆς ἐμῆς ἀποστολῆς. οὐ τοίνυν ἔδει λόγων τῶν παρ' ἐμοῦ. ταῦτα δὲ ἔλεγεν, οὐ τοῦ σωίζεσθαι χρῄζων. πῶς γὰρ ὁ καὶ τὸν οὐρανὸν μικρὸν ἡγούμενος πρὸς τὸν τοῦ χριστοῦ πόθον, ἀλλὰ τῆς σωτηρίας τῆς ἐκείνων ἐφιέμενος. εἶτα ἵνα μὴ λέγωσι, καὶ » τί πρὸς ἡμᾶς εἰ μηδὲν ὑστέρησας τῶν ὑπερλίαν ἀποστόλων; διὰ τοῦτο ἐπήγαγεν. Ὅτι ἐν » ὑμῖν κατειργάσθη τὰ σημεῖα τοῦ ἀποστόλου ἐν πάσῃ ὑπομονῇ, καὶ σημείοις, καὶ τέρασι. Βαβαὶ πηλίκον τέλαγος κατορθωμάτων ἐν ὀλίγοις ῥήμασι παρέδραμε. καὶ θέα ποῖον πρῶτον τίθησι, τὴν ὑπομονήν. ἔδει γὰρ ἀποστόλου δεῖγμα τὸ φέρειν πάντα γενναίως. τοῦτο μὲν γὰρ ἐν βραχεῖ καὶ μικρῷ λέξεως. τὸ δὲ τῶν σημείων ἅπερ οὐκ ἐν αὐτοῖς κατορθώματα, καὶ πλειόνων. ἐννόησον γὰρ πόσα δεσμωτήρια, πόσας πληγάς, πόσους κινδύνους, πόσας ἐπιβουλάς, πόσας νικάδας πειρασμῶν ἐντεῦθεν ἠνέξατο, πόσους πολέμους ἐμφυλίους, ἐξωθεν, πόσας ὁδοιπορίας, πόσας προσβολάς, καὶ τοῦ ὀνόματος τῆς ὑπομονῆς. καὶ τῶν σημείων πάλιν, πόσους νεκροὺς ἐγερθέντας, πόσους τυφλοὺς ἀναβλεψθέντας, πόσους λεπροὺς καθαρισθέντας, πόσους δαίμονας ἐλασθέντας. ταῦτα ἀκούοντες, μανθάνωμεν, εἰ εἰς ἀνάγκην ἐμπέσωμεν τοιούτων δεινῶν, σωτήριον ἡμῖν τὰ κατορθώματα. ὃ καὶ αὐτὸς ἐποίησεν. εἶτα ἵνα μὴ λέγωσί τινες. εἰ γὰρ καὶ μέγας, καὶ πολλὰ εἰρ- » γάσω, ἀλλ' οὐ τοσαῦτα ὅσα ἐν ταῖς λοιπαῖς ἐκκλησίαις οἱ ἀπόστολοι, ἐπήγαγε. Τί » γὰρ ὄφελος ὧν ἠνέσχεσθε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; Οὐκ ἐλάττονος φησι μετέσχετε χαρί-

τος τῶν

τος τῶν πολλῶν. ἀλλ' ἴσως εἴποιτις ἄν, τί δήποτε πρὸς τοὺς ἀποστόλους πρέπει τὸν λόγον, τὴν πρὸς τοὺς ψευδαποστόλους μάχην ἀφείς; ἐκπεριουσίασαι ἀναφῆσαι βουλόμενος αὐτῶν τὰ φρονήματα, καὶ δεῖξαι, ὅτι οὐ μόνον ἐκείνων βελτίω, ἀλλ' οὐδὲ τῶν μεγάλων ἀποστόλων ἐλάττω. διάφορι γάρ, ὅταν μὲν περὶ ἐκείνων διαλέγηται, φησίν. ὑπὲρ ἐγώ. ὅταν δὲ πρὸς τοὺς ἀποστόλους ἑαυτὸν παραβάλλη, ἀγαπητὸν εἶναι φησὶ τὸ μὴ ὑστερηκέναι. καίτοι γε πλεῖον αὐτῶν κοπιάσας. δείκνυσι δὲ ἐντεῦθεν, ὅτι καὶ ἐκείνους ὑβρίζουσιν, ὅταν τὸν ἴσον
» αὐτῶν ἐν δευτέρῳ τούτων ἔχωσιν. Εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν. Μετὰ
» πολλῆς πάλιν βαρύτητος ἔθηκε τὴν ἐπίπληξιν, καὶ τὸ ἐξῆς, φορτικώτερον. Χαρίσα-
» σθέ μοι τὴν ἀδικίαν ταύτην. Ἀλλ' ὅμως ἡ βαρύτης, καὶ ἀγάπης ῥήματα, καὶ ἐγκώμιον ἐκείνων ἔχει. εἶγε ἀδικίαν οἰκίαν εἶναι νομίζουσι τὸ μὴ κατασχεθῆναι τὸν ἀπόστολον λαβεῖν τι παρ' αὐτῶν, μὴ δὲ θαρρῆσαι προφῶναι ἐνθεν. εἰ δὲ φῂ ἐγκαλεῖτε. οὐκ εἴωθεν ὅτι καλῶς ἐγκαλεῖτε, ἀλλὰ μετὰ πολλῆς τῆς γλυκύτητος, συγγνώμην αἰτῶ χαρίσασθέ μοι τοῦτο τὸ ἁμάρτημα. καὶ θέα τὴν σύνεσιν. Ἐπειδὴ γὰρ συνεχῶς δεῦρο φερόμενον ὄνειδος αὐτοῖς ἔφερε, συνεχῶς αὐτὸ παραμυθεῖται. ἀνωτέρω μὲν γὰρ λέγων, ὅτι ἐστὶν ἀλήθεια χριστοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχησίς μου οὐ φραγήσεται αὕτη. εἶτα πάλιν, ὅτι οὐκ ἀγαπῶ ὑμᾶς οἶδεν ὁ θεὸς, ἀλλ' ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν, καὶ ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. καὶ ἐν τῇ προτέρᾳ. τίς οἶδεν ἐστὶν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀβάπανον θήσω τὸ εὐαγγέλιον. καὶ ἐνταῦθα. χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. πανταχοῦ γὰρ φεύγει τὸ δεῖξαι, ὅτι διὰ τὴν ἀσθένειαν αὐτῶν οὐ λαμβάνει. διὸ καὶ οὕτως φησίν. εἰ δὲ πλημμέλημα ἐποιήσατε, συγγνώμην αἰτῶ. ταῦτα δὲ ἔλεγε, καὶ πλήττων, καὶ θεραπεύων. μὴ γὰρ δὴ δεῦρο εἴπῃς. εἰ πλῆξαι θέλεις, τί ἀπολογῇ, τί πλήττεις; δεῦρο γὰρ συμπαθείας ἐστὶ, καὶ κατατέμνειν, καὶ ἐπιδεσμεῖν τὸ ἕλκος. εἶτα ἵνα μὴ δόξῃ, ὅπερ καὶ ἔμπροσθεν ἔλεγον, συνεχῶς αὐτὸ φρέφειν ὑπὲρ τοῦ λαβεῖν, θεραπεύει μὲν αὐτὸ, καὶ ἐν τῇ προτέρᾳ λέγων. οὐκ ἔγραψα δὲ ἵνα οὕτως γένηται ἐν ἐμοὶ. καλὸν γάρ μοι ἀποθανεῖν ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. γλυκύτερον δὲ ἐνταῦθα, καὶ προσηνέστερον. πῶς καὶ
» τίνι τρόπῳ; Ἰδοὺ τρίτον δεῦρο ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω
» ὑμῶν. οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς. οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν,
» ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις. Ὃ δὲ λέγω, δεῦρο ἐστίν. οὐκέτι σπεύδω μὴ λαμβάνω, διατοῦτο οὐ παραγίνομαι, ἀλλὰ καὶ δεύτερον παρεγενόμην, καὶ τρίτον δεῦρο παρεσκεύασμαι ἐλθεῖν, καὶ οὐ καταναρκήσω ὑμῶν. καὶ ἡ αἰτία, σεμνή. οὐ γὰρ εἶπεν ἐπειδὴ μικρολόγοι, ἐπειδὴ πλήττεσθε, ἐπειδὴ ἀσθενεῖτε. ἀλλὰ τί; οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς. μείζονα ἐπιζητῶ, ψυχὰς ἀντὶ χρημάτων, σωτηρίαν ἀντὶ χρυσίου. εἶτα ἐπειδὴ ὑποψίαν εἶχεν ἐπὶ τὸ πρᾶγμα, ὡς ἀλογιῶτος αὐτοῦ πρὸς αὐτοὺς, διὰ δεῦρο καὶ λογισμὸν τίθησιν. ἐπειδὴ γὰρ εἰκὸς ἦν εἰπεῖν αὐτούς. οὐ γὰρ ἔξεστι, καὶ ἡμᾶς ἔχειν, καὶ τὰ ἡμῶν, ἐπάγει μετὰ πολλῆς τῆς χάριτος τὴν ἀπολογίαν λέγων. οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις, ἀντὶ τῶν διδασκάλων, καὶ τῶν μαθητῶν, τοὺς γονέας, καὶ τὰ τέκνα ζηλοῦς, καὶ δείξας, ὅτι ὀφειλῆς πρᾶγμα ποιεῖ, ὅπερ οὐκ ἦν ὀφειλῆς. οὐ γὰρ οὕτω προσέταξεν ὁ χς, ἀλλ' ἐκείνων φειδόμενος, ταῦτα λέγει. διὸ καὶ πλέον τι προστίθησιν. οὐ

γὰρ εἶπε μόνον, ὅτι οὐκ ὀφείλει τὰ τέκνα θησαυρίζειν, ἀλλ' ὅτι καὶ ὀφείλουσιν οἱ γονεῖς τοῦτο ποιεῖν. οὐκοῦν ἐπειδὴ δοῦναι δεῖ, ἐγὼ ἤδη τὰ δαπανήσω, καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν. τοὺς μὲν γὰρ γονέας θησαυρίζειν ἐκέλευσε τοῖς τέκνοις ὁ νόμος τῆς φύσεως, ἐγὼ δὲ οὐ τοῦτο ποιῶ μόνον, ἀλλὰ καὶ ἐμαυτὸν προσδίδωμι. καὶ αὕτη ἡ ὑπερβολή, τὸ μὴ μόνον λαμβάνειν, ἀλλὰ καὶ προσδίδόναι, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς φιλοτιμίας, καὶ ἐκ τοῦ ὑστερήματος. τὸ γὰρ ἐκδαπανηθήσομαι, τοῦτό ἐστιν ἀντὶ τομένου. κἂν γὰρ αὐτῶν δέῃ τῶν σαρκὸς ἀναλῶσαι, οὐ φείσομαι διὰ τῶν σωτηρίαν ὑμῶν. καὶ τὸ ἐπαγόμενον, μετ' ἐγκλήματος ὁμοῦ, καὶ ἀγάπης, εἰ καὶ περισσοτέρως ὑμῶν ἀγαπῶν, ἧττον ἀγαπῶμαι. καὶ ταῦτα ποιῶ φησιν ὑπὲρ τῶν φιλουμένων, καὶ οὐ φιλούντων ὁμοίως. σπόρτει τοίνυν λοιπὸν πόσους ἔχει τὸ πρᾶγμα βαθμούς. ἔδει λαμβάνειν, οὐκ ἐδίδου. καὶ ὑστερούμενος, δεύτερον. καὶ οὐκ εἰς κηρύττων, τρίτον. καὶ προσδίδωσι, τέταρτον. καὶ οὐχ ἁπλῶς προσδίδωσιν, ἀλλὰ καὶ μετὰ σπουδῆς, πέμπτον. καὶ οὐ χρήματα μόνον, ἀλλὰ καὶ ἑαυτόν, ἕκτον. καὶ ὑπὲρ τῶν μὴ σφόδρα φιλούντων αὐτόν, ἕβδομον. καὶ ὑπὲρ τῶν σφόδρα φιλουμένων, ὄγδοον.

Η' Στιχ.

Τοῦτον δὴ, καὶ ἡμεῖς ζηλώσωμεν. μέγα μὲν γὰρ ἔγκλημα, καὶ τὸ φιλεῖν, καὶ τὸ μὴ φιλεῖν. μεῖζον δὲ γίνεται, ὅταν καὶ φιλούμενός τις μὴ φιλῇ. εἰ γὰρ ὁ τὸν φιλοῦντα φιλῶν οὐδὲν πλέον ἔχει τῶν τελωνῶν, ὁ μὴ τοῦτο ἔχων καὶ τῶν θηρίων ἐλαττονήσει. τί λέγεις αὐθρωπε; οὐ φιλεῖς τὸν φιλοῦντα; καὶ τίνος ἕνεκεν ζῇς; ποῦ δὲ χρήσιμος ἔσῃ λοιπόν; ἐν ποίοις πράγμασιν; ἐν πολιτικοῖς; ἐν ἰδιωτικοῖς; οὐδαμῶς οὐδέν. ἀχρηστότερον ἀνθρώπου οὐκ εἰδότος φιλεῖν. τοῦτον καὶ λῃσταὶ πολλάκις τὸν νόμον ἐτήρησαν, καὶ ἀνδροφόνοι, καὶ τοιχωρύχοι. ἡλάλων κοινωνήσαντες μόνον μετετάξαντο, τῇ πραότητι τὸν τρόπον μεταβαλόντες. σὺ δὲ οὐχ ἁλῶν μόνον, ἀλλὰ καὶ ῥημάτων, καὶ πραγμάτων κοινωνῶν, καὶ εἰσόδων, καὶ ἐξόδων οὐ φιλεῖς; ἀλλ' οἱ μὲν αἰσχρῶς ἐρῶντες, καὶ ὁλοκλήρους δαπανῶσιν οὐσίας εἰς τὰς πορνευομένας γυναῖκας. σὺ δὲ σεμνὸν ἔχων ἔρωτα, οὕτως εἶ ψυχρὸς, καὶ ἀσθενὴς, καὶ ἀνανδρος, ὡς μὴ δὲ χωρεῖς δαπάνης κατασχεθῆναι φιλῶν, καὶ τίς φησιν οὕτως ἔσται ἄθλιος; τίς δὲ οὕτω θηρίον ὡς τὸν φιλοῦντα ἀποφρέφεσθαι, καὶ μισεῖν; σὺ μὲν καλῶς ποιεῖς ἀπιστῶν διὰ τὴν τοῦ πράγματος ἀτοπίαν, ἐγὼ δὲ αὖ δείξω πολλοὺς τοιούτους, πῶς οἴσομεν λοιπὸν τὴν αἰσχύνην; ὅταν γὰρ κακῶς ἀγορεύῃς τὸν φιλούμενον, ὅταν ἀκούων κακῶς ἑτέρου λέγοντος μὴ ἀμύνῃς, ὅταν δυσκολωμῶται φθονῇς, ποία αὕτη ἀγάπη; καίτοιγε φιλίαν οὐδὲ τοῦτο ἀρκεῖ δεῖξαι τὸ μὴ φθονεῖν. ὥσπερ οὖν οὐδὲ τὸ μὴ ἐχθραίνειν, οὐδὲ τὸ πολεμεῖν, ἀλλὰ καὶ συγκροτεῖν, καὶ αὔξειν τὸν φιλοῦντα. ὅταν δὲ πάντα ποιῇ, καὶ λέγῃ, ὥστε καὶ καθελεῖν τὸν πλησίον, τί τούτης ἀθλιώτερον τῆς ψυχῆς; χθὲς καὶ πρώην φίλος, καὶ λόγων ἐκοινώνει, καὶ πραπέζης, εἶτα ἀθρόον ἐπειδὴ δυσκολωμῶται εἶδες τὸ μέλος τὸ σὸν, ῥίψας τὸ τῆς φιλίας προσωπεῖον, τὸ τῆς ἐχθρας ὑπέδυς. μᾶλλον δὲ τὸ τῆς μανίας. μανία γὰρ περιφανὴς τῶν τῶν πλησίον δάκνεσθαι καλοῖς. τοῦτο γὰρ μαινομένων ἐστὶ, καὶ λυττώντων κυνῶν. κατὰ γὰρ ἐκείνους, εἰς τὰς ἁπάντων πηδῶσιν ὄψεις, καὶ οὗτοι, τῇ βασκανίᾳ παροξυνόμενοι. βέλτιον ὄφιν ἔχειν τῆς ὠλαγχνοις ἐγκαλινδούμενον, ἢ βασκανίαν ἔνδον συρομένην.

συρομένῳ. ἐκεῖνον γὰρ καὶ ἐμέσαι πολλάκις ἔνι διὰ φαρμάκων, καὶ διὰ τροφῆς παραμυθήσασθαι. ὁ δὲ φθόνος, οὐκέν ωλάγχνοις καλινδεῖται, ἀλλὰ τῷ πόλτῳ φρέφεται τῆς ψυχῆς, καὶ δυσεξάλειωτόν ὅτι πάθος. καὶ ὁ μὲν ὄφις ἔνδον ὢν, οὐκ ἂν ἄψαιτο σωμάτων ἀνθρωπίνων, τροφῆς παρακειμένης. ὁ δὲ φθόνος κἂν μυείαν παραλῆς αὐτῷ πράωτερον, αὐτὴν καταθύει τὴν ψυχήν, δάκνων πάντοθεν, ωαράπτων, ἕλκων, καὶ οὐκ ὄθεν αὐτῷ τινὰ παραμυθίαν εὑρεῖν, δι' ἧς ἀποφήσεται τῆς μανίας, ἀλλ' ἢ μίαν μόνον, τὴν τοῦ εὐημερουῦτος δυσπραγίαν. οὕτως ἀνίεται. μᾶλλον δὲ οὐδὲ οὕτως. κἂν γὰρ οὗτος πάθη κακῶς, ἕτερον ὁρῶν εὐημερουῦτα, ταῖς αὐταῖς ὀδύναις ἐνέχεται, καὶ παντοχοῦ πραύματα, καὶ παντοχοῦ πληγαί. οὐδὲ γὰρ ὄθι φρεφόμενον ὑπὸ γῆς μὴ ὁραῶ εὐδαιμοῦντας. καὶ τοσαύτη τοῦ νοσήματος ἡ ὑπερβολή, ὅτι κἂν οἶκοι τις αὐτὸν κατακλείσῃ, τοῖς παλαιοῖς αὐθράσι φθονεῖ τοῖς τετελευτηκόσι. καὶ τὸ μὲν βιωτικοὺς ἀνθρώπους ταῦτα πάσχειν, χαλεπὸν μὲν, πλὴν οὐχ οὕτω δεινὸν ὅσω μᾶλλον λέγειν οἷον δὴ ὅλον. τὸ δὲ καὶ τοὺς τῶν ἐν μέσῳ θορύβων ἀπηλλαγμένους ἔχεσθαι τοῦ νοσήματος, αὐτὸ ὅλον πάντων χαλεπώτερον. καὶ ἠβουλόμην μὲν σιγᾶν, ἀλλ' εἰ μὲν ἡ σιγὴ, καὶ τὴν ἀπὸ τῶν πραγμάτων αἰσχύνην ἀφήρει, κέρδος ἦν τὸ μηδὲν εἰπεῖν, εἰ δὲ κἂν ἐγὼ σιωπήσω τὰ πράγματα βοήσεται σφοδρότερον τῆς ἐμῆς γλώττης, ὀλάβρι μὲν οὐδεμία ἀπὸ τῶν ἐμῶν ἔσται ῥημάτων, ὡς ἐκπομπευομένων δὲ ἡμῶν τῶν κακῶν, κέρδος ἴσως, καὶ ὠφέλεια τις. πυρὶ γὰρ τὸ νόσημα, καὶ τῆς ἐκκλησίασόν ἥψατο, καὶ ὅλον πάντα αὖω, καὶ κάτω τεποίηκε, καὶ τοῦ σώματος διέχισε τὴν ἀκολουθίαν, καὶ κατ' ἀλλήλων ἱστάμεθα, τοῦ φθόνου καθ' ἡμῶν πλίζοντος ἡμᾶς. διαβολὴ πολλὴ ἡ διαφθορά. εἰ γὰρ πάντων οἰκοδομούντων ἀγαπητὸν ἦναι τοὺς διδασκομένους, ὅταν ἅπαντες καθαιρῶμεν, τί ἔσται τὸ κέρδος; τί ποιεῖς ἀνθρωπε; οὐχ ὁρᾶς τοὺς οἰκοδόμους, τοὺς μηπόνους, πῶς ἅπαντες εἰς ἓν τρέχουσιν; ὁ μὲν, διέσκαψεν, ὁ δὲ, ἐφύτευσεν, ὁ δὲ, περιέφειλε τὴν ῥίζαν, ἄλλος ἀρδεύει τὸ φυτευθὲν, ἄλλος περιφράττει, καὶ τειχίζει, ἄλλος ἀποσοβεῖ τὰ θρέμματα. καὶ πάντες εἰς ἓν βλέπουσι τὸ φυτὸν τὴν σωτηρίαν, ἐνταῦθα δὲ οὐχ οὕτως. ἀλλὰ φυτεύω μὲν ἐγὼ, σαλεύει δὲ ἄλλος, καὶ διασείει. ἔασον κἂν, παγῆναι καλῶς, ἵνα ἰσχυρότερον γένηται τῆς ἐπιβουλῆς. οὐ τὸ ἐμὸν ἀναιρεῖς ἔργον, ἀλλὰ τὸν καταλύεις. ἐγὼ ἐφύτευσα, σὲ ἔδει ποτίσαι. αὖ τοίνυν σαλεύσῃς, τὴν ῥίζαν ἀνέσασας, καὶ οὐκέχεις οὗ τὴν ἀρδείαν ἐπιδείξῃ. ἀλλ' ὁρᾶς δυσημεροῦντα τὸν φυτεύοντα; μὴ φοβοῦ, οὔτε ἐγὼ πείθομαι, οὔτε σύ. οὔτε γὰρ ὁ φυτεύων, οὔτε ὁ ποτίζων ἐπί τινος ὅτι τὸ ἔργον τοῦ θεοῦ. ὥστε ἐκείνῳ μάχη, καὶ πολεμεῖς, τὰ φυτευθέντα ἀναιρῶν. ἀνανήψωμεν τοίνυν ποτὲ, γρηγορήσωμεν. οὐ δέδοικα τὸν ἔξω πόλεμον ὡς τὴν ἔνδον μάχην, ἐπεὶ καὶ ῥίζα, ὅταν ᾖ καλῶς ἡρμοσμένη τῇ γῇ, οὐδὲν πείσεται ἀπὸ τῶν ἀνέμων, αὖ δὲ αὖ τὴ σαλεύηται σκώληκος διατρώγοντος αὐτὴν ἔνδοθεν, καὶ μηδενὸς ἐνοχλοῦντος πεσεῖται. μέχρι τίνος διατρώγομεν τῆς ἐκκλησίασ τὴν ῥίζαν, σκωλήκων δίκην; καὶ γὰρ ἀπὸ γῆς οἱ τοιοῦτοι τίκτονται διαβόλοι. μᾶλλον δὲ οὐδὲ ἀπὸ γῆς, ἀλλ' ἀπὸ πόθου, τὴν σπερδόνα μητέρα ἔχουσαι. καὶ οὐκ ἀφίστανται τῆς κατασύρτου θεραπείας τῆς παρὰ τῶν γυναικῶν. γενώμεθα ποτὲ ἄνδρες γενναῖοι, ἀπελάσωμεν τὴν πολλὴν τῶν κακῶν τούτων φορυτόν. καὶ γὰρ ὥσπερ σῶμα νεκρὸν τῆς ἐκκλησίασ ὁρῶ τὸ πλῆθος

ἐῤῥιμμένον νῶν· καὶ καθάπερ ἂν σώματι νεκρωθέντι προσφάτως ἑνὶ μὲν ὀφθαλμοὺς ἰδεῖν, ἑνὶ δὲ χεῖρας, καὶ πόδας, καὶ τράχηλον, καὶ κεφαλὴν, οὐδὲν δὲ τῶν μελῶν τὰ ἑαυτοῦ ποιοῦσι, οὕτω δὴ καὶ ἐν τούτοις ἔσται· πάντες πιστοὶ οἱ παρόντες, ἀλλ' οὐκ ἔστιν ἡ πίστις ἐνεργής· τὴν γὰρ δεξιὰν πίστιν ἐσβέσαμεν, καὶ τοῦ χριστοῦ τὸ σῶμα νεκρὸν εἰργασάμεθα· εἰ δὲ φεικτὸν τὸ εἰρημένον, πολλῷ φεικωδέστερον, ὅταν ἐπὶ τῶν ἔργων φανῇται· τὰ μὲν γὰρ ὀνόματα, ἀδελφῶν ἔχομεν, τὰ δὲ πράγματα, πολεμίων· καὶ μέλη καλούμενοι πάντες, καθάπερ θηρία διεφθείραμεν· ταῦτα, οὐκ ἐμπομπεύσαι βουλόμενος τὰ ἡμέτερα, εἶπον, ἀλλ' ἐντρέψαι καὶ ἀποσῆσαι· ὁ δεῖνα εἰσῆλθεν εἰς οἰκίαν, ἀπήλασε τὰμῆς· δέον λυπεῖσθαι τῷ θεῷ, ὅπερ μέλος τὰμᾶται τὸ σὸν, καὶ ὁ θεὸς δοξάζεται, σὺ δὲ τοὐναντίον ποιεῖς· λέγεις κακῶς πρὸς τὸν τεθνηκότα, ὥστε ἀμφοτέρους ὑποσκελίσαι, καὶ σεαυτὸν προσκαταισχῦναι· τίνος ἕνεκεν ἄθλιε, καὶ ταλαίπωρε ἤκουσας ἀδελφοῦ ἐγκωμιαζομένου, ἢ παρὰ ἀνδράσιν, ἢ παρὰ γυναιξὶ, καὶ ἐλυπήθης; πρόθες τοῖς ἐπαίνοις· οὕτω καὶ σαυτὸν ἐπαινέσῃ· ἐὰν δὲ καθέλῃς τὸν ἔπαινον, πρότερον σαυτὸν κακῶς εἰρηκὼς, πονηρὰν δόξαν λαβὼν, κἀκεῖνον ἐπήρασε μειζόνως· ὅταν ἀκούσῃς ἐπαινούμενον, γίνου τῶν λεγομένων κοινωνὸς, εἰ καὶ μὴ τῷ βίῳ, καὶ τῇ ἀρετῇ, ἀλλὰ τῷ χαίρειν τοῖς ἐκείνου κατορθώμασι· ἐπήνεσέν ὁ δεῖνα, θαύμασον καὶ σύ· οὕτω σὲ ἐπαινέσεται ἐκεῖνος, ὡς χρηστὸν, καὶ ἐπιεικῆ· μὴ φοβηθῇς, ὡς τὰ σαυτοῦ κατθαίρων ἐν τοῖς ἐγκωμίοις τοῖς ἑτέρου· ἔνθα γὰρ ἐν ταῖς κατηγορίαις γίνεται· φιλόνεικον γὰρ τὸ γένος τῶν ἀνθρώπων· καὶ ὅταν ἴδῃσε κακῶς λέγοντα, ἐπιτείνει τὰ ἐγκώμια· ταύτῃ δάκνειν βουλόμενος, τοὺς κατηγόρους κατ' ἑαυτὸν, καὶ πρὸς ἑτέρους, διαβάλλει. εἶδες πόσης ἀχημοσύνης ἑαυτὸν γινόμεθα αἴτιοι; πῶς ἀπόλλυμεν τὸ ποίμνιον, καὶ διασῶμεν; γενώμεθα μέλη ποτὲ· γενώμεθα σῶμα ἕν· καὶ ὁ μὲν ἐγκωμιαζόμενος, διακρουέσθω τοὺς ἐπαίνους, καὶ ἐπὶ τὸν ἀδελφὸν μεταγέτω τὰ ἐγκώμια· ὁ δὲ ἑτέρου ἀκούων ἐπαινουμένου, συνηδέσθω· καὶ οὕτως ἑαυτοὺς σωθήσομεν, καὶ τὴν κεφαλὴν πρὸς ἑαυτοὺς ἐπισπασόμεθα· ἐὰν δὲ διῳκισμένοι πρὸς ἑαυτοὺς ὦμεν, καὶ τὴν ἐκεῖθεν ἀποφήσομεν βοήθειαν· ἐκείνης δὲ ἀποφάσης, πολλῷ τὸ σῶμα δέξεται λύμην, οὐ σφιγγόμενον ἄνωθεν· ἵν' οὖν μὴ ταῦτα γένηται, βασκανίαν καὶ φθόνον ἀπελάσαντες, καὶ τῆς τῶν πολλῶν ὑπερβάντες δόξης, ἀγάπην, καὶ ὁμόνοιαν ἀσπασώμεθα, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ·

Λόγος, κή.

» Ἔτω δὲ αὐτὸς ἐγὼ οὐ κατηναρκησα ὑμῶν, ἀλλ' ὑπάρχων πανοῦργος δόλῳ ὑμᾶς ἔλαβον·
» μήτινα ὧν ἀπέστειλα πρὸς ὑμᾶς δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς; παρεκάλεσα Τίτον, καὶ συ-
» νεπέστειλα τὸν ἀδελφόν· μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπα-
» τήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσιν; Ἀσαφῶς σφόδρα εἴρηται τοῦτο τὸ ῥήμα τὰ ῥήματα, ἀλλ' οὐ μάτην, οὐδὲ εἰκῆ· ἐπειδὴ γὰρ περὶ χρημάτων ὁ λόγος, καὶ ἀπολογίας τῆς ὑπὲρ τούτων, εἰκότως συνεσκίασται τὰ εἰρημένα· πότ' οὖν ἔφη τὸ εἰρημένον; εἶπεν ὅτι οὐκ ἔλαβον, ἀλλ' ἕτοιμος εἰμὶ, καὶ προσδοῦναι, καὶ δαπανῆσαι· καὶ πολλὰ περὶ τούτου, καὶ ἐν τῇ προτέρᾳ, καὶ ἐν ταύτῃ διελέχθη τῇ ἐπιστολῇ· νῦν δὲ ἕτερόν τι λέγει, ὥσπερ ἐξ αὐτοσχεδίου εἰσάγων τὸν λόγον, καὶ λύων προοιμιαζόμενος· ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐγὼ μὲν

ὑμᾶς οὐκ

ὑμᾶς οὐκ ἐπλεονέκτησα. ἔχει δὲ τις ἴσως εἰπεῖν, ὅτι αὐτὸς μὲν οὐκ ἔλαβε. πανοῦργος δὲ ὢν, παρεσκεύασα τοὺς ὑπ' ἐμοῦ ἀποσταλέντας εἰς οἰκεῖον πρόσωπον αἰτῆσαί τι παρ' ὑμῶν. καὶ δι' ἐκείνων αὐτὸς ἐδεξάμην, τοῦ δοκεῖν εἰληφέναι ἐμαυτὸν ἔξω πεσεῖν, δι' ἑτέρων λαμβάνων. ἀλλ' οὐδὲ ταῦτ' ἔχοιτις ἂν εἰπεῖν. καὶ μάρτυρες ὑμεῖς. διὸ καὶ κατ' ἐρώτησιν προάγει τὸν λόγον λέγων. παρεκάλεσα Τίτον, καὶ συναπέστειλα τὸν ἀδελφόν. μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐχ ὁμοίως καὶ αὐτὸς ἐμοὶ περιεπάτησε; τουτέστιν οὐδὲ αὐτὸς ἔλαβεν. εἶδες πόση ἐπίτασις ἀκριβείας, τῷ μὴ μόνον ἑαυτὸν καθαρὸν τηρεῖν τοῦ λήμματος, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτὸν πεμπομένους οὕτω ῥυθμίζει, ὡς μὴ δὲ μικρὰν δι' ὧν πρόφασιν τοῖς ἐπιλαμβάνεσθαι βουλομένοις. οὐδὲν γὰρ πολλῷ μεῖζον οὗ πεποίηκεν ὁ παντοκράτωρ. ἐκεῖνος μὲν ἀπὸ τῆς νίκης ἐπανελθὼν τοῦ βασιλέως διδόντος λάφυρα, οὐκ ἔφη λήψεσθαι πλὴν ὧν ἔφαγον ἐκεῖνοι. οὗτος δὲ οὔτε τῆς ἀναγκαίας τροφῆς, οὔτε αὐτὸς ἀπήλαυσεν, οὔτε τοὺς κοινωνοὺς ἀφῆκε μεταλαβεῖν. ἐκ πολλοῦ τοῦ περιόντος ἐπισωμεύων τῶν ἀναισχύντων τὰ κόμματα. διαβάλλειν οὐδὲ ἀποφαίνεται, οὐδὲ λέγει, ὅτι οὐδὲ ἐκεῖνοι ἔλαβον, ἀλλ' ὁ πολλῷ μεῖζον ἦν, αὐτοὺς παράγει μάρτυρας τοὺς κοινωνήσαντας τοῦ μηδὲν αὐτοὺς εἰληφέναι, ἵνα μὴ ἐξ οἰκείου προσώπου δοκῇ μαρτυρεῖν, ἀλλ' ἀπὸ τῆς ἐκείνων ψήφου. ὅπερ εἰώθαμεν ἐπὶ τῶν σφόδρα ὁμολογημένων, καὶ ὑπὲρ ὧν θαρροῦμεν, ποιεῖν. εἰ πάντε χαίρουσι, μήτις τῶν παρ' ἡμῶν ἀποσταλέντων ἐπλεονέκτησεν ὑμᾶς; οὐκοῦν μήτις ἔλαβέ τι παρ' ὑμῶν, ἀλλὰ πλεονεξίαν τὸ πρᾶγμα καλεῖ, καθαιρόμενος αὐτῶν, καὶ σφόδρα ἀντρέπων, καὶ δεικνύς, ὅτι τὸ παρὰ ἄκοντος λαβεῖν, πλεονεξία. καὶ οὐκοῦν, μὴ πῶς, ἀλλὰ μὴ τίς; οὐδὲ γὰρ ἐπὶ τοῦ αὐτὸν ἔχοιτε εἰπεῖν φησιν, ὅτι ὁδεῖνα μὲν οὐκ ἔλαβεν, ἕτερος δὲ ἔλαβεν οὐδὲ εἷς τῶν ἀφικομένων. παρεκάλεσα Τίτον, καὶ συνεπλήρωσα. οὐ γὰρ εἶπεν ἔπεμψα Τίτον, ἀλλὰ παρεκάλεσα, δεικνὺς ὅτι καὶ εἰ ἔλαβε, δικαίως ἂν ἔλαβεν, ἀλλ' ὅμως καὶ οὕτω καθαρὸς ἔμεινε. διὸ πάλιν αὐτοὺς ἐρωτᾷ λέγων, μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν; τί δῆτα τῷ αὐτῷ πνεύματι; τῇ χάριτι τὸ πᾶν ἀνατίθησι, καὶ δείκνυσιν, ὅτι ὅλον τὸ ἐγκώμιον ἐκεῖνο, οὐ τῶν ἡμετέρων πόνων, ἀλλὰ τῆς τοῦ πνεύματος δωρεᾶς κατορθώματα ἦν, καὶ τῆς χάριτος. καὶ γὰρ χάρις ἦν μεγίστη, καὶ ὑπερορῶντας, καὶ λιμώττοντας, μὴ λαμβάνειν, ἀλλὰ τὴν τῶν μαθητευομένων οἰκοδομήν. οὐ τοῖς αὐτοῖς ἴχνεσιν; τουτέστιν οὐδὲν μικρὸν παρήλλαξαν ἐκεῖνοι ταύτην τὴν ἀκρίβειαν, ἀλλὰ τὸν αὐτὸν κανόνα διετήρησαν. Πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα. Εἶδες πῶς πανταχοῦ δέδωκε μὴ κολακείαν δόξαν λάβῃ; εἶδες φρόνησιν ἀποστολικήν; πῶς συνεχῶς αὐτὸ τίθησι. καὶ γὰρ ἔμπροσθεν ἔλεγεν. οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ ἐν προοιμίοις τῆς ἐπιστολῆς. μὴ χρήζομεν συστατικῶν ἐπιστολῶν; τὰ δὲ πάντα ὑπὲρ τῆς οἰκοδομῆς ὑμῶν. πάλιν αὐτοὺς δοξάζει, καὶ οὐδὲ ἐνταῦθα σαφῶς φησιν, ὅτι διαβάλλειν οὐ λαμβάνομεν τὴν ἀθένειαν ὑμῶν, ἀλλ' ἵνα οἰκοδομήσωμεν ὑμᾶς. σαφέστερον μὲν ἢ πρότερον εἰπών, καὶ ἐκκαλύψας ὅπερ ᾠδίνεν, οὐ μὴν πλήττων. οὐ γὰρ εἶπε τὴν ἀθένειαν ὑμῶν, ἀλλ' ἵνα οἰκοδομηθῆτε. Φοβοῦμαι γὰρ μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, καὶ ἐγὼ εὑρεθῶ ὑμῖν οἷον, οὐ θέλετε. Μέλλει μεγάλα, καὶ φορτικὸν λέγειν. διαβάλλειν καὶ τὴν ἀπολογίαν τίθησι, τῷτε εἰπεῖν ὅτι πάντα ὑπὲρ τῆς

ὑμῶν οἰκοδομῆς, καὶ τῷ προσθεῖναι, ὅπι φοβοῦμαι, τὸ τραχὺ καταστέλλων τῶν μελλόντων λεχθήσεσθαι. οὐδὲν γὰρ οὐκέτι αὐθαδείας ἴδιον, οὐδὲ ἐξουσίας διδασκαλικῆς, ἀλλὰ κηδεμονίας πατρικῆς, ὅταν τῶν ἡμαρτηκότων μᾶλλον φοβῆται, καὶ τρέμῃ τὸ μέλλον αὐτοὺς διορθοῦν. ἀλλ' οὐδὲ οὕτως αὐτῶν καταπρέχει, οὐδὲ ἀποφαίνεται. ἀλλ' ἐνδιαίζων φησί. μήπως ἐλθὼν, οὐχ οἵους θέλω. ἀεὶ δὲ πάντων τὰ τῆς φιλίας ἐνδεικνύμενος ὀνόματα, καὶ τὸ βύρεσθαι δὲ τὸ παρὰ προσδοκίαν δηλοῦντος ἐστὶν, ὥσπερ οὖν καὶ τὸ βύρεσθαι ὑμᾶς. οὐ γὰρ προαιρέσεως τὸ πρᾶγμα, ἀλλὰ ἀνάγκης, τὴν αἰτίαν παρ' ὑμῶν λαμβανούσης. διὸ φησὶν βύρεσθαι, οἷον οὐ θέλετε. ἐνταῦθα οὐκέτι, οἷον οὐ θέλω, ἀλλὰ πληκτικώτερον, οἷον οὐ βούλεσθε. λοιπὸν γὰρ αὐτοὺς βούλημα ἴδιον οὐχὶ προηγούμενον μὲν, βούλημα δ' οὖν ὅμως. ἠδύνατο μὲν γὰρ πάλιν εἰπεῖν, οἷον οὐ θέλω, καὶ οὕτω δεῖξαι τὴν ἀγάπην. ἀλλ' οὐ βούλεται ἐκλῦσαι τὸν ἀκροατήν. μᾶλλον δὲ καὶ πραϋτερος ὁ λόγος οὕτως ἐγίνετο. νυνὶ δὲ καὶ ἔπληξε μειζόνως, καὶ ἡμερώτερον ἑαυτὸν ἔδειξε. δεῖ γὰρ αὐτοῦ τῆς σοφίας ἐστὶν ἴδιον. τὸ βαθύτερον τέμνοντα, ἡμερώτερον πλήττειν. εἶτα ἐπειδὴ ἀσαφῶς εἶπεν,
» ἐκκαλύπτει αὐτὸ λέγων. Μήπως ἔρεις, ζῆλοι, θυμοὶ, καταλαλιαὶ, ψιθυρισμοὶ, φυσιώ-
» σεις. Καὶ ὁ πρῶτον ἔμελλε πιθήσειν, δεῖ ὕστερον πίθησι. κατ' αὐτὸ γὰρ ἀσενοοῦντο. ἵνα οὖν μὴ δόξῃ προηγουμένως τὸ ἑαυτοῦ ζητεῖν, τὸ κοινὸν λέγει πρῶτον. ταῦτα γὰρ πάντας ἀπὸ βασιλείας ἐπίκετο, αἱ διαβολαὶ, αἱ κατηγορίαι, αἱ διαφάσεις. ὥσπερ γάρ τις ῥίζα πονηρὰ ἡ βασιλεία, τὴν θυμὸν τῆς κατηγορίας, τὴν ἀπόνοιαν, τὰ ἄλλα πάντα ἔπηκτε, καὶ παρ' αὐτῶν ἤυξετο μειζόνως. Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ θεός μου πρὸς
» ὑμᾶς. Καὶ τὸ πάλιν πλήττοντος ἐστὶν. ἀρκεῖ γὰρ τὰ πρότερα φησὶν, ὃ καὶ ἀρχόμενος ἔλεγεν, ὅπι φεισόμενος ὑμῶν οὐκ ἦλθον εἰς κόρινθον. εἶδες πῶς καὶ ἀγανακτήσιν δείκνυσι, καὶ φιλοτιμίαν; τί δέ ἐστι ταπεινώσῃ; καὶ μὴν δόξαι αὖπιεῖ τὸ ἐγκαλεῖν, τὸ πικραίνεσθαι, τὸ βύθυνασθαι ἀναστατεῖν, τὸ ἐνταξει διαφθορὰ καθέζεσθαι, ἀλλ' ὅμως ταπεινώσειν αὐτὸ καλεῖ. τοσοῦτον ἀπεῖχε τῇ ταπεινώσει ἐκείνῃ, ὅπι ἡ παρουσία τῶ σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος. ὅπι καὶ διὰπαντὸς ἠβούλετο ἐν τούτῳ εἶναι, καὶ τοιοῦτον ἀπηύχετο. καὶ λέγει αὐτὸ προϊὼν σαφέστερον, καὶ ταπείνωσιν δεῖ μάλιστα ἡγεῖται, τὸ εἰς τοιαύτην ἐμπεσεῖν ἀνάγκην τῶ κολάζειν, τῶ πικραῖνεσθαι. καὶ τίνος ἕνεκεν οὐκέτι με ἐλθόντα ταπεινωθῶ, ἀλλὰ μὴ ἐλθόντα με ταπεινώσῃ ὁ θεός; ὅπι εἰ μὴ δι' αὐτὸν, οὐκ ἂν ἀπεφράφλω, οὐκ ἂν ἔφρόντισα. οὐδὲ γὰρ ὡς ἐξουσίαν ἔχων, καὶ οὐ θαδίζόμενος ἀναστατῶ δίκην, ἀλλὰ μᾶλλον τὸ αὐτοῦ ἐπίταγμα. ἀνωτέρω μὲν οὖν αὐτὸ πίθησι λέγων. βύρεσθαι οἷον οὐ θέλετε. ἐνταῦθα δὲ καθυφίησι, καὶ ἡμερώτερον, καὶ πραότερον φθέγγεται λέγων. πενθήσω πολλοὺς τῶν ἡμαρτηκότων, οὐχ ἁπλῶς ἡμαρτηκότων, ἀλλὰ τῶν μὴ μετανοησάντων. καὶ οὐκέτι πάντας, ἀλλὰ πολλοὺς, καὶ οὐδὲ τούτους ποιεῖ φανεροὺς. διόθυς καὶ ἐντεῦθεν ῥᾳδίαν αὐτοῖς τὴν πρὸς τὴν μετάνοιαν ἐπάνοδον, καὶ δῆλον ποιῶν, ὅπι δύναται μετάνοια τὰ πεπλημμεληκότα διορθῶσαι, τοὺς μὴ μετανοοῦντας πενθεῖ, τοὺς τὰ αὐτὰ νοσοῦντας, τοὺς ἐν τῷ τραύματι μένοντας.

Η' Ἀπόν.

Ε' ννόησον τοίνυν ἀποστολικὴν ἀρετὴν, ὅταν μηδὲν ἑαυτῷ συνειδὸς πονηρὸν ὑπὲρ ἀλλοτρίων θλιβῇ κακῶν,

θρίωμ κακῶν, μὴ ὑπερ τ ἑτέροις πεπλημμελημένων τα πεινῶται. διὸ γὲ μάλιστα τὸ διδασκάλου, τὸ οὕτως σωφρονεῖν ταῖς τῶν μαθητῶν συμφοραῖς, τὸ πόρρω εἶναι, καὶ πενθεῖν μὴ τοῖς πραύμασι τῶν ἀρχομένων. εἶτα λέγει, καὶ τὸ εἶδος τῆς ἁμαρτίας. μὴ τῇ ἀσελγείᾳ, καὶ ἀκαθαρσίᾳ ἣ ἔπραξαν. καὶ αὐτὸς μὲν οὐ ταῦτα πορνείαν καλεῖται. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἅπαν εἶδος ἁμαρτίας, τούτῳ δίκαιόν ἐστι καλεῖσθαι τῷ ὀνόματι. εἰ γὲ καὶ κατεξοχὴν ὁ πόρνος, καὶ ὁμοίως λέγεται ἀκάθαρτος, ἀλλ' ὅμως, καὶ τὰ ἄλλα ἁμαρτήματα ἀκαθαρσίαν ἐμποιεῖ τῇ ψυχῇ. διὸ δὴ καὶ, καὶ ὁ Χς ἀκαθάρτους καλεῖ τοὺς ἰουδαίους, οὐχὶ πορνείαν αὐτοῖς ἐγκαλῶν μόνον, ἀλλὰ καὶ πονηρίαν ἑτέραν. διὸ καὶ φησὶ ποιῆσαι, καὶ τὸ ἔξω καθαρόν. καὶ ὅτι οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. καὶ ἀλλαχοῦ εἴρηται. ἀκάθαρτος παρακυρίῳ πᾶς ὑψηλοκάρδιος. οὐδὲν γὲ ἀρετῆς καθαρώτερον, οὐδὲν κακίας ἀκαθαρτότερον. ἡ μὲν γὲ ἡλίου λαμπροτέρα ἐστὶν, ἡ δὲ βορβόρου δυσωδεστέρα. καὶ ταῦτα μαρτυρήσειεν ἂν καὶ αὐτοὶ οἱ ἐν τῷ βορβόρῳ κυλινδούμενοι, μὴ οἱ ἐν τῷ σπότῳ διάγοντες. ὅταν μικρὸν γοῦν τις αὐτοὺς διαβλέψαι παρασκευάσῃ, ἕως μὲν γὲ αὐ καθ' ἑαυτοὺς ὦσι, καὶ μεδύωσι τῷ πάθει, καθάπερ ἐν σπότῳ διατρίβοντες ἀχημόνως κεῖνται μετὰ πολλῆς τῆς αἰσχρότητος. αἰσθανόμενοι μὲν, καὶ τότε ἔνδια εἰσὶν, οὐκ ἀκριβῶς δέ. ὅταν δὲ ἴδωσί τινα αὐτοὺς ἐλέγχοντα τῶν ἐν ἀρετῇ βιούντων, ἢ καὶ φαινόμενα μόνον, τότε σαφέστερον αὐτῶν διαγινώσκουσι τὴν ἀθλιότητα, καὶ ὥσπερ ἀκμὴν ἀφεθείσης, οὕτω περιστέλλουσι τὴν οἰκείαν ἀχημοσύνην, καὶ τοὺς σωφρονοῦντας ἐρυθριῶσι. κἂν ὁ μὲν, δοῦλος, ὁ δὲ ἐλεύθερος ᾖ, καὶ ὁ μὲν βασιλεὺς ὁ δὲ ἀρχόμενος. οὕτως ἰδὼν τὸν ἡλίαν, ὁ Ἀχαὰβ ἠχθέτο, καὶ μηδέπω μηδὲν εἰρηκότος ἐκείνου, ἀπὸ τῆς ὄψεως αὐτοῦ μόνης ἀλοὺς, καὶ σιγῶντος τοῦ κατηγόρου, τὴν κατανίκαζουσαν αὐτὸν, ἔφερε ψῆφον. τὰ τῶν ἐλεγχομένων φθεγγόμενος, καὶ λέγων. εὕρηκάς με ὁ ἐχθρός μου. οὕτως αὐτὸς ὁ ἡλίας τῷ τυράννῳ τότε ἐκείνῳ μετὰ πολλῆς διελέγετο τῆς παῤῥησίας. οὕτως ὁ προφήτης, οὐ φέρων τὴν ἀπὸ τῶν ἐλέγχων αἰσχύνην. μέγα γὰρ ἔλαμψε, καὶ διαυγὲς ἡ τῆς προφητικῆς γλώττης φωνὴ, ἐνέβαλεν εἰς τὸν δεσμωτήριον τὸν Ἰωάννην. καθάπερ γυμνὸς ὢν, καὶ τὸν λύχνον σβέσαι ἐπιχειρῶν, ἵνα πάλιν ἐν τῷ σπότῳ ᾖ. μᾶλλον δὲ αὐτὸς μὲν οὐκ ἐτόλμησε σβέσαι, ἀλλ' ὡσπερ ὑπὸ τὸν μόδιον εἰς τὸ οἴκημα τέθεικεν. ἡ δὲ ἀθλία, καὶ ταλαίπωρος ἐκείνη, διὰ γενέσθαι κατηνάγκασεν, ἀλλ' οὐδὲ οὕτως κατέψυξαν τὸν ἔλεγχον, ἀλλὰ μειζόνως ἀνῆψαν. οἵτε γὲ ἐρωτῶντες διατί Ἰωάννης εἰς τὸ δεσμωτήριον οἰκεῖ τὴν αἰτίαν ἐμάνθανον, οἵτε μεταταῦτα γῆν, καὶ θάλατταν οἰκοῦντες ἅπαντες, οἵτε τότε γενόμενοι, οἵτε νῦν, οἵτε αὖθις ἐσόμενοι, σαφέστερον ἔγνωσάν τε, καὶ εἴσονται τὰ πονηρὰ ταῦτα δράματα, τάτε τῆς ἀσελγείας, τάτε τῆς μαιφονίας αὐτῶν. καὶ χρόνος οὐδεὶς τὴν μνήμην τούτων ἐξαλεῖψαι δυνήσεται. τοσοῦτόν ἐστιν ἀρετὴ, οὕτως ἀθάνατον ἔχει τὴν μνήμην. οὕτω καὶ ἀπὸ ῥημάτων μόνων κατατλήττει τοὺς ἀντικειμένους αὐτῇ. τίνος γὲ ἕνεκεν ἐνέβαλεν αὐτὸν εἰς τὸ δεσμωτήριον; διατὶ μὴ κατεφρόνησε; μὴ γὲ εἰς δικαστήριον ἔμελλεν ἕλκειν; μὴ γὲ δίκην ἀπῄτησε τῆς μοιχείας; τί τοίνυν δέδοικε, καὶ τρέμει; οὐχὶ ῥήματα ἦν, καὶ λόγος ψιλὸς, ἀλλὰ μᾶλλον πραγμάτων ἔδακνεν. οὐκ ἤγαγεν εἰς δικαστήριον, ἀλλ' εἰς ἕτερον τὸ σωφρονοῦντος εἵλκυεν αὐτὸν

κριτήριον,

κριτήριον, καὶ πάντας ἐκάθισεν αὐτῷ δικαστὰς, τοὺς μετ' ἐξουσίας καθαρὰ διανοίαν τότε
τὰς ψήφους φέροντας. διαβλῆτο ἐτρέμεν ὁ τύραννος τῆς ἀρετῆς τὴν λαμπηδόνα οὐ φέρων.
εἶδες ἡλίκον φιλοσοφία δεσμώτην, τυραννου λαμπρότερον ἐποίησε; καὶ βλῆτο ἐκεῖνος δέ-
δοικε, καὶ τρέμει, ἀλλ' αὐτὸς μὲν ἔδησε μόνον. ἡ δὲ μαρὰ ἐκείνη τῷ τὴν σφαγὴν ὥρμησε.
καίτοιγε τῷ βλῆτο τὸ ἔγκλημα μᾶλλον ἐφέρετο. οὐδὲ γὰρ ἐκείνη τότε ἀπαντήσας εἶπε, τί
σωφρονεῖς τῷ τυράννῳ; οὐκέτι δὴ ἀνθύβυνος ἰῶ. πῶς γάρ; ἀλλ' ἐντεῦθεν τὸ πᾶν διορ-
θῶσαι ἐβούλετο. διὸ βλῆτο ἐμέμφατο, καὶ οὐδὲ βλῆτο σφόδρα. οὐδὲ γὰρ εἶπεν ὦ μαρὲ,
καὶ παμμάρε, καὶ παράνομε, καὶ βέβηλε, κατεπάτησας τὸ θεοῦ νόμον, κατεφρόνησας
τῶν ἐπιταχθέντων, τὴν ἰσχὺν τὴν σὴν νόμον ἐποίησας. οὐδὲν τούτων, ἀλλὰ καὶ ἐν τοῖς
ἐλέγχοις πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρὸς, πολλὴ ἡ πραότης. οὐκέξεστί σοι γὰρ ἔχειν φησὶ τὴν
γυναῖκα φιλίππου τοῦ ἀδελφοῦσου. διδάσκοντος μᾶλλον τὸ ῥῆμα, ἢ ἐλέγχοντος. παι-
δεύοντος, ἢ κολάζοντος. ῥυθμίζοντος, ἢ ἐκπομπεύοντος. διορθουμένους, ἢ ἐμβαίνοντος.
ἀλλ' ὅπερ ἔφην, ἐχθρὸν τῷ κλέπτῃ τὸ φῶς. ἐπαχθὴς ὁ δίκαιος τοῖς ἁμαρτάνουσι, καὶ
φαινόμενος ἁπλῶς. βαρὺς γὰρ ἡμῖν, καὶ βλεπόμενος. οὐ γὰρ φέρουσιν αὐτοῦ τὰς ἀκτῖνας,
καθάπερ οἱ τοὺς ὀφθαλμοὺς νοσοῦντες, τὰς ἡλιακάς. πολλοῖς δὲ τῶν πονηρῶν, οὐ φαι-
νόμενος μόνον, ἀλλὰ καὶ ἀκουόμενος, βαρύς. διάτοι βλῆτο, καὶ ἡ μαρὰ, καὶ παμμάρος
ἐκείνη προαγωγὸς τοῦ θυγατρίου, μᾶλλον δὲ ἡ ταισβοκτόνος, καίτοι οὐδὲ ἰδοῦσαι αὐτὸν,
οὐδὲ ἀκούσασα αὐτοῦ τῆς φωνῆς, τῷ τὴν σφαγὴν ὥρμησε, καὶ παρασκευάζει λῷον ἀστε-
γῶς ἐφρεψε, ζαύτην καὶ εἰς φόνον ἐλθεῖν. οὕτως ἐκπερίουσα αὐτὸν ἐδεδοίκει. καὶ τί φη-
σί; δόσμοι ὧδε τῷ πίνακι τὴν κεφαλὴν ἰωάννου τοῦ βαπτίσου. ποῖ φέρη κατὰ κρημνῶν
ἀθλία, καὶ ταλαίπωρε; μὴ γὰρ πάρεστιν ὁ κατήγορος; μὴ γὰρ ὁρᾶται, καὶ ἐνοχλεῖ; ἕτε-
ροι ἔλεγον βαρὺς ἡμῖν ὅδι, καὶ βλεπόμενος, ζαύτη δὲ ὅπερ εἶπον, καὶ ἀκουόμενος. διὸ φη
σὶ, δόσμοι ὧδε τῷ πίνακι τὴν κεφαλὴν ἰωάννου. καὶ μὴν δεσμωτήριον οἰκεῖ λῷόν σε, καὶ
ἀλύσει περίκειται, καὶ ἔξεστί σοι νεανιεύεσθαι τῷ ἔρωτι, καὶ λέγειν οὕτως, ἐκράτησα
τοῦ βασιλέως, ὅτι οὐδὲ δημοσίᾳ ἐγκληθεὶς καθυφῆκεν, οὐδὲ ἀπειλῆ τοῦ ἔρωτος, οὐδὲ διέ-
βασέ μου τὴν μοιχείαν, ἀλλὰ καὶ τὸν ἐγκαλέσαντα ἔδησε. τί μανίᾳ, καὶ λυσασῶ; ἔχου-
σα, καὶ μετὰ τὸν ἔλεγχον τῆς ἁμαρτίας, νυμφίον; τί τράπεζαν ἐννύων ζητεῖς; καὶ δεσ
μώτου ἀλαστόρων συμπόσιον καταστρώνυσαι; εἶδες πῶς οὐδαμοῦ, πῶς δειλὸν, πῶς ἀν-
ανδρον ἡ κακία, πῶς ὅτε μάλιστα κρατήσει τότε γίνεται ἀδεκτέρα. καὶ γὰρ αὖθις οὐχ
οὕτως ἐθορυβεῖτο πρὶν εἰς δεσμωτήριον ἐμβαλεῖν τὸν ἰωάννην, ὡς ταράττεται δεθέντος αὐ
τοῦ, καὶ σπείρει λέγουσα. δόσμοι ὧδε τῷ πίνακι τὴν κεφαλὴν ἰωάννου. καὶ διατὶ ὧδε; μὴ
συσκιάσῃ φησὶν ὁ φθόνος, μὴ ἐξέλωσιν αὐτὸν τινες τοῦ καθήμου. καὶ διατὶ μὴ ὅλον τὸν νε-
κρὸν ζητεῖς, ἀλλὰ τὴν κεφαλήν; τὴν λυπήσασαν φησὶ γλῶτταν, ζαύτην ζητοῦμεν
σιγῶσαν ἰδεῖν. ἀλλὰ τοὐναντίον ἐστὶν, ὅπερ οὕτω καὶ γέγονεν ἀθλία, καὶ ταλαίπωρε, λαμ
πρότερον βοήσεται μεταταῦτα ἀποτμηθεῖσα. τότε μὲν γὰρ ἐν ἰουδαίᾳ μόνον ἐβόα, νυνὶ
δὲ πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἀφίξεται, καὶ ὁπουπερ αὖ εἰσέλθῃς εἰς ἐκκλησίαν
κἂν ἐν τῇ μαύρων, κἂν ἐν τῇ περσῶν, κἂν πρὸς αὐτὰς τὰς βρετανικὰς νήσους, ἀκούεις
βοῶντος ἰωάννου. οὐκέξεστί σοι ἔχειν τὴν γυναῖκα φιλίππου τοῦ ἀδελφοῦσου. ἀλλ' οὐδὲν

εἰσῆγαε αὕτη

ἐλλῦσαι αὖ τὴν φιλοσοφεῖν, καταπαύει, καὶ ἄγχει, καὶ ὠθεῖ τὸν ἀνόητον τύραννον τοῦ τὸν φόνον, δεδοικῦσαι μήποτε μεταβάλητα. σὺ δὲ μάθε πάλιν καὶ ἀντεῦθεν τῆς ἀρετῆς τὸν ἰσχυρόν. οὐδὲ ἐγκεκλεισμένον οὐδὲ δεδεμένον, καὶ σιγῶντα φέρει τὸν δίκαιον. εἶδες πῶς ἀσθενὴς ἡ κακία; πῶς ἀκάθαρτον; αὐτὴ γὰρ ἐδεσμάτων, ἀνθρωπίνῳ κεφαλῷ τοῦ πίνακος εἰσάγει. τί μακρότερον, τί δὲ ἀναγκαιότερον, τί δὲ αὐαιδέστερον τῆς κόρης ἐκείνης; οἵαν ἀφῆκε φωνὴν ἐν τῷ θεάτρῳ τῷ διαβόλου, καὶ τῷ συμποσίῳ τῶν δαιμόνων; εἶδες γλῶτταν, καὶ γλῶτταν, τὴν μὲν, φάρμακα φέρουσαν σωτηρίας, τὴν δὲ, δηλητήριον ἔχουσαν, καὶ τραπεζοποιὸν γινομένην ἐπιάσεως διαβολικῆς. ἀλλὰ τίνος ἕνεκεν οὐκ ἐπέλθυσεν ἔνδον ἐν τῷ συμποσίῳ αὐτὴν καταστραγῆναι, ἔνθα πλείων ἦν αὐτῇ ἡδονή; ἐδεδίκει μὴ παραγενόμενος, καὶ ὀφθείς, ἅπαντας μεταβάλῃ ἀπὸ τῆς ὄψεως, ἀπὸ τῆς παῤῥησίας. διάτοι δῆθεν, τὴν κεφαλὴν ἐπιζητεῖ; πρῶταιον πορνείασε λαμπρὸν φῆσαι βουλομένη. καὶ ἔδωκε τῇ μητρὶ αὐτῆς. εἶδες τῆς ὀρχήσεως τὰ ἐπίχειρα. εἶδες τὰ λάφυρα τῆς διαβολικῆς ἐπιβουλῆς. οὐ τὴν κεφαλὴν ἰωαννου λέγω, ἀλλ' αὐτὸν τὸν σωφρονοῦντα. εἰ γὰρ ἀκριβῶς ἐξετάσειε, κατὰ τὸ βασιλέως ἔφαγε τὸ πρῶταιον, καὶ ἡ νικήσασα, ἥρπαστο, καὶ ὁ ἀποτμηθείς, ἐτεφανοῦτο, καὶ ἀνεκηρύττετο, καὶ μετὰ τὴν τελευτὴν, σφοδρότερον κατασείων τῶν ἡμαρτηκότων τὴν διανοιαν. καὶ ὅτι οὐ κόμπος τὰ εἰρημένα, αὐτὸν ἐρώτησον τὸν ἡρῴδην. ὃς ἐπειδὴ τοῦ χριστοῦ τὰ σημεῖα ἤκουσεν, ἔλεγεν. οὗτος ἐστὶν ἰωαννης. αὐτὸς ἠγέρθη ἐκ νεκρῶν. καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. οὕτως ἀκμάζοντα εἶχε τὸν φόβον, καὶ διέμενε τὴν ἀγωνίαν, καὶ οὐδεὶς ἀποβαλεῖν τὸ δέος τοῦ σωφρονοῦντος ἴσχυσεν, ἀλλ' ἔμεινεν ὁ δικαστὴς ἐκεῖνος ὁ ἀδέκαστος ἄγχων αὐτὸν, καὶ καθημέραν δίκην ἀτρωτων τῆς σφαγῆς. ταῦτ' οὖν εἰδότες, μὴ φοβώμεθα τὸ κακῶς παθεῖν, ἀλλὰ τὸ δρᾶσαι κακῶς. τοῦτο μὲν γὰρ νίκη, ἐκεῖνο δὲ ἧττα. διὸ καὶ ὁ παῦλος ἔλεγε. διατὶ οὐ μᾶλλον ἀδικεῖσθε, ἀλλ' ὑμεῖς ἀδικεῖτε, καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς; ἐν γὰρ τῷ πάσχειν κακῶς, οἱ τέφανοι, καὶ τὰ βραβεῖα, ἡ ἀνακήρυξις. καὶ τοῦτο πάντων ἐστὶ τῶν ἀγώνων ἰδεῖν. ὅτε οὖν ἅπαντες ἐτεφανώθησαν, οὕτως ἀνεκηρύχθησαν, οὕτως καὶ ἡμεῖς ταύτην ὁδεύωμεν τὴν ὁδόν. καὶ εὐχώμεθα μὲν μὴ εἰσελθεῖν εἰς πειρασμόν. εἰ δὲ παραγένοιτο, μετὰ πολλῆς ἱσταμένοι τῆς ἀνδρείας, τὴν προσήκουσαν ὑπιδεξώμεθα προθυμίαν, ἵνα τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, κθ'. Κεφ. ιγ'.

" Τέταρτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. τοῦ στόματος δύο μαρτύρων, μὴ πλειόνων, καθήσει πᾶν ῥῆμα.
Γ ολλαχόθεν μὲν καὶ ἄλλοθεν μάλιστα δὲ ἐκ τούτου, τοῦ παύλου τὴν φιλοσοφίαν ἐπιδεῖν, καὶ τὴν πολλὴν φιλοτιμίαν. πῶς πολὺς μὲν ἐν ταῖς παραγγελίαις, καὶ σφοδρός. ὀκνηρὸς δὲ καὶ μελιτὴς ἐν ταῖς τιμωρίαις. οὐ γὰρ βύθεως ἁμαρτάνοντας ἐκόλασεν, ἀλλὰ παρήγγειλεν ἅπαξ, καὶ δεύτερον. καὶ οὐδὲ οὕτω παρακούσαντας τιμωρεῖται, ἀλλὰ πάλιν παραγγέλλει λέγων. τρίτον ἔρχομαι τοῦτο πρὸς ὑμᾶς, καὶ πρινὴ παραγένωμαι, γράφω πάλιν. εἶτα ἵνα μὴ ἡ μέλησις ῥᾳθυμίαν ἐργάσηται, ὅρα πῶς καὶ τὸ ἐντεῦθεν διορθοῦται, συνεχῶς ἀπειλῶν, καὶ ἐπανατεινόμενος τὴν πληγὴν, καὶ λέγων. ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. καὶ μήπως ἐλθὼν πεν θήσω πολλούς. ταῦτα δὲ ποιεῖ, καὶ λέγει, καὶ ταύτην δὲ ἀπειλὴν τῶν ἀπάντων μιμούμενος

των μιμητής μενος. Ἐπεὶ καὶ ὁ θεὸς συνεχῶς μὲν ἀπειλεῖ, καὶ πολλάκις παραγγέλλει, οὐ πολλάκις δὲ κολάζει, καὶ τιμωρεῖται. ἵνα δὴ, καὶ αὐτὸς ποιεῖ. καὶ διὰ τοῦτο, καὶ ἔμπροσθεν ἔλεγεν, ὅτι φεισόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς κόρινθον. τί δέ ἐστι φεισόμενος ὑμῶν; ἵνα μὴ δι' ὑμᾶς ἁμαρτητικοὺς, καὶ ἀδιορθώτους μείναντας, ἐπάγω κόλασιν, καὶ τιμωρίαν. καὶ ἐν τούτοις, τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. ἐπὶ στόματος δύο μαρτύρων, καὶ τριῶν, σταθήσεται πᾶν ῥῆμα, γράφω σοι ἀπόντι. ὃ καὶ ἄλλαχού ποτε εἰπών, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν. ἔσονται γάρ φησιν οἱ δύο εἰς σάρκα μίαν. καίτοιγε ἐπὶ νόμου δι' ἑνὸς εἴρηται γάμος, ἀλλὰ διαχρήσασθαι αὐτῷ εἰς δύο συμφέροντος, ὥστε φοβῆσαι μείζονος. οὕτω δὴ καὶ ἐνταῦθα ποιεῖ, ἀντὶ μαρτυριῶν, τὰς παρουσίας αὐτοῦ πιθεὶς καὶ τὰς παραγγελίας. ὃ δὲ λέγει, τοῦτό ἐστιν. ἅπαξ εἶπον, καὶ δεύτερον, ὅτε παρεγενόμην, λέγω καὶ νῦν ἀπὸν γράμμασιν. καὶ μήν ἐὰν ἀκούσητέ μου, ὅπερ ἐπεθύμουν γενέσθαι. ἐὰν δὲ παρακούσητε, ἀνάγκη λοιπὸν γῆσαι τὰ εἰρημένα, καὶ ἐπάγειν τὴν τιμωρίαν. διὸ φησί. Πρὶν εἰρηκα, καὶ προλέγω, ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω τοῖς προημαρτηκόσι, καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. Εἰ γὰρ ἐπὶ στόματος δύο μαρτύρων, καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα, παρεγενόμην δεύτερον, καὶ εἶπον, λέγω δὲ καὶ νῦν ἀπὸν τῆς ἐπιστολῆς. ἀναγκαίως λοιπὸν ἀληθεύουσα. μὴ γὰρ δὴ νομίσητε ἐλάττονα ἔχειν τὰ γράμματα, τῆς παρουσίας. ὥσπερ γὰρ παρὼν ἔλεγον, οὕτω καὶ ἀπὼν, νῦν γράφω. εἴδες κηδεμονίαν παντοίως, εἴδες διδασκαλίαν πρέπουσαν, πρόνοιαν; οὔτε ἐσίγησεν, οὔτε ἐκόλασεν, ἀλλὰ καὶ προλέγει πολλάκις, καὶ μένει διὰ πολλοῦ ἀπειλῶν, καὶ ἀναβάλλεται τὴν τιμωρίαν. καὶ εἰ μένοιεν ἀδιόρθωτοι, τότε ἀπειλεῖ τὴν χεῖρα ἐπάγειν. τί δὲ προείρηκας παρὼν, καὶ ἀπὼν νῦν γράφεις; Ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. Δείξασα πρότερον, ὅτι οὐ δύναται, ἂν μὴ ἀναγκασθῇ, τοῦτο ποιῆσαι, καὶ πένθος τὸ πρᾶγμα καλέσας, καὶ ταπεινώσιν, μήπως γάρ φησιν ἐλθόντα με ὁ θεός μου ταπεινώσῃ πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων. καὶ ἀπολογησάμενος αὐτοῖς, ὅτι καὶ ἅπαξ, καὶ δεύτερον, καὶ πρίν προεῖπε, καὶ ὅτι πάντα ποιεῖ, καὶ μηχανᾶται, ὥστε ἀνακρούσασθαι τὴν τιμωρίαν, καὶ τῷ φόβῳ τῶν ῥημάτων βελτίους ποιῆσαι, τότε τὸ φορτικὸν τοῦτο, καὶ φοβερὸν ἐπῆκε λέγων. ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. οὐκέτι τιμωρήσομαι, καὶ κολάσω, καὶ ἀπαιτήσω δίκην, ἀλλὰ πάλιν παντοίοις ῥήμασι τὴν τιμωρίαν πήδησι, δεικνὺς αὐτοῦ τὰ σπλάγχνα, καὶ τὴν συναλγοῦσαν αὐτοῖς διάνοιαν, διότι ἀεὶ φεισόμενος, ἀνεβάλλετο. εἶτα ἵνα μὴ καὶ νῦν νομίσωσιν, ὅτι πάλιν ἀναβολὴν, καὶ ἁπλῶς ἀπειλὴν ῥημάτων, διὰ τοῦτο καὶ ἔμπροσθεν εἴρηκεν, ἐπὶ στόματος δύο, καὶ τριῶν μαρτύρων, σταθήσεται πᾶν ῥῆμα, καὶ ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. ὃ δὲ λέγει, τοῦτό ἐστιν. οὐκέτι ἀναβάλλομαι εἰ ἀδιορθώτους εὕροιμι. (ὃ μὴ γένοιτο,) ἀλλὰ ἐπάξω πάντως, καὶ ποιήσω ὅπερ εἰρηκα. εἶτα μετὰ πολλοῦ τοῦ θυμοῦ, καὶ σφοδροῦ τῆς ἀγανακτήσεως πρὸς τοὺς νωθρῶς διακειμένους αὐτὸν, ὡς ἀδενῆ, καὶ τὴν παρουσίαν αὐτοῦ χλευάζοντας, καὶ λέγοντας, ἡ παρουσία ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος, ὡς πρὸς τούτους γοῦν ἀποτεινόμενος φησίν. Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος χριστοῦ. Τοῦτο γὰρ ὁμοῦ μὲν πλήττων, ὁμοῦ δὲ

καὶ κείνων

καὶ εἰκῆ ταῦτα λέγοντες, ἀλλ' ἐκ τῆς τοῦ πνεύματος δυνάμεως. Ἐπειδὴ δὲ ἐπεμνήσθημεν τῆς τοῦ πνεύματος δυνάμεως, ἀναγκαῖον καὶ περὶ αὐτοῦ τοσαῦτα εἰπεῖν, ὅσα ἐν τῷ παρόντι καιρῷ ἡμῖν ἐφικτὰ γένοιτο. Ἐπειδὴ γὰρ ἐν τῇ τοῦ Σωτῆρος ἐπιδημίᾳ τὸ πνεῦμα τὸ ἅγιον ἐν ἀνθρώποις ἐφάνη, καὶ ἐν τῇ τῶν ἀποστόλων ἐκκλησίᾳ ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς ἐπιδημήσαν, ἀναγκαῖον ἐστὶ καὶ περὶ τούτου τοσαῦτα εἰπεῖν, ὅσα ἐν τῷ παρόντι καιρῷ ἡμῖν ἐφικτὰ γένοιτο. Τί οὖν ἐστὶ πνεῦμα; καὶ διὰ τί κολάζεις; Ἐπειδὴ δυνάμην ζητοῦσιν; οὐχ ἵνα ἐξηγήσωμαι, ἐκπρεπὲς οὖν ἐκόλασα ἁμαρτάνοντας, καὶ οὐκ ἀνεβαλόμην. Ὅτι δὲ οὐ διὰ ζητεῖ, προϊὼν τοῦτο σαφέστερον ἐδείξει εἰπών. Εὔχομαι δὲ μηδὲν ποιῆσαι ὑμᾶς κακόν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλὰ ὑμεῖς δόκιμοι ἦτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. Οὐ τοίνυν αἰτιολογικῶς αὐτὸ τίθησιν, ἀλλὰ μᾶλλον ἀγανακτῶν. μᾶλλον καὶ θαυμάζομενος τῶν καταφρονούντων αὐτοῦ. ἐγὼ μὲν οὐ βούλομαι φησὶ δοῦναι τοιαύτην ὑμῖν τοιαύτην. εἰ δὲ αὐτοὶ παρέχετε τὴν αἰτίαν, καὶ βουληθέντά με ἐκκαλέσασθαι, εἰσεσθε ἀφ' τῶν ἔργων αὐτῶν. καὶ ὅρα πῶς φορτικὸν ποιεῖ τὸν λόγον. οὐ γὰρ εἶπεν ἐπειδὴ δοκιμὴν ζητεῖτε ἐμοῦ, ἀλλὰ τοῦ ἐν ἐμοὶ λαλοῦντος χριστοῦ, δεικνὺς ὅτι εἰς ἐκεῖνον ἁμάρτανον. καὶ οὐχ ἁπλῶς εἶπε τοῦ ἐνοικοῦντος, ἀλλὰ τοῦ λαλοῦντος, δεικνὺς πυθομένοις ὄντα τὰ ῥήματα. εἰ δὲ οὐκ ἐνδείκνυται αὐτοῦ τὴν ἰσχὺν οὐδὲ κολάζει. (λοιπὸν γὰρ ἀφ' ἑαυτοῦ τὸν λόγον ἐκεῖ μετήγαγε, φοβερωτέραν ποιῶν τὴν ἀπειλήν,) οὐ δι' ἀσθένειαν. (δύναται γάρ,) ἀλλὰ διὰ μακροθυμίαν. μὴ τοίνυν τὴν ἀνοχὴν αὐτοῦ ἀσθένειαν τις λογιζέσθω. τί γὰρ θαυμάζεις εἰ οὐκέτι ἐξέρχεται νῦν ἁμαρτάνουσιν, οὐδὲ ἀπαιτεῖ δίκην ἀνεχόμενος, καὶ μακροθυμῶν; ὅπου γε καὶ θαυμασθῆναι αὐτὸς ὑπέμεινε, καὶ τοιαῦτα πάσχων, οὐκ ἐκόλαζε; διὸ καὶ ἐπήγαγεν. Ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δύναται ἐν ὑμῖν. καὶ γὰρ εἰ ἐθαυμάσθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ. Πολλὴν ἀσάφειαν ἔχει τὰ ῥήματα. καὶ τοῖς ἀσθενεστέροις θόρυβον ἐντίθησι. διόπερ ἀναγκαῖον αὐτὰ ἁπλῶσαι σαφέστερον, καὶ τῆς λέξεως ταύτης εἰπεῖν τὰ σημαινόμενα, περὶ ἣν ἡ ἀσάφεια, ἵνα μηδεὶς σκανδαλίζηται μὴ δὲ τῶν ἀφελεστέρων. τί ποτ' οὖν ἐστὶ τὸ εἰρημένον; καὶ τί δηλοῖ τὸ τῆς ἀσθενείας ὄνομα; καὶ κατὰ ποῖον σημαινόμενον εἴρηται, ἀναγκαῖον μαθεῖν. μία μὲν γὰρ ἡ λέξις, πολλὰ δὲ τὰ ἐξ αὐτῆς δηλούμενα. καὶ γὰρ ἀσθένεια λέγεται ἡ τοῦ σώματος ἀῤῥωστία. διὸ καὶ ἐν τῷ εὐαγγελίῳ εἴρηται. Ἴδε ὃν φιλεῖς ἀσθενεῖ, περὶ τοῦ λαζάρου. καὶ αὖθις ἔλεγεν, ἡ ἀσθένεια αὕτη, οὐκ ἔστι πρὸς θάνατον. καὶ περὶ τοῦ ἐπαφρᾶ ὁ παῦλος. καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου, ἀλλ' ὁ θεὸς αὐτὸν ἠλέησε. καὶ περὶ τοῦ τιμοθέου. οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. ταῦτα γὰρ ἅπαντα, σωματικὴν ἀῤῥωστίαν δηλοῖ. λέγεται πάλιν ἀσθένεια, τὸ μὴ πεπηγέναι ἐν τῇ πίστει ἁπλῶς, μὴ δὲ τέλειον εἶναι, καὶ ἀπηρτισμένον. καὶ ἔστιν δηλῶν ὁ παῦλος ἔλεγε. τὸν δὲ ἀσθενοῦντα τῇ πίστει, προσλαμβάνεσθε μὴ εἰς διακρίσεις διαλογισμῶν. καὶ πάλιν. ὃς μὲν πιστεύει φαγεῖν πάντα ὁ δὲ ἀσθενῶν, λάχανα ἐσθίει, τὸν ἐν τῇ πίστει ἀσθενοῦντα δηλῶν. ἰδοὺ δύο σημαινόμενα ἐκ τῆς ἀσθενείας ἐστί. μὴ τρίτον ἕτερον ὃ καλεῖ ἀσθένεια. ποῖον δή ἔστιν; οἱ διωγμοί, αἱ ἐπιβουλαί, αἱ ἐπήρειαι, οἱ πειρασμοί, αἱ ἐπαγωγαί. καὶ ἔστιν δηλῶν ὁ παῦλος ἔλεγεν. ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, καὶ εἶπεν μοι. ἀρκεῖσοί ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. τί ἐστιν ἐν ἀσθενείᾳ; ἐν διωγμοῖς, ἐν κινδύνοις, ἐν πειρασμοῖς, ἐν ἐπιβουλαῖς, ἐν θανάτοις. καὶ ἔστιν δηλῶν, ἔλεγε. διὸ δύναμαι ἐν ἀσθενείᾳ.

εἶτα δεικνὺς

εἶτα δεικνὺς ποίαν λέγει ἀσθένειαν, οὐ πυρετὸν εἶπεν, οὐκ ἀμφιβολίαν τὴν περὶ τὴν πί-
στιν. ἀλλὰ τί; ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυ
λακαῖς, ἵνα ἐπισκιωθῇ ἐπ' ἐμὲ ἡ δύναμις τ̄ χριστ̄. ὅταν γὰρ ἀσθενῶ, τότε δυνατὸς
εἰμί. τουτέστιν ὅταν διώκωμαι, ὅταν ἐλαύνωμαι, ὅταν ἐπιβουλεύωμαι, τότε δυνατός εἰ-
μι, τότε μᾶλλον κρατῶ, καὶ περιγίνομαι τῶν ἐπιβουλευόντων, τῆς χάριτος δραστικώτε-
ρον ἐνιζανούσης ἐν ἐμοί. κατὰ δὴ τ̄ τρίτον, τὴν ἀσθένειαν τέθεικεν ὁ παῦλος. καὶ ὁ
λέγει, τ̄ν ἐφ', πρὸς ἐκεῖνο πάλιν ἀποτεινόμενος, ὃ καὶ ἔμπροσθεν εἶπον, ὅτι βουλητὸς αὐ-
τοῖς ἐδόκει εἶναι, καὶ βουλοκαταφρόνητος. οὐ γὰρ δὴ ἐβούλετο κομπάζειν, οὐδὲ ὅπερ ἰω̄, εἶναι
δοκεῖν αὐτὸν, οὐδὲ τὴν δύναμιν ἐπιδείκνυσθαι ἰω̄ εἰ χρεὼν εἰς τὸ κολάζειν, καὶ τιμωρεῖσθαι. ὅ-
θεν καὶ ἐνομίζετο βούλητος εἶναι. ἐπεὶ οὖν τ̄ν νομίζοντες ἐν πολλῇ ῥᾳθυμίᾳ ἦσαν, καὶ
ἀνασωθησίᾳ, καὶ οὐ μετεβάλλοντο ἐκ τῶν ἁμαρτημάτων, καιρὸν ἐπιτήδειον λαβὼν, καὶ
περὶ τούτων βουλόνως διαλέγεται, δεικνὺς ὅπου δι' ἀσθένειαν, οὐδὲν ἐποίει, ἀλλὰ μᾶλ-
λον μακροθυμίαν. εἶτα ὅπερ ἔφην ἀφ' ἑαυτοῦ τὸν λόγον ποιῶν τὸν χριστὸν μεταγαγών, ἐπιτείνει
τὸν φόβον, αὔξει τὴν ἀπειλήν. ὁ δὲ λέγει, τ̄ν ἐφ'. μὴ γὰρ καὶ ἐὰν ποιήσω τί, καὶ κολά-
σω, καὶ τιμωρήσωμαι τοὺς ἡμαρτηκότας, ἐγὼ εἰμὶ ὁ κολάζων, καὶ τιμωρούμενος; θεὸς ὁ ἐν
ἐμοὶ οἰκῶν, αὐτὸς ὁ χ̄ς'. εἰ δὲ οὐ πιστεύετε τ̄ν, ἀλλὰ βούλεσθε λαβεῖν δοκιμὴν, δεῦρο
τῶν ἔργων τοῦ ἐνοικοῦντός ἐν ἐμοὶ, εἰσεσθε ταχέως. οὐδὲ γὰρ ἀσθενεῖ εἰς ὑμᾶς, ἀλλὰ καὶ
δυνατός ἐστι. καὶ διατί προσέθηκεν εἰς ὑμᾶς; καίτοι πανταχοῦ δυνατὸς ἐστι. κἂν γὰρ ἀ-
πίστους βουληθῇ κολάσαι, δύναται, κἂν δαίμονας, κἂν ὁποιωοῦν. τί οὖν βούλεται ἡ προ
θήκη; σφόδρα ἐντρέποντος αὐτοὺς ὅτι τὸ ῥῆμα ἀφ' ὧν ἤδη πεῖραν εἰλήφασιν, ἢ τ̄ν δη
λοῦντος, ὅτι τέως ἐν ὑμῖν τὴν δύναμιν ἐπιδείκνυται τοῖς ὀφείλουσι διορθωθῆναι. ὃ καὶ
ἀλλαχοῦ ἔλεγε. τί γαρμοι, καὶ τοὺς ἔξω κρίνειν; τοὺς μὲν γὰρ ἔξω, φησὶ, τότε ἀναπείσει
δίκῃ κατὰ τὴν ἡμέραν τῆς κρίσεως, ὑμᾶς δὲ καὶ νυῦ, ὥστε ἐκείνης ἐξελέσθαι τῆς ζημω-
είας. ἀλλ' ὅμως καὶ τὸ κηδεμονικὸν τ̄ν, καὶ μετὰ φιλοστοργίαν γινόμενον, ὅρα πῶς μετὰ
φόβου τίθησι, καὶ πολλοῦ τοῦ θυμοῦ, λέγων, ὡς οὐκ ἀσθενεῖ εἰς ὑμᾶς, ἀλλὰ δύναται
ἐν ὑμῖν. καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ. τί ἐστιν εἰ ἐσταυ-
ρώθη ἐξ ἀσθενείας; καὶ γὰρ εἰ εἶπε τὸ φησὶ πρᾶγμα ὑποπεσεῖν δοκοῦν ἀσθενείας ἔχειν ὑ-
πόληψιν, ἀλλ' οὐδὲν τ̄ν δύναμιν αὐτοῦ διακόπτει. μένει γὰρ αὖτη ἄμαχος οὖσα,
καὶ οὐδὲν τὸ πρᾶγμα τὸ δοκοῦν ἀσθενείας εἶναι, ταύτην παρέβλαψεν, ἀλλ' αὐτὸ μὲν οὖν
τ̄ν, μάλιστα αὐτοῦ δείκνυσι τὴν ἰσχύν, ὅτι καὶ τοιοῦτον πρᾶγμα ὑπέμεινε, καὶ τὰ τῆς
δυνάμεως αὐτοῦ οὐκ ἠρωτηριάσθη. μὴ τοίνυν σε θορυβείτω ἡ λέξις τῆς ἀσθενείας. καὶ
γὰρ καὶ ἀλλαχοῦ φησι. τὸ μωρὸν τ̄ θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς
τοῦ θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. καίτοι οὔτε μωρὸν, οὔτε ἀσθενὲς οὐδὲν ὁ θεὸς
ἔχει. ἀλλὰ τὸν σταυρὸν οὕτως ἐκάλεσε, τὴν τῶν ἀπίστων ὑπόνοιαν περὶ αὐτ̄ ἐξηγούμενος. ἄ-
κουσον γοῦν αὐτ̄ ἑαυτὸν ἑρμηνεύοντος. ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις,
μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις θεοῦ ἐστι. καὶ πάλιν. ἡμεῖς δὲ κηρύσσομεν θεὸν
ἐσταυρωμένον, ἰουδαίοις μὲν, σκάνδαλον, ἔθνεσι δὲ, μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς ἰου-
δαίοις τε, καὶ ἕλλησι, χριστὸν θεοῦ δύναμιν, καὶ θεοῦ σοφίαν. καὶ πάλιν ψυχικὸς δὲ ἄνθρω-

πος, οὐ

πος οὐ δέχεται τὰ τοῦ πνεύματος. μωρία γὰρ αὐτῷ ἐστιν. ὅρα πῶς πανταχοῦ τῶν ἀπίστων τὴν ὑπόνοιαν ἑρμηνεύει, μωρίαν, καὶ ἀσθένειαν τὸν σταυρὸν νομιζόντων. οὕτω δή, καὶ ἐν τούτοις, οὐ τὴν οὖσαν ἀσθένειαν λέγει, ἀλλὰ τὴν ὑποπτευομένην παρὰ τοῖς ἀπίστοις. οὐ γὰρ οὕτω φησίν, ὅτι ἀσθενὴς ὢν ἐσταυρώθη. ἅπαγε. ὅτι γὰρ ἠδύνατο μὴ σταυρωθῆναι, μᾶλλον πάντων ἔδειξε, νῦν μὲν ὑπερίους ῥίψας, νῦν δὲ τὰς ἀκτῖνας ἀποῤῥέψας, καὶ συκλῶν ξηράνας, καὶ τὰς ὄψεις τῶν ἐλθόντων ἐπ' αὐτὸν πηρώσας, καὶ μυρία ἕτερα ἐργασάμενος. τί οὖν ἐστιν ὅ φησιν ἐξ ἀσθενείας; ὅτι εἰ καὶ ἐσταυρώθη κίνδυνον ὑπέμεινε, καὶ ἐπιβουλήν. ἐδεξάμην γὰρ τὴν ἀσθένειαν κίνδυνον καλουμένην, καὶ ἐπιβουλήν,) ἀλλ' ὅμως οὐδὲν παρέβλαβεν. ταῦτα δὲ ἔλεγεν, εἰς τὰ καθ' ἑαυτὸν ἕλκων τὸ ὑπόδειγμα. ἐπεὶ δὴ γὰρ ἑώρων αὐτοὺς διωκομένους, ἐλαυνομένους, καταφρονουμένους, καὶ οὐκ ἀμυνομένους, οὐδὲ ἐπεξιόντας, διδάσκων αὐτοὺς, ὅτι οὐδὲ αὐτοὶ παρὰ ἀτονίαν ταῦτα πάσχουσιν, οὐδὲ παρὰ τὸ μὴ δύνασθαι ἐπεξιέναι, ἀνάγει τὸν λόγον ἐπὶ τὸν δεσπότην. ἐπεὶ καὶ αὐτός φησιν ἐσταυροῦτο, ἐδεσμεῖτο, μυρία ἔπασχε, καὶ οὐκ ἐπεξῄει, ἀλλ' ἔμενε, τὰ δοκοῦντα τῆς ἀσθενείας εἶναι ὑπομένων πράγματα, καὶ ταύτῃ τὴν δύναμιν ἐπιδεικνύμενος τὴν αὐτοῦ, ὅτι καὶ μὴ ἐπεξιὼν μὴ δὲ ἀμυνόμενος, οὐδὲν ὅλως παραβλάπτεται. τὴν γοῦν ζωὴν, οὐ διέκοψεν ὁ σταυρὸς, οὐδὲ ἐνεπόδισε τὴν ἀνάστασιν, ἀλλὰ ἀνέστη, καὶ ζῇ. ὅταν δὲ ἀκούσῃς σταυρὸν, καὶ ζωὴν, τὸν περὶ τῆς οἰκονομίας ἐκδέχου λόγον. περὶ γὰρ ταύτην ὁ πᾶς οὗτος λόγος. εἰ δὲ φησὶν ἐκλυόμενος θεοῦ, οὐχ' ὡς αὐτοῦ ἀτονοῦντος ζωογονῆσαι τὴν σάρκα, ἀλλὰ ἀδιάφορον αὐτῷ λέγειν, καὶ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ. εἰπὼν γὰρ ἐκλυόμενος θεοῦ, ἐκλυόμενος τῆς αὐτοῦ εἴρηκεν. ὅτι γὰρ καὶ αὐτὸς αὐτὴν ἀνέστησε, καὶ διαπρατεῖ, ἄκουσον αὐτοῦ λέγοντος. λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. εἰ δὲ ὅπερ αὐτοῦ ἐστι τοῦ πατρὸς εἶναι λέγει, μὴ θορυβηθῇς. πάντα γὰρ τὰ τοῦ πατρός μου ἐμά ἐστι φησι. καὶ πάλιν. πάντα τὰ ἐμά, σά ἐστι, καὶ τὰ σὰ ἐμά. ὥσπερ οὖν ἐκεῖνος ὁ σταυρωθεὶς οὐδὲν παρεβλάβη φησὶν, οὕτως οὐδὲ ἡμεῖς διωκόμενοι, πολεμούμενοι. διὸ καὶ ἐπάγει. Καὶ γὰρ καὶ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ ζησόμεθα ἐν αὐτῷ ἐκλυόμενοι θεοῦ. Τί ἐστιν ἀσθενοῦμεν ἐν αὐτῷ; διωκόμεθα, ἐλαυνόμεθα, τὰ ἔσχατα πάσχομεν. ἀλλὰ τί ἐστιν ἐν αὐτῷ; διὰ τὸ κήρυγμα φησι, καὶ τὴν πίστιν τὴν εἰς αὐτόν. εἰ δὲ τὰ σκυθρωπά, καὶ φορτικὰ ὑπομένομεν δι' αὐτὸν, δῆλον, ὅτι καὶ τὰ φαιδρά. διὸ καὶ ἐπήγαγεν. ἀλλὰ σωζόμεθα ἐν αὐτῷ ἐκλυόμενοι θεοῦ. Ἑαυτοὺς πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε. ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι Χς ἐν ὑμῖν ἐστιν εἰ μήτι ἀδόκιμοί ἐστέ; ἐλπίζω δὲ ὅτι γνώσεσθε, ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. Ἐπειδὴ γὰρ τῶν εἰρημένων ἔδειξεν, ὅτι εἰ καὶ μὴ ἐπεξέρχεται, οὐχ' ὡς οὐκ ἔχων τὸν χριστὸν ἐν ἑαυτῷ, ἀλλ' ὡς τὴν μακροθυμίαν τὴν ἐκείνου μιμούμενος τοῦ σταυρουμένου, καὶ μὴ ἀμυνομένου· πάλιν ἑτέρως τὸ αὐτὸ δεῖξαι ἐργάζεται, καὶ ἐκ πλείονος περιουσίας, ἀπὸ τῶν μαθητῶν καταισχύνων τὸν λόγον. τί γὰρ λέγω περὶ ἐμοῦ τοῦ διδασκάλου φησὶ, καὶ τοσαύτην ἔχοντος φρονῆσαι, καὶ τὴν οἰκουμένην ἅπασαν ἐμπεπιστευμένου, καὶ τοσαῦτα σημεῖα ποιοῦντος; ὑμᾶς γὰρ αὐτοὺς ἐὰν βουληθῆτε ἐξετάσαι τοὺς ἐν τάξει μαθητῶν ὄντας, εὑρήσετε ὅτι καὶ ἐν ὑμῖν ὁ χριστός. εἰ δὲ ἐν ὑμῖν, πολλῷ μᾶλλον ἐν τῷ διδασκάλῳ. εἰ

σπάλω. εἰ γαρ τὴν πίστιν ἔχετε, καὶ ἐν ὑμῖν χριστός. οἱ γαρ πισεύοντες τότε, ἐδαυμαςούργουν. διὸ καὶ ςήγαγεν, ἑαυτοὺς πειράζετε. ἑαυτοὺς δοκιμάζετε εἰ ἐςὲ ἐν τῇ πίστει. ἢ οὐκ ἐπιγινώσκετε ἑαυτούς, ὅτι χς ἐν ὑμῖν; εἰ μήτι ἀδόκιμοί ἐςε; εἰ δὲ ἐν ὑμῖν, πολλῷ μᾶλλον ἐν τῷ διδασκάλῳ. ἐμοὶ δὲ δοκεῖ πίστιν ἐνταῦθα λέγειν, καὶ τὴν τῶν σημείων. εἰ γαρ ἔχετε τὴν πίστιν ἐκείνῳ φησὶν, ὁ χς ἐν ὑμῖν ὤν, εἰ μήτι ἀδόκιμοι γεγόνατε. εἶδες πῶς πάλιν φοβεῖ, καὶ ἐκπεριουσιάσα δείκνυσι παρ' αὐτῷ ὄντα τὸν χν; ἐν τούτῳ δὲ γαρ μοι δοκεῖ, καὶ εἰς βίον αὐτοὺς αἰνίτ]εσθαι. ἐπειδὴ γαρ οὐκ ἀρκεῖ ἡ πίστις εἰς τὸ ἐπιωᾶσθαι τὴν ἐνέργειαν τὴν πνευματικὴν, εἶπε δὲ ὅτι εἰ ἐςὲ ἐν τῇ πίστει τὸν χριστὸν ἔχετε ἐν ἑαυτοῖς. συμβαινε δὲ πολλοὺς εἶναι ταύτης τῆς ἐνεργείας ἐρήμους πίστιν ἔχοντας, λύων τὴν ἀποείαν φησίν. εἰ μήτι ἀδόκιμοί ἐςὲ, εἰ μὴ βίον διεφθαρμένον ἔχετε. ἐλπίζω δὲ ὅτι γνώσεσθε, ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. τὸ ἀκόλουθον ἦν εἰπεῖν, εἰ δὲ ὑμεῖς ἀδόκιμοι γεγόνατε, ἀλλ' οὐχ ἡμεῖς. ἀλλ' οὕτω μὲν οὐ λέγει, ἵνα μὴ πλήξῃ. ἀμυδρῶς δὲ αὐτὸ αἰνίτ]εται, οὔτε ἀποφαινόμενος, καὶ λέγων, ὅτι ἀδόκιμοί ἐςὲ, οὔτε κατ' ἐρώτησιν προάγων, καὶ λέγων. εἰ δὲ ὑμεῖς ἀδόκιμοι. ἀλλὰ τοῦτο παραλιπὼν, αἰνιγματωδῶς αὐτὸ ἐνδείκνυται, ἐπάγων, ἐλπίζω δὲ ὅτι γνώσεσθε, ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. πάλιν κἀνταῦθα πολλὴ ἡ ἀσφάλεια, μέγας ὁ φόβος. ἐπειδὴ γαρ ἐντεῦθεν βούλεσθε φησὶ δι' ἧς εἰς ἡμᾶς κολάσεως τὴν δοκιμὴν λαβεῖν, οὐκ ἀποροῦμεν τοῦ δοῦναι ὑμῖν τὴν ἀπόδειξιν. ἀλλ' οὕτω μὲν οὐ λέγει. μετὰ πλείονος δὲ τοῦ βάρους, καὶ τῆς ἀσφαλείας. ἐλπίζω δὲ ὅτι γνώσεσθε, ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. ἔδει μὲν γὰρ καὶ χωρεῖς τοῦτο εἰδέναι ὑμᾶς φησὶ τὰ ἡμέτερα, καὶ ὅτι χν ἔχομεν ἐν ἑαυτοῖς λαλοῦντα, καὶ ἐνεργοῦντα. ἐπειδὴ δὲ καὶ διὰ τῶν ἔργων βούλεσθε λαβεῖν τὴν πεῖραν, εἰσεσθε ὅτι οὐκ ἐσμὲν ἀδόκιμοι. εἶτα ἐπειδὴ τὴν ἀσφαλειὰν ἐπανετείνατο, καὶ τὴν κόλασιν, λοιπὸν ἤδη θύρασ ἦγαγε, καὶ ἐν τρόμῳ κατέστησεν αὐτούς, καὶ προσδοκᾶν ἐποίησε τιμωρίαν. ὅρα πῶς πάλιν καταγλυκαίνει τὸν λόγον, καὶ παραμυθεῖται τὸν φόβον, καὶ δείκνυσιν αὐτῷ τὸ ἀφιλότιμον, τὸ πρὸς τοὺς μαθητὰς κηδεμονικὸν, τὸ φιλόσοφον τῆς γνώμης, τὸ ὑψηλὸν καὶ ἀκενόδοξον. ταῦτα γὰρ ἅπαντα δείκνυσι δι' ὧν ἐπάγει λέγων.

» Εὐχόμαι δὲ πρὸς τὸν θεὸν, μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδὲν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν,
» ἀλλὰ ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀ-
» ληθείας, ἀλλ' ὑπὲρ τῆς ἀληθείας. χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνα-
» τοὶ ἦτε. τοῦτο γὰρ, καὶ εὐχόμεθα τὴν ὑμῶν κατάρτισιν. Τί ταύτης ἴσον γένοιτ' ἂν τῆς ψυχῆς; κατεφρονεῖτο, διεσύρετο, ἐκωμῳδεῖτο, ἐχλευάζετο, ὡς δύσκολος, ὡς δύσκαταφρόνητος, ὡς ἀλαζών, ὡς κομπάζων μὲν ἀπὸ τῶν ῥημάτων, ἔργῳ δὲ τῶν πραγμάτων, οὐδὲν μικρὸν δεῖξαι ἰσχύων τὴν ἑαυτοῦ ἰσχύν. καὶ οὐ μόνον αὐτὰ βάλλεται, οὐδὲ μόνον ἀναδύεται, ἀλλὰ καὶ δύσκεται, μὴ ἐμπεσεῖν εἰς τοιαύτην ὑπόθεσιν. δύχομαι γάρφησι, μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. τί ὄφιν ὁ λέγει; παρακαλῶ τὸν θεόν φησιν, ἱκετεύω μηδένα δύρεῖν ἀδιόρθωτον, μᾶλλον δὲ οὐδὲ ἕνα μόνον, ἀλλὰ μὴ δὲ τὴν ἀρχὴν ἁμαρτεῖν. μὴ ποιῆσαι γαρ' ὑμᾶς φησι μηδέν. εἰ δὲ καὶ ἄρα ἁμάρτητε, μεταβάλλεσθαι, καὶ προλαβόντας διορθώσασθαι, καὶ πᾶσαν ἀποκρούσασθαι ὀργήν. οὐδὲ γαρ ἕνεκα κατευδαίζω, ἵνα οὕτω δόκιμοι ὦμεν, ἀλλὰ

τοῦ ἀντίου

τοῦ ἀντίον ἅπαν, ἵνα μὴ ἡμεῖς δύνημοι φανῶμεν. εἰ γὰρ μένετε φησὶν ἀμετανόητα ἁμαρτάνοντες, ἀνάγκη ὑμᾶς κολάζειν, πιμωρεῖσθαι, πηροῦν ὑμῶν τὰ σώματα. ὅπερ οὐδὲ σαπφείρασ, καὶ οὐδὲ τῷ μάγου γέγονε. καὶ ἐδώκαμεν δύνημιν τῆς δωμάτεως. ἀλλ' οὐκ βύχόμεθα θεῷ, ἀλλὰ τοῦ ἀντίον, ἵνα μήτε ἡμεῖς οὕτω δύνημοι φανῶμεν. τουτέστιν ἵνα μὴ οὕτω τῇ δυνάμει ἐπιδείξαίμεθα τῆς δωμάτεως τῆς ἐν ἡμῖν, ἀφ' τῷ κολάζειν ὑμᾶς, καὶ πιμωρεῖσθαι ἁμαρτάνοντας, καὶ ἀνίατα νοσοῦντας, ἀλλὰ τί; ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, θεῷ βύχόμεθα, ἵνα ἀεὶ ἐν ἀρετῇ, ἀεὶ ἐν διορθώσει, ἡμεῖς δὲ ὡς βύ δύνημοι ὦμεν, οὐκ ἐπιδεικνύμενοι ἡμῶν τῇ πιμωρητικῇ δυνάμιν. καὶ οὐκ εἶπεν ἀδύνημοι. οὐ γὰρ ἔμελλεν εἶναι ἀδύνημος εἰ καὶ μὴ ἐκόλασεν, ἀλλὰ διὰ τοῦτο μὲν οὖν θεῷ, δύνημος. ἀλλ' εἰ καί τινες ὑποβλύουσιν ὑμᾶς φησι, μὴ ἐπιδεικνυμένους τῇ ἰσχυῇ ἡμῶν, βύκαταφρονήτους εἶναι, καὶ ἀτερρίμμένους, οὐδὲν ἡμῖν μέλει τούτου. βέλτιον ἡμᾶς θεῷ νομίζεσθαι παρ' ἐκείνοις, ἢ ἐν ταῖς πληγαῖς, καὶ τῷ διορθωτῷ τῆς γνώμης, τῇ δυνάμει ᾗ ἔδωκεν ὁ θεὸς ἐπιδείκνυσθαι. οὐ γὰρ δυνάμεθα κατὰ τῆς ἀληθείασ, ἀλλ' ὑπὲρ τῆς ἀληθείασ. ἵνα γὰρ μὴ δόξῃ αὐτοῖς χαρίζεσθαι. (θεῷ γάρ ἐστιν ἀκενοδόξου γνώμης.) ἀλλ' ὅπερ ἡ τοῦ πράγματος ἀπαιτεῖ φύσις ποιεῖν, θεῷ ἐπήγαγε λέγων. οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείασ. ἀν γὰρ βύρωμεν φησὶν ὑμᾶς βύδυνημωθῶντας, ἀποπρουσαμένους τὰ ἁμαρτήματα ἀφ' τ μετανοίασ, παρρησίαν πρὸς τὸν θεὸν ἐχθρώτας, οὐδὲ δυνησόμεθα, κἂν βουληθῶμεν, κολάσαι λοιπόν. ἀλλὰ κἂν ἐπιχειρήσωμεν, οὐ συμπράξει ὁ θεός. εἰς θεῷ γὰρ ἡμῖν ἔδωκε τῇ δύναμιν, ὥστε ἀληθῆ φέρειν τὴν ψῆφον, καὶ δικαίαν, καὶ οὐχ ὑπεναντίαν τῇ ἀληθείᾳ. εἶδες πῶς πανταχόθεν ἀνεπαχθῆ ποιεῖ τὸν λόγον, καὶ παραμυθεῖται τῆς ἀτειλῆς τὸ πραχύ; πλὴν ἀλλ' ὡς περ θεῷ ἐαυτοῦ δοκεῖν, οὕτω βούλεται, καὶ τῇ αὐτῷ δεῖξαι γνώμην ὠκειωμένην αὐτοῖς. διὸ καὶ ἐπήγαγε. χαίρω μὲν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε. θεῷ δὲ καὶ βύχόμεθα, τῇ ἡμῶν κατάρτισιν. μάλιστα μὲν γὰρ φησιν, οὔτε δυνάμεθά τι κατὰ τῆς ἀληθείασ, τουτέστιν βύ ἀρεσθῶντας ὑμᾶς κολάσαι. πλὴν ἐπειδὴ οὐ δυνάμεθα, διὰ θεῷ οὐ βουλόμεθα, καὶ τοῦ ἀντίον ἐπιθυμοῦμεν. ἀλλὰ καὶ διὰ τοῦτο μὲν οὖν θεῷ, μάλιστα χαίρομεν, ὅταν μὴ βύρωμεν ὑμᾶς ἀφορμὴν ὑμῖν παρέχοντας τῷ δεῖξαι ἡμῶν τὴν δύναμιν τῇ ἐπὶ τῇ κολάσει. εἰ γὰρ καὶ τὸ τὰ τοιαῦτα ποιεῖν λαμπρους δείκνυσι, καὶ δυνάμους, καὶ ἰσχυρούς, ἀλλ' ἡμεῖς τὸ ἐναντίον βουλόμεθα ὑμᾶς δυνάμους εἶναι, καὶ ἀληθοῦς, καὶ ἡμᾶς μηδέποτε τὴν ἐντεῦθεν καρποῦσθαι δόξαν. διὸ φησί. χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν. ὅταν νομίζωμεθα ἀσθενεῖς. οὐχ ὅτε ἐσμὲν ἀσθενεῖς, ἀλλ' ὅτε νομίζόμεθα ἀσθενεῖς. θεῷ γὰρ ἐνομίζοντο παρὰ τοῖς ἐχθροῖς, οὐκέτι δεικνύμενοι τὴν ἀμωρητικὴν αὐτῶν δύναμιν. ἀλλ' ὅμως χαίρομεν, ὅταν οὕτως ἀναγραφῆτε, ὥστε μὴ παρασχεῖν ἡμῖν πρόφασιν τοῦ πιμωρεῖσθαι ὑμᾶς. καὶ ἡμῖν θεῷ ἡδύ, ὅταν οὕτω νομίζώμεθα ἀσθενεῖς, μόνον ὑμεῖς ἵνα ἀληθοῖ ἦτε. διὸ ἐπάγει. ὑμεῖς δὲ δυνατοὶ ἦτε. τουτέστι δύνημοι, ἐνάρετοι, καὶ οὐ μόνον βουλόμεθα ταῦτα, ἀλλὰ βύχόμεθα τοῦτο, ἀληθοῦς ὑμᾶς εἶναι. τετελειωμένους. μηδεμίαν παρέχοντας λαβὴν ἡμῖν.

Η' Ησιόν.

Τοῦτο δολάγχνου παρρησίου. τῆς οἰήσασ δύδυνημίστως τ σωτηρίαν προξιμᾶν τ μαθητῶν. θεῷ ψυχῆς ἀκενοδόξου. τότε μάλιστα ἀπαλλάττει τῶν σωδεσμῶν τοῦ σώματος, καὶ με-

τεωρίζεσθαι

τεωρίζεσθαι ποιεῖ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, τὸ τῆς δόξης εἶναι τῆς κενῆς καθαρόν, ὥσπερ οὖν τὸ ἐναντίον, εἰς πολλὰ ἄγει τὰ ἁμαρτήματα. οὐ γάρ ὅτι μὴ καθαρεύοντα δόξης κενῆς, ὑψηλὸν γενέσθαι, καὶ μέγαν, καὶ γενναῖον, ἀλλὰ ἀναγκαῖα μαὶ σύρεσθαι, καὶ πολλὰ διαφθείρειν, δουλεύοντα μαρᾷ δεωτίνῃ, καὶ βαρβάρου πάντως ἀπηνεστέρᾳ. τί γὰρ αὐτῆς ἀμριώτερον γένοιτ' ἄν, ἢ ὅταν μάλιστα δοξαστεύηται, τότε μάλιστα ἀμριοῦται; καίτοιγε ἐκεῖνα οὐδὲ τὰ θηρία ἔχει, ἀλλὰ τῇ πολλῇ ἀθαασταίνεται δοξαστείᾳ. ἡ δὲ κενοδοξία, τοὐναντίον ἅπαν. καταφρονουμένη μὲν, ἡμεροῦται, ἀμωμένη δὲ, ἀγριοῦται, καὶ ὁπλίζεται κατὰ τῶν πιόντος. ταύτην ἀμήσαντες οἱ ἰουδαῖοι μετὰ πολλῆς τῆς σφοδρότητος ἐκολάθησαν. ταύτην ἀμήσαντες οἱ μαθηταὶ ἐστεφανώθησαν. καὶ τί λέγω κόλασιν, καὶ στεφάνους; εἰ γὰρ αὐτὸ τὸ φαντάσαι λαμπροὺς μάλιστα τῷ διαπύειν αὐτὴν συντελεῖ, ὅψει καὶ ταῦτα τοὺς μὲν πιόντας αὐτὴν, παραβλαπτομένους, τοὺς δὲ ἀμήσαντας, ὠφελουμένους. οἱ μὲν γὰρ ἀμήσαντες αὐτὴν μαθηταί. οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ πάλιν χρήσασθαι ὑποδείγματι. ἢ τὰ τοῦ θεοῦ προπιμήσαντες, ὑπὲρ τὸν ἥλιον λάμπουσιν, ἀθάνατον κτησάμενοι μνήμην, καὶ μετὰ τελευτήν. οἱ δὲ ὑποκατακλιθέντες αὐτῇ ἰουδαῖοι, ἀπόλιδες, ἀνέστιοι, ἄτιμοι, φυγάδες, ἀνάστατοι, δυστελεῖς, δυκαταφρόνητοι. καὶ σὺ τίνων εἰ βούλει δόξαν λαβεῖν, διάκρουσαι δόξαν. εἰ δὲ διώκεις δόξαν, ἐκπέσῃς δόξης. καὶ εἰ βούλεσθε, σαφῶν καὶ ἐν τοῖς βιωτικοῖς τὸν λόγον γυμνάσωμεν. τίνας γὰρ σκώπτομεν ἐν τοῖς σκώμμασιν; οὐχὶ τοὺς ἐφιεμένους αὐτῆς; οὐκοῦν μάλιστα οὗτοί εἰσιν οἱ ταύτης ἀπεστερημένοι, μυρίους ἔχοντες κατηγόρους, μὴ παρὰ πάντων ἀμαζόμενοι. τίνας δὲ θαυμάζομεν εἰκότως; οὐ τοὺς καταφρονοῦντας αὐτῆς; οὐκοῦν οὗτοί εἰσιν οἱ δεξαζόμενοι. ὥσπερ γὰρ πλούσιος οὐχ ὁ πολλῶν δεόμενος, ἀλλ' ὁ μηδενὸς, οὕτως ἔνδοξος, οὐχ ὁ δόξης ἐρῶν, ἀλλ' ὁ ταύτης ὑπερορῶν. σκιὰ γὰρ δόξης ἐστὶν αὕτη ἡ δόξα. οὐδεὶς ἄρτον εἰδὼν ἐξωγραφημένον, κἂν μυριάκις ὑπὸ λιμοῦ κατέχηται, τῆς γραφῆς ἅψεται. μὴ τοίνυν μηδὲ σὺ διώκετε τὰς σκιάς. σκιὰ γὰρ δόξης τὸ οὐ δόξα. καὶ ἵνα μάθῃς, ὅτι ὄντως ὄντων ἔχει τὸν τρόπον, ἐκεῖνο λογίζου. ὅταν διαβάλληται παρὰ αὐθρώποις τὸ πρᾶγμα. ὅταν φθονερὸν εἶναι δοκῇ τοῖς πᾶσι, καὶ αὐτοῖς τοῖς ἐπιθυμοῦσιν αὐτοῦ. ὅταν αἰσχύνηται καλούμενος ἐντεῦθεν ὁ ἔχων, ἢ ὁ ἐφιέμενος αὐτῆς. πόθεν οὖν ἡ ἐπιθυμία φησὶν αὕτη; καὶ πῶς γίνεται τὸ πάθος; ἀπὸ μικροψυχίας. οὐ γὰρ δεῖ καταγορεῖν μόνον, ἀλλὰ καὶ διορθοῦσθαι, ἀπὸ ἀτελοῦς διανοίας, ἀπὸ παιδικῆς γνώμης. παυσώμεθα τοίνυν παῖδες ὄντες, καὶ γενώμεθα αὐδρες, καὶ πανταχοῦ τιμῶ ἀλήθειαν μὴ τὰς σκιὰς διώκωμεν, καὶ ἐν πλούτῳ, καὶ ἐν ἡδονῇ, καὶ ἐν τρυφῇ, καὶ ἐν δόξῃ, καὶ ἐν δωρεαῖς, καὶ παύσεται τὸ νόσημα ἁπλοῦν, καὶ ἕτερα πλείονα. τὸ γὰρ σκιὰς διώκειν, μανομένου. διὸ καὶ ὁ παῦλος ἔλεγεν. ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε. ὅτι γὰρ καὶ ἑτέρα μανία χαλεπωτέρα ἐκείνης, τῆς ἀπὸ τῶν δαιμόνων, τῆς ἀπὸ τῆς φρονπίδος, ἡ μὲν γὰρ ἔχει συγγνώμην, αὕτη δὲ ἀπολογίας ἐστέρηται, ὅταν αὐτῇ ἡ ψυχὴ διεφθαρμένη ᾖ, καὶ μὴ ὀρθὴ ἡ κρίσις αὐτῆς, ἀπολωλῦα. καὶ τὸ μὲν τῆς φρονπίδος ὄργανον, ὅτι σωματικὸν πάθος. αὕτη δὲ ἡ μανία, τοῦ τεχνίτου νοῦ. ὥσπερ οὖν τῶν πυρετῶν ἐκεῖνοι χαλεπώτεροι, καὶ ἀνίατοι οἱ τῶν φρενῶν ἀπτόμενοι σωμάτων, καὶ τοῖς νεύροις ἔνδον σμύχοντες, καὶ ταῖς φλέβεσιν ἀναπεπυρυμένοι, οὕτω δὴ καὶ αὕτη ἡ μανία, ὅταν δὴ αὐτῇ τῇ διανοίᾳ ἔνδον σμύχει, διαφρέφουσα αὐτὴν, καὶ λυμαινομένη.

μαινομένη. πῶς γὰρ οὐ μανίᾳ λαμπρᾷ, καὶ σαφῆς, καὶ μανίᾳ ἁπάσης χαλεπώτερον πάθος, τῶν μὲν μενόντων δικαίως καταφρονεῖν, τῶν δὲ ἀπολλυμένων ἔχεσθαι μετὰ πολλῆς τῆς σπουδῆς; εἰ γὰρ ἐμοί, εἴτις αὔλημον ἐδίωκεν, ἢ κρατεῖν ἐπεχείρει, οὐκ ἂν ἔφαμεν αὐτὸν μαίνεσθαι; εἴτις γὰρ τὴν μὲν γυναῖκα ἐμίσει τῇ ἑαυτοῦ, περιεπλέκετο δὲ αὐτῆς τῇ σκιᾷ. ἢ τὸν μὲν υἱὸν ἀπεσφέφετο, τῇ δὲ τούτου σκιᾷ πάλιν ἐφίλει. ἆρα οὐχ ἕτερον ἐζήτησας σημεῖον τούτου σαφέστερον εἰς ἀπόδειξιν μανίας; τοιοῦτοι ἐσμὲν καὶ οὗτοι οἱ πρὸς τὰ παρόντα κεχηνότες. καὶ γὰρ πάντα σκιά, κἂν δόξαν εἴπῃς, κἂν δυναστείαν, κἂν δυσωνίμησιν, κἂν πλοῦτον, κἂν τρυφήν, κἂν ὁτιοῦν ἕτερον βιωτικόν. λέγει δὴ καὶ, καὶ ὁ προφήτης ἔλεγε. μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράττεται. καὶ πάλιν. αἱ ἡμέραι ἡμῶν, ὡς σκιὰ ἐκλίθησαν. καὶ ἀλλαχοῦ καπνόν, καὶ ἄνθος χόρτου καλεῖ τὰ ἀνθρώπινα. οὐ τὰ χρηστὰ δὲ σκιὰ μόνον, ἀλλὰ, καὶ τὰ λυπηρὰ, κἂν θάνατον εἴπῃς, κἂν πενίαν, κἂν ἀῤῥωστίαν, κἂν ὁτιοῦν ἕτερον. οἷα οὖν τὰ μένοντα, καὶ τὰ χρηστὰ, καὶ τὰ λυπηρὰ, ἡ βασιλεία καὶ αἰώνιος, καὶ ἡ γέεννα ἡ διηνεκής. οὔτε γὰρ ὁ σκώληξ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται. καὶ ἀναστήσονται οὗτοι, εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον. ἵν' οὖν τὴν μὲν φύγωμεν, τῆς δὲ, ἀπολαύσωμεν, ἀφέμενοι τῆς σκιᾶς, ἐχώμεθα τῶν ἀληθινῶν πραγμάτων μετὰ σπουδῆς ἁπάσης. οὕτως γὰρ ἐπιτευξόμεθα τῆς βασιλείας τῶν οὐρανῶν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, λ'.

» Διαλέγομαι ταῦτα ἀπὼν γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι, κατὰ τὴν ἐξουσίαν, ἣν » ἔδωκέ μοι ὁ κς, εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν. Ἤδη τοι καὶ σφοδρότερον διαλεχθείς, καὶ μάλιστα πρὸς τῷ τέλει τῆς ἐπιστολῆς. καὶ γὰρ ἔμπροσθεν ἔλεγεν. αὐτὸς δὲ ἐγὼ παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραΰτητος, καὶ ἐπιεικείας τοῦ χυ. ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαῤῥῶ εἰς ὑμᾶς. δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ᾗ λογίζεται τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς κατὰ σάρκα περιπατοῦντας, καὶ ἐν ἑτοίμῳ ἔχοντας ἐκδικῆσαι πᾶσαν παρακοήν. ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. μὴ φοβοῦμαι μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, καὶ ἐγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε. καὶ πάλιν, μή πως ἐλθόντα με ταπεινώσῃ ὁ θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ, καὶ ἀκαθαρσίᾳ ἧ ἔπραξαν. καὶ μετὰ ταῦτα, προείρηκα, καὶ προλέγω, ὡς παρὼν τὸ δεύτερον, μὴ ἀπὼν νῦν γράφω. ὅπερ ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος χυ. ἐπεὶ οὖν ταῦτα τε, καὶ ἕτερα πλείονα εἴρηκε, φοβῶν, ἐντρέπων, ὀνειδίζων, καθαιρῶν, ἀπολογούμενος ὑπὲρ ἁπάντων, φησί. διαλέγομαι ταῦτα ἀπὼν γράφω, ἵνα μὴ παρὼν ἀποτόμως χρήσωμαι. βούλομαι γὰρ ἐν τοῖς γράμμασι κεῖσθαι τὴν ἀποτομίαν, ἀλλὰ μὴ ἐν τοῖς πράγμασι. βούλομαι σφοδρὰς εἶναι τὰς ἐπιστολάς, ἵνα μείνωσιν ἀπειλαί, καὶ μὴ εἰς ἔργον ἐξέλθωσιν. πάλιν καὶ ἐν ταύτῃ τῇ ἀπολογίᾳ, φοβερώτερον ποιεῖ τὸν λόγον. καὶ δεικνὺς ὅτι οὐκαιρός ἐστιν, ὁ μέλλων κολάζειν, ἀλλ' ὁ δι. ἐπήγαγε γὰρ κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκέ μοι ὁ κς. καὶ πάλιν δεικνὺς ὅτι οὐκ ἐπιθυμεῖ, τῇ ἐξουσίᾳ εἰς τὴν ἐκείνων ἀποχρήσασθαι τι-

μωρίαν. προσέθηκε γάρ, οὐκεὶς καθαίρεσιν, ἀλλ' εἰς οἰκοδομήν. καὶ ἠνίξατο μὲν διὰ τοῦ νῦν, ὅπερ ἔφην. ἀλλὰ κατέλιπεν αὐτοῖς ἀναλογίσασθαι, ὅτι ἐὰν ἀδιόρθωτοι μείνωσι, πάλιν οἰκοδομή ἐστι τὸ τοὺς οὕτω διακειμένους κολάζειν. καὶ γὰρ οὕτως ἔχει, καὶ διὰ τοῦ νῦν οἶδε, καὶ διὰ τῶν ἔργων ἔδειξε. Τὸ λοιπὸν ἀδελφοὶ χαίρετε καταρτίζεσθε, παρακαλεῖ-
» σθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε, καὶ ὁ θεὸς τῆς ἀγάπης, καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν. Τί ἐστι τὸ λοιπὸν ἀδελφοὶ χαίρετε; ἐλύπησας, ἐφόβησας, εἰς ἀγωνίαν ἐνέβαλες, τρέμειν ἐποίησας, καὶ δεδοικέναι, καὶ πῶς κελεύεις χαίρειν; διὰ τοῦτο μὲν οὖν διὰ τοῦ νῦν κελεύω χαίρειν. εἰ γὰρ τὰ παρ' ὑμῶν φησι κωλυθήσεται τοῖς παρ' ἐμοῦ, οὐδὲν ἔσται τὸ κωλῦον τὴν χαράν. τὰ μὲν γὰρ ἐμὰ ἅπαντα γέγονεν. ἐμακροθύμησα, ἀνεβαλόμην, οὐκ ἐξεκοψα, παρεκάλεσα, συνεβούλευσα, ἐφόβησα, ἠτειλησα, ὥστε πάντα χόθεν ὑμᾶς σωσαγαγεῖν, εἰς τὸν τῆς μετανοίας καιρόν. δεῖ δὲ λοιπὸν γενέσθαι τὰ παρ' ὑμῶν. καὶ οὕτως ἀμφοτέρων ὑμῖν ἡ χαρά. καταρτίζεσθε. τί δήποτε καταρτίζεσθε; τέλειοι γίνεσθε, ἀναπληροῦτε τὰ λείποντα, παρακαλεῖσθε. ἐτειδὴ γὰρ πολλοί ἦσαν οἱ πειρασμοί, καὶ μεγάλοι οἱ κίνδυνοι, φησὶ παρακαλεῖσθε, καὶ ὑπ' ἀλλήλων, καὶ ὑφ' ἡμῶν, καὶ ἀπὸ τῆς τοῦ βέλτιον μεταβολῆς. εἰ γὰρ ἀπὸ τοῦ σωτῆρος γένοιτο χαρά, καὶ τέλειοι καταστήσητε, οὐδὲν λείψει εἰς βυθυμίαν ὑμῖν, καὶ παράκλησιν. οὐδὲν γὰρ οὕτω ποιεῖ παράκλησις, ὡς κατορθοῦν σωτῆρος. κἂν μυρίοι περικέωνται πειρασμοί. τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε. ὃ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἐκπροοιμιώνηπτεν. ὅτι γὰρ καὶ τὸ αὐτὸ φρονεῖν, καὶ μὴ εἰρηνεύειν. ὅταν ἐν τοῖς δόγμασι συμβαίνωσι τινές, ἐν δὲ τοῖς πρὸς ἀλλήλους διαφασιάζωσιν. ἀλλὰ ἀμφότερα ὁ παῦλος ἀπαιτεῖ. καὶ ὁ θεὸς τῆς ἀγάπης, καὶ τῆς εἰρήνης, ἔσται μεθ' ὑμῶν. οὐ γὰρ δὴ μόνον παραινεῖ, καὶ συμβουλεύει, ἀλλὰ καὶ εὐχέται. ἢ γὰρ εὐχέται θεὸς, ἢ προλέγει τὸ ἐσόμενον, μᾶλλον δὲ ἀμφότερα. ἐὰν γὰρ ταῦτα ποιῆτε φησὶ, οἷον ἐὰν τὸ αὐτὸ φρονῆτε, καὶ εἰρηνεύητε, ἔσται καὶ ὁ θεὸς μεθ' ὑμῶν. ἀγάπης γάρ ἐστιν ὁ θεὸς, καὶ εἰρήνης, καὶ τούτοις χαίρει, τούτοις εὐφραίνεται. ἐντεῦθεν ὑμῖν καὶ εἰρήνη ἀπὸ τῆς ἀγάπης αὐτοῦ. ἐντεῦθεν τῶν κακῶν ἡ ἀναίρεσις ἁπάντων. αὕτη τὴν οἰκουμένην ἔσωσεν, αὕτη τὸν χρόνιον πόλεμον κατέλυσεν. αὕτη τῷ οὐρανῷ τὴν γῆν ἀνέμιξεν. αὕτη τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε. ταύτην τοίνυν καὶ ἡμεῖς ἀγαπήσωμεν. μυρίων γὰρ ἀγαθῶν μήτηρ ἡ ἀγάπη. διὰ ταύτης ἐσώθημεν, διὰ ταύτης ἡμῖν τὰ ἀπόῤῥητα ἀγαθὰ ἅπαντα. εἶτα ἐ-
» ναίνων αὐτοὺς εἰς ταύτην φησί. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Τί ἐστιν ἁγίῳ; μὴ ὑπούλῳ, μὴ δολερῷ, καθάπερ ὁ Ἰούδας τὸν κύριον ἐφίλησε. διὰ γὰρ τοῦτο τὸ φίλημα δέδοται, ἵνα ἐμπύρευμα τῆς ἀγάπης γένηται, ἵνα ἀνακαίνῃ τὴν διάθεσιν, ἵνα οὕτως ἀλλήλους φιλῶμεν, ὡς ἀδελφοὺς ἀδελφοί, ὡς παῖδες πρᾳεῖς, ὡς πρεσβύτας παῖδας. μᾶλλον δὲ καὶ πολλῷ πλείονα. ἐκεῖνα μὲν γὰρ φύσεως, ταῦτα δὲ χάριτος. οὕτως αἱ ψυχαὶ ἀλλήλαις συνδέονται. διὰ τοῦτο καὶ ἐξ ἀποδημίας ἐπανιόντες, ἀλλήλους φιλοῦμεν, τῶν ψυχῶν ἐπιγινομένων, εἰς τὴν πρὸς ἀλλήλους συνουσίαν. θεὸς γὰρ μάλιστα ὅτι τὸ μέλος τὸ τῆς ψυχῆς κηρύττον ἡμῖν. διὰ δὲ τοῦ φιλήματος τούτου τοῦ ἁγίου, ὅτι μὴ ἕτερον λόγον εἰπεῖν. ποῖον δὴ θεὸν; ναὸς ἐσμὲν τοῦ θεοῦ, τὰ τοίνυν πρόθυρα φιλοῦμεν τοῦ ναοῦ, καὶ τὴν εἴσοδον, ἀλλήλους φιλοῦντες. ἢ οὐχ ὁρᾶτε, ὅσοι καὶ τὰ πρόθυρα τοῦ ναοῦ τούτου φιλοῦσιν. οἱ μὲν, κύψαντες. οἱ δὲ, τῇ χειρὶ κατέχοντες. καὶ τῷ στόματι τὴν χεῖρα προσάγοντες, καὶ διὰ τούτων

τῶν ξυλῶν

τῶν πυλῶν, καὶ τῶν θυρῶν, καὶ εἰσῆλθε, καὶ εἰσέρχεται πρὸς ἡμᾶς ὁ Χς, ἵνα καὶ αὐ κοινωνῶμεν. ἵνα οἱ τῶν μυστηρίων μετέχοντες τὸ λεγόμενον. καὶ γὰρ οὐχ ὡς ἔτυχε τὸ σῶμα ἡμῶν τε πίμπλαται δεχόμενον τὸ σῶμα τὸ θεοπρεπές. διαφθορᾶς μάλιστα ἐντεῦθεν φιλοῦμεν. ἀκουέτωσαν οἱ αἱρεσιάρχαι φθεγγόμενοι, οἱ λοιδορίας ἐξάγοντες, καὶ φειδέσθωσαν, οἷον κατασχίζουσι σῶμα. ἀκουέτωσαν οἱ αἱρεσῶται φιλοσῶτες. ἄκουσον οἷα ἔχρισε διὰ τοῦ σώματός σου ὁ θεός, μὴ φύλαξον αὐτὸ ἀκηλίδωτον. περὶ τῆς μελλούσης ζωῆς διελέχθη, περὶ ἀναστάσεως, περὶ ἀθανασίας, ὅτι ὁ θάνατος, οὐ θάνατος, τὰ ἄμωμα μυστήρια ἀπόῤῥητα. ὥσπερ γὰρ εἰς χρηστήριον παραγίνεται πρὸς τὸ σῶμα τὸ ἱερεὺς ὁ μυσταγωγεῖσθαι μέλλων. ἀκούσωμεν ὅσα περ ἐπὶ φείκης μετά. καὶ γὰρ ἀπώλεσεν αὐτὸ τὴν ζωὴν ἐκπεσόντων, καὶ ἔρχεται αὐτὴν ἀναζητήσων, καὶ ἐρωτήσων, πῶς αὖ αὐτὴν εὕροι, καὶ ἀνακτήσαιτο. εἶτα αὐτῷ ὁ δεσπότης πῶς αὖ εὑρεθείη, καὶ γίνεται τὸ ἱλαστήριον τὸ σῶμα τοῦτο φεικωδέστερον. ἐκεῖνο μὲν γὰρ τὸ ἱλαστήριον, οὐδαμοῦ τοιαύτην ἠφίει φωνήν. ἀλλὰ πολὺ περὶ ἐλαττόνων διελέγετο πραγμάτων, περὶ πολέμων, καὶ εἰρήνης τῆς κάτω. ταῦτα δὲ ἅπαντα περὶ οὐρανοῦ, καὶ τῆς μελλούσης ζωῆς, καὶ πραγμάτων καινῶν, καὶ διανοιῶν ὑπερβαινόντων. εἰπὼν δὲ ἀσπάσασθε
» ἀλλήλους ἐν φιλήματι ἁγίῳ, ἐπήγαγεν. Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες. Καὶ τεύ-
ξεν διδοὺς αὐτοῖς χρηστὰς ἐλπίδας, οὗτος προέμαψεν ἀντὶ τοῦ φιλήματος, διὰ τῆς προσρήσεως αὐτοὺς σωφρονῶν. ἀπὸ γὰρ τοῦ αὐτοῦ τόματος, οὗ τὸ φίλημα πρόεισι, καὶ τὰ ῥήματα. εἶδες πῶς ἅπαντας σωφρονεῖ; καὶ τοὺς πόῤῥωθεν διεφθαρμένους τοῖς σώμασι, καὶ τοὺς πλη-
» σίον; τοὺς μὲν, διὰ τοῦ φιλήματος, τοὺς δὲ, διὰ τῶν γραμμάτων; Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰη-
» σοῦ Χοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, μετὰ πάντων ὑμῶν ἀμήν. Εἶτα δὴ σωφρονεῖ αὐτοὺς ἀλλήλους διὰ τῶν ἀσπασμῶν, καὶ τῶν φιλημάτων, πάλιν εἰς βυθὸν καταλύει τὸν λόγον, μὴ πολλῆς τῆς ἀκριβείας σωφρονῶν αὐτοὺς, καὶ τῷ θεῷ. πολλοὶ γὰρ οἱ λέγοντες. Ὅτι δὴ οὐκ ἐντέτακται τὸ πνεῦμα τὸ ἅγιον ἐν τοῖς προοιμίοις τῶν Ἐπιστολῶν, οὐκ ἄδηλον τῆς αὐτῆς οὐσίας. ἰδοὺ γὰρ γράφει μὴ τοῦ πατρὸς αὐτὸ κατέλεξε, καὶ τοῦ υἱοῦ. χωρεῖς δὲ τούτου, καὶ κεῖνο εἰπεῖν. ὅτι κολοσσαεῖς ἔγραψε Παύλου, καὶ εἰπὼν, χάρις ὑμῖν, καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, τὸν υἱὸν ἐσήμηνε, καὶ οὐ προσέθηκεν, ὡς ἐν πάσαις ταῖς Ἐπιστολαῖς, καὶ κυρίου Ἰησοῦ Χοῦ. ἆρα οὖν οὐδὲ υἱὸς ἦν τῆς αὐτῆς οὐσίας διαφθορᾶς; ἀλλὰ ἑτέρας ζωῆς τοιαύτης. ἢ γὰρ αὐτὸ διαφθορᾶς μάλιστα δείκνυσι τῆς αὐτῆς οὐσίας ὄντα αὐτὸν τὸ διαφόρως κεχρῆσθαι τὸν παῦλον τούτῳ, καὶ οὗ οὐ τοσασμὸς τὸ εἰρημένον, ἄκουσον πῶς υἱοῦ, καὶ πνεύματος μέμνηται, καὶ τὴν πρᾶξιν ἀποσιγᾷ. ποιεῖν θεοῖς γὰρ φθορᾶς φθῆναι, ἀλλ' ἀτελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυ Ἰησοῦ Χοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ θυ ἡμῶν. πῶς οὖν εἰπέμοι, οὐκ ἐβαπτίσθησαν εἰς πρᾶξιν τοιαύτην; οὐκοῦν οὐδὲ ἀτελούσαντο, οὐδὲ ἡγιάσθησαν; ἀλλὰ ἐβαπτίσαντο ὥσπερ οὖν, καὶ ἐβαπτίσαντο. πῶς οὖν οὐκ εἶπεν, ὅτι ἀτελούσασθε ἐν τῷ ὀνόματι τοῦ πρᾶξιν ὃ τι ἀδιάφορον αὐτῷ, ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης μεμνῆσθαι τῆς ὑποθέσεως, καὶ βύθιος αὖ τοῦτο πολλαχοῦ τῶν ἐπιστολῶν τὸ ἔθος. καὶ γὰρ ῥωμαίοις γράφων, φησί. παρακαλῶ οὖν ὑμᾶς διὰ τῶν οἰκτιρμῶν τοῦ θυ. καίτοι καὶ τοῦ υἱοῦ ἐστὶν οἱ οἰκτιρμοί. καὶ παρακαλῶ δὲ ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ πνος. καίτοι καὶ τοῦ προς ὄντα

ἡ ἀγάπη. τίνος οὖν ἕνεκεν οὐκ ἐμνήσθη ἐν τοῖς οἰκείοις τ̃ υἱοῦ, οὐδὲ ἐν τῇ ἀγάπῃ τ̃ πατρός; ὅπως δῆλα, καὶ ὁμολογημένα ἐσίγησεν. εὑρεθήσεται δὲ καὶ τὰ δῶρα αὐτὰ πάλιν ἀντιφθόφως πᾶσι. εἰπὼν γὰρ ἡ χάρις τ̃ κυ̃, καὶ ἡ ἀγάπη τ̃ θεοῦ, καὶ ἡ κοινωνία τ̃ ἁγίου πν̃ός, ἀλλαχοῦ τὴν κοινωνίαν τ̃ υἱοῦ, καὶ τὴν ἀγάπην τ̃ πν̃ός φησι. παρακαλῶ γὰρ ὑμᾶς διὰ τ̃ς ἀγάπης τ̃ πν̃ός φησι. καὶ ἐν τῇ πρὸς κορινθίους. πιστὸς ὁ θ̃ς δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τ̃ υἱοῦ αὐτ̃. οὕτως τὰ τ̃ς τριάδος, ἀδιαίρετα. καὶ οὗ τ̃ πνεύματος ἐστὶν ἡ κοινωνία, εὑρέθη καὶ τ̃ υἱοῦ. καὶ τ̃ υἱοῦ ὅτιν ἡ χάρις, καὶ τ̃ πατρός, καὶ τ̃ ἁγίου πνεύματος. χάρις γὰρ ὑμῖν ἀπὸ θεοῦ πατρός. καὶ ἀλλαχοῦ πολλὰ αὐτ̃ς εἰδὴ καταλέξασα, ἐπήγαγε. πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν, καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. καὶ ταῦτα λέγω, οὐ συναλείφων τὰς ὑποστάσεις, ἄπαγε. ἀλλὰ εἰδὼς, καὶ τὸ τούτων ἰδιάζον, καὶ διηρημένον, καὶ τ̃ς οὐσίας τὴν ἑνότητα. μένωμεν τοίνυν καὶ τῶν δογμάτων τούτων τὴν ἀκρίβειαν ἔχοντες, καὶ τ̃ θεῦ τὴν ἀγάπην ἐπιστρώμενοι. πρότερον μὲν γὰρ μισοῦντας ἠγάπησε, καὶ ἐχθροὺς ὄντας κατήλλαξε, λοιπὸν δὲ ἀγαπῶντας ἀγαθοὺς εἶναι βούλεται.

Η' θεόν.

Μένωμεν τοίνυν ἀγαπῶντας αὐτὸν, ὥστε καὶ παρ' αὐτ̃ ἀγαπᾶσθαι. εἰ γὰρ παρὰ ἀνθρώπων δώρων ἀγαπώμενοι φοβεροὶ πᾶσιν ἐσμὲν, πολλῷ μᾶλλον παρὰ τ̃ θεῦ. κἂν χρήματα δέῃ, κἂν σώματα, κἂν αὐτὴν τὴν ψυχὴν ὑπὲρ ταύτης δοῦναι τ̃ς ἀγάπης, μὴ φεισώμεθα. οὐ γὰρ ἀρκεῖ τὸ διὰ ῥημάτων λέγειν, ὅτι ἀγαπῶμεν. ἀλλὰ χρὴ καὶ τὴν τῶν πραγμάτων παρέχειν ἀπόδειξιν. οὐδὲ γὰρ αὐτὸς διὰ ῥημάτων μόνον. ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ἔδειξε τὴν ἀγάπην. δεῖξον τοίνυν, καὶ σὺ διὰ τῶν ἔργων ταῦτα, καὶ ποίει τὰ δοκοῦντα αὐτ̃. οὕτω γὰρ αὐτὸς καρπώσῃ τὸ κέρδος πάλιν. ἐκεῖνος γὰρ οὐδενὸς δεῖται τῶν παρ' ἡμῶν. ὃ μὴ μάλιστα γνησίαν ἀγάπης, τὸ μὴ δεόμενον, μὴ δὲ ἐν χρείᾳ καθεστ̃τα πάντα ποιεῖν, ὑπὲρ τ̃ φιλεῖσθαι παρ' ἡμῶν. διὸ καὶ μωϋσῆς ἔλεγε. τί γὰρ ζητεῖ κ̃ς ὁ θ̃ς παρ' ὑμῶν, ἀλλ' ἢ ἀγαπᾶν αὐτόν; καὶ ἕτοιμον εἶναι σε τ̃ πορεύεσθαι ὀπίσω αὐτ̃; ὥστε ὅταν αὐτὸν κελεύῃ φιλεῖν, τότε μάλιστα δείκνυσιν, ὅπερ φιλεῖ. οὐδὲν γὰρ οὕτω συγκροτεῖ τὴν σωτηρίαν τὴν ἡμετέραν, ὡς τὸ αὐτὸν ἀγαπᾶν. ὅρα γοῦν, ὅτι καὶ τὰ ἐπιτάγματα αὐτ̃ πάντα, εἰς τὴν ἡμετέραν ἀνάπαυσιν, καὶ σωτηρίαν, καὶ εὐδιάθεσιν συντείνει. καὶ γὰρ ὅταν εἴπῃ μακάριοι οἱ ἐλεήμονες, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, μακάριοι οἱ πραεῖς, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ εἰρηνοποιοὶ, αὐτὸς μὲν οὐδὲν ἐντεῦθεν κερδαίνεται, ἡμᾶς δὲ καλλωπίζων, καὶ ῥυθμίζων ταῦτα ἐπιτάττει. καὶ ὅταν λέγῃ ἐπαινέσαι, οὐ δεόμενος τ̃ς παρ' ἡμῶν διακονίας, ἀλλὰ σὲ ἀλείφων εἰς φιλανθρωπίαν. ἠθέλησε γὰρ καὶ χωρὶς σοῦ τὸν πένητα τρέφειν. ἀλλὰ θησαυρόνσοι χαριζόμενος μέγιστον, ταῦτα ἐπέταξεν. εἰ γὰρ ὁ ἥλιος κτίσμα ὢν οὐδὲ δεῖται τῶν ἡμετέρων ὀφθαλμῶν. μένει γὰρ τὴν οἰκείαν φαιδρότητα ἔχων, κἂν μηδεὶς αὐτὸν ἐμβλέπῃ. οἱ δὲ κερδαίνοντες ἡμεῖς ἐσμὲν, ὅταν αὐτοῦ τ̃ς ἀκτῖνος ἀπολαύσωμεν, πολλῷ μᾶλλον τοῦ θεοῦ τ̃ συμβαίνει. ἵνα δὲ καὶ ἑτέρωθεν τὸ μάθῃς, πόσον εἶναι βούλεται τὸ μέσον τ̃ θεοῦ, καὶ ἡμῶν; ἄρα ὅσον κωνώπων, καὶ ἡμῶν; πολλῷ πλέον.

δῆλον

δῆλον ὅτι πολλῷ πλέον, καὶ ἄπειρον. εἰ τοίνυν ἡμεῖς οἱ κενόδοξοι τῆς παρὰ τῶν κωνώπων οὐ δεόμεθα βοηθείας, ἡ δόξης, πολλῷ μᾶλλον τὸ θεῖον, καὶ ἀπαθὲς ὄν, καὶ ἀνενδεές, τοσοῦτον ἡμῶν ἀπολαύει, ὅσον δυσχεραίνομεθα, ὅσον ἐντρυφᾷ ἡμῶν τῇ σωτηρίᾳ. διαζῆν καὶ πολλαχοῦ τὰ αὐτῆς ἀφιεὶς, τὰ σὰ ζητεῖ. εἴτις γάρ φησι γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνοικεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. ὁ δὲ ἀπολύων γυναῖκα παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχεύεσθαι. εἶδες ἄφατον ἀγαθότητα; ἐὰν ἡ πόρνη ἡ γυνὴ φησι, οὐκ ἀναγκάζω συνοικεῖν. ἐὰν δὲ ἄπιστος, οὐ κωλύω. πάλιν ἐὰν λυτῶσι πρόζανα, κελεύω ἀφεῖναι μὴ τὴν προσφοράν, καὶ πρὸς σὲ δραμεῖν τὸν λελυπηκότα. ἐὰν γὰρ προσφέρῃς τὸ δῶρόν σου ἐκεῖ, καὶ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε. πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν, πρόσφερε τὸ δῶρόν σου. τί δὲ ἡ παραβολὴ τοῦ πάντα κατεσκευακότος, οὐ δῆλόν ἐστιν ὑμῖν; ὅτε μὲν γὰρ τὰ μύρια τάλαντα κατέφαγεν, ἠλέησεν αὐτὸν, καὶ ἀφῆκεν. ὅτε δὲ ἑκατὸν δηνάρια ἀπῄτει τὸν σύνδουλον, καὶ πονηρὸν ἐκάλεσε, καὶ τῇ κολάσει παρέδωκεν. οὕτω πολὺς αὐτῷ λόγος ἐστὶν τῆς ἀναπαύσεως τῆς σῆς. τὴν γυναῖκα τοῦ δικαίου ἔμελλεν ἁμαρτάνειν ὁ βάρβαρος, καὶ φῇ, ἐφεισάμην σου τοῦ ἁμαρτῆσαι εἰς ἐμέ. τοὺς ἀποστόλους ἐδίωκεν ὁ παῦλος, καὶ λέγει πρὸς αὐτόν. τί με διώκεις; ἄλλοι θεινῶσι, καὶ λέγει αὐτὸς θεινάτω, μὴ γυμνός περιΐεναι, καὶ ξένος, βουλόμενός σε ἐντρέπειν, καὶ ταύτῃ, εἰς τὸν τῆς ἐλεημοσύνης λόγον ἐμβαλεῖν. ἐννοοῦντες τοίνυν τὴν ἀγάπην, ὅσην ἅπάντων κατεδείξατο, καὶ ἐπιδείκνυται, γνωρίσωμεν ἡμῖν ἑαυτὸν καταξιώσας, ὅπερ μέγιστόν ἐστιν κεφάλαιον τῶν ἀγαθῶν, καὶ φῶς διανοίας, καὶ διδασκαλίαν ἀρετῆς, καὶ βίον ἀρεστὸν νομοθετήσας, μὴ πάντα δι' ἡμᾶς ἐργασάμενος, καὶ τὸν υἱὸν δεδωκώς, καὶ βασιλείαν ἐπαγγειλάμενος, καὶ τὰ ἀπόῤῥητα ἡμᾶς καλῶν ἀγαθά, καὶ μακαριωτάτην ζωὴν παρασκευάσας ἡμῖν, ἅπαντα ποιῶμεν, καὶ λέγωμεν. ὥστε καὶ τῆς ἀγάπης ἄξιοι φανῆναι τῆς αὐτοῦ, καὶ ἐπιτυχεῖν τῶν μελλόντων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἑρμηνεία Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τῦ Χρυσοστόμου τῆς πρὸς Τίτον Ἐπιστολῆς.

Λόγος, α΄. Κεφάλαιον, α΄.

Παῦλος δοῦλος θῦ, ἀπόστολος δὲ ἰησοῦ χῦ, κατὰ πίστιν ἐκλεκτῶν θῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου. ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θς πρὸ χρόνων αἰωνίων. ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτῦ καιροῖς ἰδίοις ἐν κηρύγματι, ᾧ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τῦ σωτῆρος ἡμῶν θῦ, τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν, χάρις καὶ εἰρήνη ἀπὸ θῦ πατρὸς, καὶ κυρίου ἰησοῦ χῦ τῦ σωτῆρος ἡμῶν.

Τῶν παύλῳ συμόντων, δόκιμος οὗτος ἦν, οὐκαὶ σὺν αὐτῷ τὴν νῆσον ὁλόκληρον ἐπέτρεψεν. οὐκαὶ τὰ ἐλλειφθέντα ἀναπληρῶσαι προσέταξεν. ἵνα γάρφησι τὰ λείποντα ἐπιδιορθώσῃ. καὶ τοσούτων ἐπισκόπων κείσιν ἐπέτρεψεν, εἰ μὴ σφόδρα ἐδαίρρει τὰνδρί. φᾶ δὲ καὶ νέον εἶναι αὐτὸν, διὰ τὸ, τέκνῳ αὐτῷ γράφειν. ἀλλ' οὔπω δῆλον ἀπὸ τούτου. οἶμαι δὲ αὐτῦ καὶ ἐν ταῖς πράξεσιν εἶναι μνείαν. τάχα καὶ κορίνθιος ἦν, εἰ μὴ τις ἕτερος ἦν ὁμώνυμος αὐτῷ. καὶ ζηναν μὲν καλεῖ πρὸς ἑαυτὸν, καὶ ἀπολλὼ πεμφθῆναι βούλεται, δῆλον δὲ οὔ. καὶ γὰρ ἐναντίον τῦ αὐτοκράτορος, μείζονος τούτοις ἐμαρτύρει τὴν ἀνδρείαν, καὶ τὴν ἀρετήν. δοκοῦσι δέμοι χρόνοι εἶναι μέσοι τινὲς. καὶ ἐν ἀδείᾳ παῦλος ὢν, γράφει ταῦτα. οὐδὲν γὰρ πρὸ πειρασμῶν φησι. συνεχῶς δὲ περιῳρέφει τὸ θῦ τὴν χάριν, καὶ αὖ ὦ, καὶ κάτω ἐκάλει οὖσαν παράκλησιν τοῖς πεπιστευκόσι πρὸς ἀρετήν. τὸ γὰρ μαθεῖν τίνων μὲν ἦσαν ἄξιοι, πρὸς τί δὲ ἐπέμφθησαν, καὶ ταῦτα χάριτι, οὐ μικρὰ προτροπή. ἀποτείνεται δὲ καὶ πρὸς ἰουδαίους. εἰ δὲ καὶ ὁλόκληρον τὸ ἔθνος ὑβρίζει, μὴ θαυμάσῃς. καὶ ἐπὶ γαλατῶν γὰρ αὐτὸ ποιεῖ λέγων. ὦ ἀνόητοι γαλάται. οὐχ ὑβριστικοῦ δὲ δῆλον ἦθος, ἀλλ' ἐρωτικοῦ. εἰ μὲν γὰρ τῶν αὐτῦ ἕνεκεν ταῦτα ἐποίει, εἰκότως ἂν αὐτῷ ἐπεμέμφατο. εἰ δὲ πεπυρωμένος, καὶ ζέων ὑπὲρ τῦ κηρύγματος, οὐχ ὑβριστικῶς αὐτὸ ἐποίει. καὶ ὁ χς δὲ μυρία ἐλοιδρεῖτο τοῖς γραμματεῦσι, καὶ φαρισαίοις, ἀλλ' οὐχ ἑαυτῦ ἕνεκεν. ἀλλ' ὅπως τοὺς ἄλλους ἅπαντας ἀπολλύσιν. βραχεῖαν δὲ ποιεῖ τὴν ἐπιστολὴν εἰκότως. καὶ δῆλον δὲ τῆς ἀρετῆς τὸ πόνου τεκμήριον ἦν, τὸ μὴ δεῖσθαι λόγων πολλῶν, ἀλλ' ὥσπερ τινὸς ὑπομνήσεως. αὕτη δέμοι δοκεῖ, τῆς πρὸς τιμόθεον εἶναι νεαρωτέρα ἐπιστολῆς. ἐκείνῃ μὲν γὰρ πρὸς τῷ τέλει ὢν ἔγραφεν. ἐνταῦθα δὲ ἄφετος ὢν, καὶ λελυμένος. τὸ γὰρ κήρυγμα παραχειμάσαι ἐν νικοπόλει, τεκμήριον ἦν τῦ μηδέπω ἐν δεσμοῖς εἶναι. ἐκεῖ δὲ συνεχῶς ἑαυτὸν δέσμιον καλεῖ. τί οὖν φησι; παῦλος δοῦλος θεοῦ, ἀπόστολος δὲ ἰησοῦ χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν θῦ. ὁρᾷς πῶς ἀδιαφόρως αὐτὰ

πίθησι;

πάσας. τούτων γὰρ καλῶς διοικουμένων, καὶ τὰ πολιτικὰ χώραν ἕξει. ἕτερως δὲ κἀκείνα λυμαίνεται. ἡ γὰρ οἰκουρὸς γυνὴ, καὶ σώφρων ἐστὶν, ἡ οἰκουρὸς, καὶ οἰκονομική. οὔτε περὶ τρυφῆς, οὔτε περὶ ἐξόδους ἀκαίρους, οὔτε περὶ ἄλλο τι τῶν τοιούτων ἀσχοληθήσεται. ἵνα μὴ ὁ λόγος τῆς εὐσεβείας βλασφημῆται. ὁρᾷς ὅτι προηγουμένως τοῦ κηρύγματος φροντίζει; οὐχὶ τῶν κοσμικῶν πραγμάτων; μὴ γὰρ περὶ πηδήτεον μέλφων φῇ, ἵνα ἥρεμον, μὴ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ, καὶ σεμνότητι. καὶ ἐν τούτοις, ἵνα μὴ ὁ λόγος τοῦ εὐ, καὶ ἡ διδασκαλία βλασφημῆται. εἰ γὰρ συμβαίη γυναῖκα πιστὴν ἀπίστῳ συνοικοῦσαν μὴ εἶναι ἐνάρετον, ἡ βλασφημία εἰς τὸν θεὸν διαβαίνειν εἰώθειν. εἰ δὲ εὐκοσμία, τὸ κήρυγμα κερδαίνεται τὴν δόξαν τὴν ἐκείνης, καὶ τῶν ὑπ' ἐκείνης κατορθουμένων. ἀκουέτωσαν αἱ γυναῖκες ὅσαι μοχθηροῖς, ἢ ἀπίστοις συνοικοῦσιν ἀνδράσιν, ἀκουέτωσαν, μὴ ταπεινούσθωσαν, μὴ τῶν οἰκείων τρόπων ἐνάγειν αὐτοὺς εἰς δυσέβειαν. κἂν μηδὲν ἕτερον κερδάνῃς, μὴ δὲ ἐφελκύσῃ τὸν ἄνδρα πρὸς τὴν τῶν ὀρθῶν δογμάτων διδασκαλίαν, ἀλλὰ τὸ σῶμα αὐτοῦ ἀπέρραψας, οὐκέτωσα βλασφημεῖσθαι τὸν χριστιανισμόν. ἔστι δὲ οὐ μικρὸν, ἀλλὰ καὶ σφόδρα
» μέγα θαυμάζεσθαι τὸ δόγμα ἐκ τῆς ἡμετέρας ἀναφθῆναι. Τοὺς νεωτέρους ὡσαύτως πα-
» ρακάλει σωφρονεῖν. Ὁρᾷς πῶς παντοχοῦ παρακαλεῖ τὸ πρέπον φυλάττειν, τῆς μὲν εἰς τὰς γυναῖκας διδασκαλίας, ταῖς γυναιξὶ τὸ πλέον ἀπείπασα, ταῖς γεηρακυίαις ταῖς νεωτέραις ἐπιτρέπας. τῶν δὲ ἀνδρῶν, τὸ πᾶν αὐτῷ δίδωσι, καὶ ἀπονέμει. οὐδὲν γὰρ οὕτω δύσκολον, καὶ χαλεπὸν τὴν ἡλικίαν ταύτην γένοιτ' ἄν, ὡς τὸ περιγενέσθαι τῶν ἡδονῶν τῶν ἀτόπων. οὔτε γὰρ χρημάτων ἔρως, οὔτε δόξης ἐπιθυμία, οὔτε ἄλλο οὐδὲν οὕτω ταύτην διενοχλεῖ τὴν ἡλικίαν, ὡς ὁ τῶν σωμάτων ἔρως. διὸ πάντα τὰ ἄλλα ἀφεὶς, περὶ τοῦτο μόνον αὐτῷ τὴν παραίνεσιν ἴσχυσιν. εἶτα οὐδὲ τῶν ἄλλων ἕνεκεν ῥᾳθυμεῖ, ἀλλὰ τί φησί;
» Περὶ πάντας ἑαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων. Διδασκέτωσαν μὲν οὖν φησι, καὶ αἱ πρεσβύτεραι ταῖς νεωτέραις, καὶ σὺ δὲ αὐτὸς παρακάλει τοὺς νεωτέρους σωφρονεῖν. ἔστω δὲ κοινὸν πᾶσι διδασκαλεῖον, καὶ ὑπόδειγμα ἀρετῆς, ἡ σὴ βίου λαμπρότης, εἰς μέσον πᾶσι προκειμένη, ὥσπερ ἀρχέτυπός τις εἰκὼν, πάντα ἔχουσα ἐν ἑαυτῇ τὰ καλὰ, μετὰ πολλῆς τῆς εὐκολίας τοῖς βουλομένοις ἐναπομάξασθαί τι τῶν ἐν αὐτῇ καλῶν, παρε-
» χομένη τὰ παραδείγματα. Ἐν τῇ διδασκαλίᾳ φῇ ἀδιαφθορίαν, σεμνότητα, λόγον ὑγιῆ,
» ἀκατάγνωστον. ἵνα ὁ ἐξεναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. Τὸν ἐξεναντίας, φῇ, καὶ τὸν διάβολον, καὶ πάντα τὸν ἐκείνῳ διακονούμενον. ὅταν γὰρ καὶ βίος λάμπῃ, καὶ λόγος ᾖ συμβαίνων, καὶ ἐπιεικὴς, ἥμερος, προσηνὴς, μὴ δὲ μίαν τοῖς ἐναντίοις παρέχων λαβὴν, πολὺ καὶ ἄφατον τὸ κέρδος. πολλὴ ἄρα τῆς τοῦ λόγου διακονίας ἡ χρεία, λόγου οὐ τοῦ τυχόντος, ἀλλὰ δυνάμεως πινός, καὶ ἀληθοῦς, καὶ μὴ δὲ μίαν μηδαμόθεν παρεχο-
» μένου τοῖς βουλομένοις πρόφασιν. Δούλοις ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν
» εὐαρέστους εἶναι. Ὁρᾷς τί προλαβὼν εἶπεν; ἵνα ὁ ἐξεναντίας φησὶν ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. ἄρα καταγνώστεως ἄξιος ὁ γυναῖκας ἀπὸ ἀνδρῶν ἀποζεύγνυς, τῇ προφάσει τῆς ἐγκρατείας, καὶ ὁ δούλους δεσποτῶν ἀποστρέφων τῷ αὐτῷ δὴ τούτῳ προσχήματι. οὐκοῦν οὐκ ἔστιν ἀκατάγνωστος ὁ λόγος. πολλῷ δὲ καὶ τοῖς ἀπίστοις δίδωσι λαβήν. καὶ τὰ πάντων καθ' ἡμῶν ἀνοίγει στόματα. Δούλους φησὶ ἰδίοις δεσπόταις
ὑποτάσσεσθαι.

»» ὑποτάσσεσθαι. ἐν πᾶσιν δυάρεστος εἶναι. Μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους ἀπατεῖν,
»» ἵνα τὴν διδασκαλίαν τὴν τοῦ θεοῦ σωτῆρος ἡμῶν κοσμῶσιν ἐν πᾶσιν. Εἰκότως ἄρα ἐλεγεν ἑτέρωθι, ὡς τῷ θεῷ δουλεύοντες, καὶ οὐκ ἀνθρώποις. καὶν γὰρ τῷ δεσπότῃ διακονῆς μετ' εὐνοίας, ἀλλ' ἡ πρόφασις ἀπὸ τοῦ φόβου τὴν ἀρχὴν ἔχει. ὥστε ὁ μὴ τοσοῦτόν φόβου ἐκείνῳ διακονῶν, μείζων ἐπιτεύξεται τῶν μισθῶν. εἰ γὰρ χειρὸς μὴ κρατεῖ μή, δὲ γλώττης ἀπολάσου, πόθεν θαυμάσεται ὁ ἕλλην τὸ δόγμα τὸ παρ' ἡμῖν; εἰ δὲ τὸν δοῦλον θεάσοιντο τὸν ἐν χῷ φιλοσοφοῦντα, τῶν παρ' αὐτοῖς φιλοσοφησάντων μείζονα τὴν ἐγκράτειαν ἐπιδεικνύμενον, καὶ μετὰ πολλῆς τῆς ἐπιεικείας, καὶ τῆς εὐνοίας διακονούμενον, παντὶ τρόπῳ θαυμάσεται τὴν δύναμιν τοῦ κηρύγματος. οὐ γὰρ ἀπὸ δόγματος δόγματα, ἀλλ' ἀπὸ πραγμάτων, καὶ βίου, τὰ δόγματα κρίνουσιν ἕλληνες. ἔφωσαν οὖν αὐτοῖς, καὶ γυναῖκες, καὶ δοῦλοι διδάσκαλοι ἀφ' ἧς οἰκείας ἀναφοφῆς. καὶ γὰρ καὶ παρ' αὐτοῖς, καὶ παντα χοῦ, ὅθεν διωμολόγηται. ὅτι τὸ τῶν δούλων γένος, ἰταμόν πως ἐστίν. δυσδιάτυπωτον, δυσπρόσωπον, οὐ σφόδρα ἐπιτήδειον πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν. οὐ μὴν τὴν φύσιν, μὴ γένοιτο, ἀλλὰ μὴν τὴν ἀνατροφὴν, καὶ τὴν ἀμέλειαν τὴν παρὰ τῶν δεσποτῶν. ἐπειδὴ γὰρ παντα χοῦ οὐδενὸς ἑτέρου, ἀλλὰ τῆς αὐτῆ διακονίας οἱ κρατοῦντες αὐτῶν φροντίζουσιν. εἰ δέ που, καὶ τῶν τρόπων ἐπιμεληθεῖεν, καὶ ὅθεν πάλιν μὴν τὴν αὐτῶν ἀνάπαυσιν πράττουσιν, ὥστε μὴ πράγματα αὐτοῖς παρέχειν, ἢ πορνεύοντας, ἢ κλέπτοντας, ἢ μεθύοντας. εἰκότως ἠμεληκότες, καὶ οὐδένα τῶν πολυπραγμονούντων ἔχοντες, εἰς αὐτὰ τῆς κακίας τὰ βάραθρα κατα πονίζονται. εἰ γὰρ ἐν δα πατὴρ ἐφέστηκε, καὶ μὴ τὴς, καὶ παιδαγωγὸς, καὶ τροφὸς, καὶ διδάσκαλος, καὶ ἡλικιῶται, καὶ αὐτὴ ἡ τῆς ἐλευθερίας δόξα περικειμένη, καὶ πολλὰ ἕτερα, μόλις αὖτις διαφύγοι τὰς τῶν πονηρῶν συνουσίας, τί οἴει τοὺς πάντων τούτων ἐρήμους ὄντας; καὶ μαρῶς ἀναμιγνυμένους; καὶ μετὰ ἀδείας οἷς αὐ ἐθέλωσι συγγινομένους; οὐδενὸς ὄντος τοῦ τὰς φιλίας αὐτῶν πολυπραγμονοῦντος, τί οἴει τοὺς τοιούτους ἔσεσθαι; διαφθορὰς, δυσκολον δοῦλον γενέσθαι ἀγαθόν. ἅμα δὲ οὐδὲ διδασκαλίας ἀπολαύουσιν, οὔτε τῶν ἔξωθεν, οὔτε τῶν παρ' ἡμῖν. οὐ συναναφέρονται ἀνδράσιν ἐλευθέροις, κοσμίοις, πολλὴν τῆς αὐτῶν δόξης ποιουμένοις φροντίδα. ἅμα δὲ ταῦτα πάντα, δυσκολον καὶ θαυμαστόν, χρήσιμον οἰκέτην γενέσθαι ποτέ. ὅταν οὖν ἴδωσιν, ὅτι τὸ γένος τὸ οὕτως αὐθάδες ἡ τοῦ κηρύγματος δύναμις χαλινὸν περιθεῖσα πάντων εἰργάσατο κοσμιώτερον, ἢ ἐπιεικέστερον, καὶν σφόδρα πάντων ὦσιν ἀλογώτεροι οἱ δεσπόται, λήψονται ἔννοιαν μεγάλην περὶ τῶν δογμάτων τῶν παρ' ἡμῖν. δῆλον γὰρ ὅτι καὶ περιπτὸν τῆς ἀναστάσεως φόβον, καὶ τῶν τῆς κρίσεως, ἢ τῶν ἄλλων ἁπάντων μὴ τὸν θάνατον φιλοσοφουμένων παρ' ἡμῖν, πρότερον ἐγκαταθέντες αὐτῶν τῇ ψυχῇ, οὕτως ἴσχυσαν ἀποκρούσασθαι τὴν κακίαν, ἀντίρροπόν τινα φόβον τῆς ἀπὸ τῶν κακῶν ἡδονῆς, εἰς τὴν ἑαυτῶν ἐνιδρύσαντες ψυχήν. ὥστε οὐκ εἰκῇ, οὐδὲ ἁπλῶς πολλὴν ὑπὲρ τούτων ποιεῖται τὸν λόγον. ὅσῳ γὰρ ἂν ὦσι κακοὶ, τοσούτῳ μᾶλλον θαυμάζεται τοῦ κηρύγματος ἡ ἰσχύς. ἢ γὰρ ἀπειθῶν τότε θαυμάζομεν, ὅταν τὸν ἀπειθοῦντα, καὶ οὐδὲ μιᾶς βοηθείας ἀπολαύοντα, οὐδὲ κρατῆσαι τῶν ἀκαίρων ἐπιθυμιῶν δυνάμενον, εἰς ἀγαγὴν πρὸς ὑγείαν, καὶ διορθώσηται. καὶ ὅρα τίνα παρ' αὐτῶν ἀπαιτεῖ. ἃ μάλιστα πάντων ἀναπάνει τὸν δεσπότην. μὴ ἀντιλέγοντας, μὴ

νοσφιζομένους, τουτέστι πολλὴν δύνοιαν ἐπιδείκνυσθαι ἐν οἷς ἂν πιστευθῶσιν, ἐν τοῖς πρὸς τοὺς δεσπότας μάλιστα εἶναι ἀγαθοὺς, ὑποτασσομένους ἐν τοῖς ἐπιτάγμασι.

Η' Ἦθικόν.

Μὴ τοίνυν νομίζετε ἁπλῶς μεταταῦτα νεῦν διεξιέναι. λοιπὸν γάρ μοι πρὸς τοὺς οἰκέτας ὁ λόγος. μὴ τοίνυν ὦ βέλτιστε σὺ πρὸς ἐμὲ ἴδῃς, ὅτι ἀνθρώπῳ δουλεύεις, ἀλλ' ὅτι θεῷ, ὅτι τὸ κήρυγμα κοσμεῖς. καὶ πάντα ὑποφήσῃ ποιεῖν, τῷ δεσπότῃ πειθόμενος, καὶ φέρων ἀγαναχτῶν πάντα ἀκαίρως, καὶ δυσχεραίνοντα. ἐννόησον ὅτι οὐκ ἐκείνῳ τὴν χάριν δίδως, ἀλλὰ τοῦ θεοῦ πρόσταγμα πληροῖς, μὴ πᾶν ὁποιῶν ὑποφήσῃ ῥᾳδίως. ὅπερ δὲ ἀεὶ λέγω, ὅτι τῶν πνευματικῶν ἡμῖν κατορθουμένων, καὶ τὰ τοῦ παρόντος ἐφέτται βίου. τὸν γὰρ τοιοῦτον οἰκέτην. τὸν οὕτως δύνοιτο, τὸν οὕτως ἐπιεικῆ, οὐχ ὁ τυχὼν ἀποδέξεται μόνον, καὶ τῶν θεφανίων μεταδώσει τῶν λαμπρῶν ἐκείνων, ἀλλὰ καὶ αὐτὸς ὁ παντῶν δεσπότης, κἂν θηρίον ᾖ, κἂν λίθινός τις ᾖ, καὶ ἀπάνθρωπος, καὶ ὠμὸς, ἐπαινέσεται, καὶ θαυμάσεται, μὴ προσιμήσει τῶν ἄλλων ἁπάντων. καὶ τοῖς λοιποῖς αὐτὸν ἐπιστήσει, κἂν ἕλλην ᾖ. μὴ ὅτι κἂν ἕλληνες ὦσιν οἱ δεσπόται, κωλύει τὸν οἰκέτην, τοιοῦτον ἑαυτὸν ἐπιδείκνυσθαι. εἰ βούλεσθε, ὑμῖν μὴ παράδειγμα διηγήσομαι. ὅπερ ἐπράθη πρὸς τὸν ἀρχιμάγειρον, μὴ δόξῃς ἕτερόν τινα εἶναι, οὐ τῆς αἰγυπτιακῆς. τί οὖν ἐκεῖνος; ἐπειδὴ ἀνάρετον εἶδε τὸν νεανίσκον, οὐκ ἀνένοησε τὸ τῆς δόξης διεφθορός. ἀλλ' αὐτός τε ἠγάπα, μὴ ἐφίλει, μὴ ἐθαύμαζε, μὴ τῶν ἄλλων αὐτῷ τὴν ἐπιμασίαν ἐνεχείρισεν ἅπασαν, μὴ τῶν κατ' οἰκίαν οὐδὲν ἦδει δι' αὐτόν. ἀλλὰ δεύτερος δεσπότης ἐκεῖνος ἦν. μᾶλλον δὲ μὴ αὐτῷ τῷ δεσπότου κυριώτερος. εἶγε ὁ μὲν, ἠγνόει τὰ αὐτῷ. οὗτος δὲ ἤδει μᾶλλον τοῦ δεσπότου. καίμοι δοκεῖ, μὴ ὕποπτον ὅτε ἐπίστευσε τῷ γυναίῳ τὴν παράνομον ἐκείνην συκοφαντίαν κατ' αὐτοῦ ποιησαμένῳ, ζημιῶν τὸν δίκαιον ἀπὸ τῆς προτέρας αἰδοῦς, μὴ τῆς τιμῆς, μέχρι τοῦ δεσμωτηρίου σῆσαι τὴν ὀργήν. εἰ γὰρ μὴ σφόδρα ἠδεῖτο τὸν ἄνδρα, μὴ ἐθαύμαζεν ἀπὸ τῶν προϋπηργμένων αὐτῷ, κἂν δι' ἑτέρως αὐτὸν διεχείρισατο. καὶ τὸ ξίφος διέλασε μᾶλλον τοῦ σώματος ἐκείνου. μετὰ γὰρ ζήλου φησὶν ὁ θυμὸς ἀνδρός. οὐκ ἀνταλλάξῃ οὐδενὸς λύτρου τὴν ἔχθραν. οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων. εἰ δὲ πανταχοῦ ἀνδρὸς τοιοῦτος ὁ ζῆλος, πολλῷ μᾶλλον ἐκείνου, ἀγυμνάστου τε ὄντος, καὶ βαρβάρου, καὶ παρὰ τοῦ τιμηθέντος ἠδικημένου, ὡς ᾤετο. ἴσασι γὰρ δήπου πάντες, ὅτι οὐχ ὁμοίως ἡμᾶς διάκεινται τὰ παρὰ πάντων ἀδικήματα, ἀλλὰ σφοδρότερον τῶν ἄλλων, καὶ πικρότερον τὰ μὴ παρὰ τῶν δυνατῶν πρὸς ἡμᾶς διατεθέντα, μὴ πιστευθέντα, μὴ πιστεύσαντα ἡμῖν, μὴ πολλὰ παρ' ἡμῖν δυσπαθόντων, γενόμενα καὶ φιλίας, καὶ λυπεῖ. οὐκ ἐννόησε πρὸς ἑαυτόν, καὶ εἶδεν οἰκέτην αὐτὸν λαβὼν, παντὶ αὐτῷ μεταδώκατε τῆς οἰκίας, ἐλεύθερον ἐποίησα, καὶ ἐμοῦ τι μείζονα, τοιαύτας μοι τὰς ἀμοιβὰς ἀποδέδωκεν; οὐδὲν τούτων εἶδεν, οὕτως αὐτοῦ τὴν ψυχὴν ἡ προτέρα κατεῖχεν αἰδώς. καὶ τί θαυμαστὸν εἰ ἐν οἰκίᾳ τοσαύτης ἀπήλαυσε τιμῆς; ἀλλ' ἐν τῷ δεσμωτηρίῳ ὅρα αὐτὸν ὅσης ἀπολαύει κηδεμονίας. ἴσασι δὲ πῶς πρὸς ὠμότητα τοῖς τὰ δεσμωτήρια ἐγκεχειρισμένοις τὸ ἦθος ἐξήσκηται. τὰς ἀλλοτρίας καρποῦται συμφορὰς, καὶ ἐφ' οἷς ἕτεροι κακῶς πάσχοντες τρέφουσι τούτους, οὗτοι παράτουσι, κέρδη κερδαίνοντες πολλῶν δακρύων ἄξια, θηρίων ὄντες ὠμότεροι. ἀφ' ὧν γὰρ ἐχρῆν ἐλεεῖν τοὺς ἐμβεβλημένους, ἀπὸ τούτων αὐτοῖς καρποῦται. μὴ μὴ δῶμεν μόνον λογιζώμεθα, ἀλλ' ὅπως μὴ αὐτοὶ οὗτοι, οὐχ ὁμοίως πᾶσι κέ-

χρηται

χθωσαν τοῖς ἐμβεβλημένοις. τοὺς μὲν γὰρ ὑπὸ συκοφαντίας, μὴ ἐπηρεασθέντας ἁπλῶς, μὴ δεθέντας, κἂν ἐλεήσαιεν αὖ. τοὺς δὲ ὑπὸ τοῖς αἰσχίστοις, καὶ δεινοτάτοις, μὴ τολμηροῖς ἐμβεβλημένους, μυρίας αἰτίζονται πληγάς. ὥστε οὐ μόνον ἀπὸ τοῦ τρόπου ὠμὸς ἔσεσθαι ὁ δεσμοφύλαξ, ἀλλὰ καὶ ἀπὸ τῆς αἰτίας δι' ἣν ἐνεβέβλητο. τίνα γὰρ οὐκ ἂν διήγειρε καθ' ἑαυτοῦ ὀνειδισμός, τοσαύτης μὲν ἀπολαύσας πρᾳότητος, ὑποδουθεὶς δὲ τῷ δεσποίνῃ πειρᾶν, καὶ τοιαύτας τὸν δυσεργέτην ἀμείβόμενος ἀμοιβάς; ταῦτα ἐννοῶν ὁ δεσμοφύλαξ, καὶ τὴν μὲν τοῦ ἐμβεβλημένου, καὶ τὸ πρᾶγμα ἐφ' ᾧ ἐνεβέβλητο, οὐκ ἂν πάντως θείου χαλεπώτερον ἐχρήσατο τῷ ἀνδρί; ἀλλὰ πάντων τούτων ἀνωτέρα γέγονεν ἡ ἐλπὶς ἡ εἰς τὸν θεόν. οὕτως οἱ δὲ, καὶ θεία καταπραΰνειν ψυχῆς ἀρετή. ἀπὸ γὰρ τῆς αὐτῆς ἐπιεικείας ἀφ' ἧς τὸν δεσπότην εἵλεν, ἀπὸ τῆς αὐτῆς, καὶ τὴν ἀρχὴν δεσμοφύλακα. καὶ πάλιν ὧν ἄρχων ὁ Ἰωσὴφ, καὶ ἐν δεσμωτηρίῳ ἐκράτει, καὶ ἐν οἰκίᾳ. ἐπειδὴ γὰρ ἔμελλεν βασιλεύειν, εἰκότως πρότερον ἐμάνθανεν ἄρχεσθαι, καὶ ἀρχόμενος, ἄρχων ὤν, καὶ προέστη τῆς οἰκίας. εἰ γὰρ τὸν εἰς ἐκκλησίαν ἑλκόμενον ἀτιμάζει Παῦλος, οὕτω λέγων. εἰ γὰρ τῶν ἰδίων οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται; καὶ τὸν εἰς ἀρχὴν ἐλθόντα, πρότερον ἄριστον εἶναι χρὴ προεστάναι οἰκίας. προέστη δεσμωτηρίου, οὐχ' ὡς δεσμωτηρίου, ἀλλ' οἰκίας. πᾶσι γὰρ ἐφικνοῦφιζε τὰς συμφοράς, καὶ τῶν ἐμβεβλημένων, ὡς οἰκείων προΐστατο μελῶν, οὐ μόνον αὐτῶν τὰς συμφορὰς πολυπραγμονῶν, καὶ παραμυθούμενος, ἀλλὰ καὶ εἰσύννοιαν εἴ-δέ τινα, προσήει, καὶ τὴν συμφορὰν ἐμάνθανεν, οὐδὲ ἁπλῶς κατηφιῶντα ἀνεχόμενος ὁρᾶν, αὖ μὴ πρότερον αὐτὸν ἀπαλλάξῃ τῆς κατηφείας. καίτοι τοσαύτην τις οὐδὲ πρὸς τέκνα φορὰν ἐνεδείκνυτο. ἀπὸ τούτων γοῦν αὐτῷ καὶ ἀρχὴ τῶν ἀγαθῶν ἐγένετο. δεῖ γὰρ τὰ παρ' ὑμῶν ἔχειν πρότερον, καὶ τότε τὰ τοῦ θεοῦ. ὅπου γὰρ τοσαύτη ἐκέχρητο φειδοῖ, καὶ ἐπιμελείᾳ, εἰ δὲ φήσει τοὺς δυνούχους τοὺς ἐμβληθέντας ὑπὸ τοῦ φαραὼ, τὸν ἀρχιοινοχόον, καὶ τὸν ἀρχισιτοποιὸν. καὶ εἶπε τί σκυθρωπὰ τὰ πρόσωπα ὑμῶν σήμερον; καὶ οὐκ ἀπὸ τούτου μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ἐκεῖνοι ἐποίησαν, καταμαθεῖν ὅτι τὴν ἀρετὴν τοῦ ἀνδρός. οὐ γὰρ ὡς βασιλέως ὄντες οἰκέται διέθρυψαν αὐτὸν, οὐχ' ὡς ἐν ἀθυμίᾳ ὄντες διεκρούσαντο, ἀλλ' ὡς ἀδελφῷ γνησίῳ, καὶ συναλγεῖν εἰδότι, πάντα αὐτῷ ἐξεκάλυπτον τὰ ἑαυτῶν. ταῦτα δέ μοι πάντα εἴρηται, ὅτι κἂν ἐν δουλείᾳ, κἂν ἐν αἰχμαλωσίᾳ, κἂν ἐν δεσμωτηρίῳ, κἂν ὑπὸ αὐτὴν τὴν γῆν γένηται ὁ ἀνάρετος, οὐδὲν αὐτὸν καταγωνίσασθαι δυνήσεται. ταῦτά μοι πρὸς τοὺς οἰκέτας λέλεκται. ὅτι κἂν θεία ἔχωσι δεσπότας, ὡς τὸν αὐγοῦστον, κἂν ὠμοὺς ὡς τὸν ἀρχιδεσμοφύλακα, δυνήσονται αὐτοὺς ἑλεῖν, κἂν ἕλλιπεῖς ὦσιν ὡς ἐκεῖνοι, κἂν ὁ Ζοιῶ, ταχέως ἀθετοῦσι δύσοιῶν. οὐδὲν γὰρ ἐμμελέστερον τρόπων, οὐδὲν ἡδύτερον, οὐδὲν γλυκύτερον ἐπιεικείας, καὶ πραότητος, καὶ ὑπακοῆς. πᾶσιν ἐστὶν ἐπιτηδείος ὁ τοιοῦτος. καὶ οὔτε δουλείαν ἐσαχθήσονται οἱ τοιοῦτοι, οὔτε πένητα φοβήσουσιν, οὔτε ἄρρωστον κάμνοντα. πάντων γὰρ κρατεῖ, καὶ πάντων ἡ ἀρετὴ περιγίνεται. εἰ δὲ ἐν δούλοις τοιαύτην ἔχει πραγματείαν καὶ ἰσχύν, πόσῳ μᾶλλον ἐν ἐλευθέροις; ταῦτα οὖν ἀσκῶμεν, καὶ δοῦλοι, καὶ ἐλεύθεροι, καὶ γυναῖκες, καὶ ἄνδρες, οὕτω καὶ ἀνοῖς, καὶ θεῷ ἐσόμεθα ποθεινοί. καὶ ἀνοῖς οὐ τοῖς ἀναρέτοις μόνον, ἀλλὰ καὶ τοῖς κακοῖς, καὶ μάλιστα ἐκείνοις. ἐκεῖνοι γάρ εἰσιν οἱ μάλιστα τιμῶντες, καὶ αἰδούμενοι. ὥσπερ γὰρ τοὺς ἐπιεικεῖς οἱ ἀρχόμενοι μάλιστα τρέ-

μασιν, οὕτως καὶ τοὺς ἀναρέτους οἱ ἀνόλαστοι, εἰδότες πίνων ἐκπεπωκασιν. ἐπεὶ οὖν τοσοῦτος ὁ καρπὸς τῆς ἀρετῆς, ταύτην διώκωμεν, ταύτην μετίωμεν. αὐ ταύτης ἐχώμεθα, οὐδὲν ἡμῖν ἔσται δεινὸν, πάντα ῥᾴδια, πάντα εὔκολα. κἂν διὰ πυρὸς διαβαίνωμεν, κἂν δι' ὕδατος, πάντα εἴκει τῇ ἀρετῇ, καὶ παραχωρεῖ, μὴ αὐτὸς ὁ θάνατος. ζηλώμεν τοίνυν αὐτὴν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν χῷ ἰῦ τῷ κῷ ἡμῶν.

Λόγος, ε'.

» Ἐπεφάνη γὰρ ἡ χάρις τ̃ θ̃υ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν
» ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως, καὶ δικαίως, καὶ εὐσεβῶς ζήσωμεν ἐν
» τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τ̃ μεγά-
» λου θ̃υ, καὶ σ̃ρ ἡμῶν ἰ̃ῦ χ̃ῦ. ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πά-
» σης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. Πολλὴν
παρὰ τῶν οἰκετῶν ἀπαιτήσας ἀρετήν. καὶ γὰρ ὅτι πολλὴ, τῷ τὴν διδασκαλίαν τ̃ θ̃υ, καὶ σ̃ρ ἡμῶν κοσμεῖν ἐν πᾶσι, καὶ μὴ δὲ μίαν δίδόναι ταῖς δεσπόταις λαβὴν, μὴ δὲ ἐν τῷ τυχόντι. ἐπάγει καὶ τὴν αἰτίαν δικαίαν, δι' ἣν ὀφείλουσι τοιοῦτοι εἶναι οἱ οἰκέται, ποίαν δὲ ταύτην; ἐπεφάνη γὰρ φησὶν ἡ χάρις τ̃ θ̃υ ἡ σωτήριος. οἱ θείου διδασκάλου τυγχάνοντες, πῶς οὐκ ἂν εἶεν εἰκότως τοιοῦτοι, οἵους ἄρτι διῆλθον ἐγώ, μυρίων ἁμαρτημάτων λῦσιν εὑρόντες; ἴσε γὰρ ὅτι μὴ τῶν ἄλλων, καὶ τοῦτο οὐχ ὡς ἔτυχεν εὐτρέπει, καὶ συστέλλει ψυχήν, τὸ μυρίων ἁμαρτημάτων οὖσαν ὑπεύθυνον, μὴ δικαίως δοῦναι, ἀλλὰ συγγνώμης τυχεῖν, καὶ μυρίων ἀγαθῶν. εἰ γάρ τις εἰώθει τὸν μυρία προσκρούσαντα οἰκέτην λαβὼν, μὴ κατατείνειν ἔμφασιν, ἀλλ' ἐῶ ἐκείνοις μὲν συγγνώμην παρέχοι. ὑπὲρ γὰρ τῶν μελλόντων αὐτὸν ἀπαιτεῖν δυνάσει, καὶ φυλάττεσθαι παρακελεύοιτο, ὥστε μὴ τοῖς αὐτοῖς περιπεσεῖν, καὶ δωρεὰς μεγάλας ζημίαν, ἵνα οὐκ ἂν οἴεσθε εὑρεῖν τὴν τοσαύτην χάριν ἀκούοντας; ἀλλὰ μὴ νομίσῃς, ὅτι ἡ χάρις μέχρι τῆς τῶν προτέρων συγχωρήσεως ἵστα), ἀλλὰ καὶ εἰς τὸ μέλλον ἡμᾶς ἀσφαλίζεται. καὶ γὰρ καὶ ζ̃ῆν χάριτος, ἐπεὶ εἰ μέλλοι ἀεὶ κακῶς πράττοντας μὴ κολάζειν, οὐκέτι τὸ πρᾶγμα χάρις ἐστὶν, ἀλλὰ προτροπὴ εἰς λύμην, καὶ διαφθοράν. ἐπεφάνη γὰρ φησὶν ἡ χάρις τ̃ θ̃υ παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως, καὶ δικαίως, καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τ̃ μεγάλου θ̃υ, καὶ σ̃ρ ἡμῶν ἰ̃ῦ χ̃ῦ. ὅρα πῶς μὴ τῶν ἐπάθλων πίθησι τὴν ἀρετήν. καὶ ζ̃ῆν χάριτος τὸ ἀπαλλάξαι τῶν βιωτικῶν, τὸ πρὸς τὸν ὁμοῖον ἀγαγεῖν. δύο δείκνυσιν ἐνταῦθα ἐπιφανείας. καὶ γάρ εἰσι δύο. ἡ μὲν πρότερα, χάριτος, ἡ δὲ δευτέρα, οὐ τάποδόσεως, καὶ τ̃ δικαίου, ἵνα ἀρνησάμενοι ταύτην τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας. ἰδοὺ πάσης τῆς ἀρετῆς ἡ ὑπόθεσις, ἵνα ἀρνησάμενοι, ἡ ἄρνησις, πολλὴν δείκνυσι τὴν διάστασιν, πολὺ τὸ μῖσος, πολλὴν τὴν ἀποφυγήν. μεθ' ὅσης διαθέσεως, μεθ' ὅσης ἀποστροφῆς τὰ εἴδωλα ἀπωσώμεθα, μὴ τοσαύτης ἡμῖν τὴν κακίαν αὐτὴν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας φῦν. καὶ γὰρ καὶ ταῦτα εἴδωλα κοσμικῆς ἐπιθυμίας, ἡ πλεονεξίας, ἣν ταύτην εἰδωλολατρείαν ὀνομάζει, καὶ ὅσα πρὸς τὸν παρόντα βίον ἡμῖν χρησιμεύει, κοσμικαί εἰσιν ἐπιθυμίαι. πάντα ὅσα αὖ τῷ παρόντι βίῳ συγκαταλύεται, κοσμικὴ ὄντιν ἐπιθυμία. μηδὲν τοίνυν πρὸς ταῦτας ἔχωμεν. ἦλθεν ὁ χ̃ὸς ἵνα ἀρνησώμεθα τὴν

μεθα τὴν ἀσέβειαν, τὰ δόγματα φῶ, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, τὸν βίον τὸν ἀναγκ. σωφρόνως, καὶ δικαίως, καὶ δυσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι. ὁρᾶς ὅτι ὅπερ ἀεὶ λέγω, σωφροσύνη οὐ ζῆν μόνον ἐστὶν τὸ πορνείας ἀπέχεσθαι, ἀλλὰ καὶ τὸ τῶν λοιπῶν παθῶν ἐκτὸς εἶναι; ἆρα ὁ χρημάτων ἐρῶν, οὐ σώφρων. ὥσπερ γὰρ ἐκεῖνος σωμάτων, οὕτως καὶ οὗτος χρημάτων, μᾶλλον δὲ οὗτος ἀκολαστότερος, ὅσῳ οὐδὲ τοσαύτην ἔχει βίαν τὴν ὠθοῦσαν αὐτόν. καὶ γὰρ ἥνιοχος ἐκεῖνος ἀκρατὴς μάλιστα ἂν λέγοιτο, οὐχ ὁρῶν τραχὺ, ἢ δυσήνιον μὴ κατέχων ἵππον, ἀλλ' ὁ τὸν ἡρέμα ἐπιεικέστερον μὴ δυνάμει ὑποτάξας. τί δὲ φησιν ἡ τῶν χρημάτων ἐπιθυμία τῆς τῶν σωμάτων ἐλάττων; παντὶ που δῆλον, καὶ πολλαχόθεν ἔστιν δεῖξαι. πρῶτον μὲν, ὅτι ἀναγκαίως γέγονεν ἡ τῶν σωμάτων δι' ἐπιθυμία. τὸ δὲ ἀναγκαίως γενόμενον δηλόν που, καὶ μὴ πολλοῦ κατορθοῦται τὸ πόνου, καὶ ἀνεωμένη τῇ φύσει, ὅτι καὶ γυναικὶ μὲν συγγενομένῳ κατὰ νόμον, οὐδεὶς αὖ μέμψαιτο μέχρι γήρως, χρημάζοντι δὲ, πάντες, καὶ τῶν ἔξωθεν φιλοσόφων πολλοὶ χρημάτων μὲν κατεφρόνησαν, γυναικῶν δὲ οὐκέτι. οὕτως ἔστιν ἐκείνου τυραννικώτερον, ἀλλ' ἐπειδὴ πρὸς τὴν ἐκκλησίαν ἡμῖν ὁ λόγος, μὴ ἀπὸ τῶν ἔξωθεν φέρωμεν τὰ ὑποδείγματα, ἀλλὰ ἀπὸ τῶν γραφῶν. ἔστιν μὲν οὖν καὶ ἐν ἐπιτάγμασι τοῖς θεοῦ μέρει τιθῆσιν ὁ μακάριος οὗτος οὕτω λέγων. ἔχοντες διαπεφάς, καὶ σκιὰ πάσματα, τούτοις ἀρκεθησόμεθα. περὶ δὲ τῶν παρθένων, τί φῇ; ἐπιταγὴν οὐκ ἔχω. μὴ πάλιν, ὦπὶ τὸ αὐτὸ σωιέρχεσθε. καὶ πολλάκις ἴδοις ἂν αὐτὸν περὶ συνουσίας νομοθετοῦντα τῆς νομίμου. καὶ ταύτης μὲν ἔφησιν ἀπολαύειν τῆς ἐπιθυμίας, καὶ δευτέρῳ προσέναι γάμῳ, καὶ πολλῷ ποιεῖσθαι τὸ πράγματος τὴν ἐπιμέλειαν, καὶ οὐδαμοῦ ὑπὲρ τούτου κολάζει. τὸν δὲ χρημάτων ἐφιέμενον, παντα χοῦ κατα δικάζει. μὴ περὶ μὲν χρημάτων ὁ χὶ πολλαχοῦ διέταξεν, ὥστε φθύγειν τὴν ἐντεῦθεν λύμην. περὶ δὲ ἀποχῆς γυναικὸς, οὐχ οὕτως. ἄκουε γὰρ τί φησι περὶ χρημάτων. ἐὰν μήτις ἀποτάξηται πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν. οὐδαμοῦ εἶπεν. ἐὰν μή τις ἀποτάξηται γυναικί. οἶδε γὰρ οἵαν ἐνέθηκε τὴν τυραννίδα, καὶ ὁ μακάριος οὗτος φῆμι θεὼ. ὁ γάμος, καὶ ἡκοίτη ἀμίαντος. οὐδαμοῦ τιμίαν τὴν τῶν χρημάτων ἐπιμέλειαν καλεῖ, ἀλλὰ τὸ ἐναντίον. οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν, καὶ παγίδα. καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους, καὶ βλαβερὰς. οὐκ εἶπε πλεονεκτεῖν, ἀλλὰ πλουτεῖν. ἵνα δὲ μάθητε, καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν, ἀναγκαῖον καὶ ἔστιν τὸν λόγον εἰς μέσον παραγαγεῖν. χρημάτων μὲν γάρ τις καθάπαξ ἀποστερηθεὶς οὐκέτ' ἂν ἐνοχλοῖτο τῷ τῆς ἐπιθυμίας. οὐδὲν γὰρ οὕτως ποιεῖ χρημάτων ἐπιθυμεῖν, ὡς τὸ χρήματα ἔχειν. ὦπὶ δὲ τῆς τῶν σωμάτων ἐπιθυμίας, οὐχ οὕτως, ἀλλὰ καὶ δυνουχισθέντες πολλοὶ, τὴν ἔνδον ἐνοχλοῦσαν πυρὰν, οὐκ ἀπέβαλον. ἡ γὰρ ἐπιθυμία, ἐν ἑτέροις κεῖται ὀργάνοις, ἔνδον ἐν τῇ φύσει ἐγκειμένη. τίνος οὖν ἕνεκεν ἡμῖν ταῦτα εἴρηται; ὅτι οἱ πλεονέκται, τῶν πορνευόντων ἀκολαστότεροι, ὅσῳ ἧττόν ἐστιν ἐνοχλοῦνται ἐπιθυμίας. μᾶλλον δὲ οὐδὲ ἐπιθυμίας τὸ πρᾶγμα ἐστὶν, ἀλλὰ ῥᾳθυμίας. ἐν ταύτῃ μὲν γὰρ οὕτως ἐστὶν ἡ ἐπιθυμία φυσικὴ, ὥστε κἂν γυναικί τις μὴ πλησιάζῃ, ἡ φύσις τὸ αὐτῆς ποιεῖ, καὶ ἐργάζεται. ἐκεῖ δὲ οὐδὲν τοιοῦτον γίνεται, καὶ δυσεβῶς φησι, ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι. τίς ἡ ἐλπίς; τί τὸ ἔπαθλον τῶν πόνων; προσδεχόμενοι φῆμι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν. οὕτως γὰρ οὐδὲν ἐκείνης μακαριώτερον, οὐδὲν ζηλωτότερον, καὶ ταῦτα λόγοι παραφῆσαι οὐ

δώωσι ται. καὶ γὰρ νοῦν ὑπερβαίνει τὰ τότε ἀγαθά. προσδεχόμενοι φῆ τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θυ, καὶ σῆρς ἡμῶν. πού εἰσιν οἱ τὸ πρὸ ἐλάττονα τὸν υἱὸν λέγοντες; τοῦ μεγάλου φῆ θυ, καὶ σῆρς. ὁ τοὺς ἐχθροὺς σώσας, τί οὐνεργάσε) τότε οὐκ ἐδοκιμωῶτας λαβών; τοῦ μεγάλου φῆ θυ. τὸ μέγας ὧπὶ θυ ὅταν λέγῃ, οὐ πρός τι μέγας φῆ, ἀλλ' ἀπολύτως μέγας, μεθ' ὃν οὐκ ἂν εἴη μέγας, ἐ τοῖ πρός τι ἐστὶν. εἰ δὲ πρός τι, κατὰ σύγκεισιν, καὶ οὐ φύσει μέγας. νῦν δὲ ἀσυγκρίτως μέγας. ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν φῆ, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ἐξηλλαγμένον, οὐδὲν ἔχοντα κοινὸν πρὸς τοὺς λοιποὺς, ζηλωτὴν καλῶν ἔργων. ὁρᾷς ὅτι καὶ τῶν παρ' ἡμῶν δή, οὐχ ἁπλῶς ἔργων, ἀλλὰ ζηλωτήν; ζηλωτήν, τουτέστι μὴ προθυμίας πολλῆς ἐπ' αὐτὴν ἰόντα τὴν ἀρετήν, μὴ σφοδρότητος τῆς προσηκούσης. τὸ μὲν οὖν βεβαρημένους τοῖς κακοῖς, καὶ ἀνίατα νοσοῦντας ἀπαλλάξαι, τῆς ἐκείνου φιλανθρωπίας ἴδιον, τὰ δὲ μετὰ ταῦτα, καὶ ἡμῶν, καὶ ἐκείνου. Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μὴ πάσης ἐπιταγῆς. Ταῦτα λάλει, μὴ παρακάλει. ὁρᾷς πῶς πανταχοῦ μὲν προστάττει, καὶ φῆ ἔλεγξον, ἐπίμησον, παρακάλεσον, ἐν ταῦτα δὲ ταῦτα λάλει, καὶ παρακάλει, μὴ ἔλεγχε μὴ πάσης ἐπιταγῆς; ἐπειδὴ τὸ ἦθος αὐτῆ σκληρότερον ἴδιον, διαβλητικὸν καὶ ἀποτόμως, καὶ μὴ πάσης ἐπιταγῆς ἐλέγχειν ἐπιτάττει. ὅθεν γὰρ τῶν ἁμαρτημάτων, ἐκεῖ καὶ ἐπιτάγμασιν ἀπειρέγειν χρή. τὸ μὲν χρημάτων καταφρονεῖν, παραινοῦντας δεῖ πείθειν, καὶ τὸ ἐπιεικεῖς εἶναι, μὴ ὅσα τοιαῦτα. τὸν δὲ μοιχὸν, τὸν πόρνον, τὸν πλεονέκτην, μετ' ἐπιταγῆς ὧπὶ τὸ βέλτιον δεῖ ἐπάγειν, τὸν οἰωνιζόμενον, τὸν κληδονιζόμενον, τὸν ἄλλα τοιαῦτα πράττοντα, οὐδὲ ἁπλῶς ἐπιταγῆς, ἀλλὰ μὴ πάσης. ὁρᾷς πῶς βούλεται, καὶ μὴ αὐθεντίας, καὶ μὴ ἐξουσίας πολλῆς » ταῦτα αὐτὸν ἐπιτάττειν; Μηδείσου περιφρονείτω, ἄλλα ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς » ἐξουσίαις ὑποτάσσεσθαι, μηδένα βλασφημεῖν, ἀμάχους εἶναι. Τί οὖν μὴ δὲ τοὺς κακῶς πράττοντας, μὴ δὲ ἐκείνους λοιδορεῖσθαι; ἀλλὰ πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν. ἀκούσωμεν τῆς παραινέσεως. καθαρὸν εἶναι δεῖ ἡμῖν τὸ στόμα ἀπὸ λοιδορίας. εἴτε γὰρ ἀληθεῖς εἰσιν αἱ λοιδορίαι, οὐχ ἡμῶν ταῦτα λέγειν, ἀλλὰ τοῦ κριτοῦ ἐξετάζειν. σὺ γάρ φησι, τί κρίνεις τὸν ἀδελφόν σου; εἴτε οὐκ ἀληθεῖς, ὅρα ὅσον τὸ ῥῦπος. ἄκουσον τοῦ λῃστοῦ λέγοντος πρὸς τὸν ἕτερον λῃστήν. καὶ γὰρ καὶ αὐτὸς ἐν κρίματί ἐσμεν, τὸν αὐτὸν οἰῶνα τρέχομεν. ἐὰν ὀνειδίζῃς ἑτέροις, ταχέως καὶ αὐτὸς τοῖς αὐτοῖς περιπέσῃς. διαβλητικὸν παραινεῖ ὁ μακάριος οὗτος λέγων. ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. ἀμάχους εἶναι φῆ, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πραότητα, πρὸς πάντας ἀνοῦς, καὶ ἕλληνας, καὶ ἰουδαίους, μὴ μοχθηροὺς, καὶ πονηρούς. ἐκεῖ μὲν γὰρ ἀπὸ τῶν μελλόντων, ὅπερ καὶ αὐτὸς ἐποίει ἐν τῇ πρὸς γαλάτας ἐπιστολῇ, λέγων. ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ, ἐνταῦθα δὲ οὐκ ἀπὸ τῶν μελλόντων, ἀλλ' ἀπὸ τῶν παρελθόντων ἐντρέπει. μηδὲν ὀνειδίσῃς φῆ, τοιοῦτος γὰρ ἦς καὶ σύ. Ἦμεν γάρ φησι ποτὲ, καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις, καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ, καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους. Ὥστε πρὸς πάντας, τοιούτους εἶναι δεῖ, ἡμέρους ἔχειν. ὁ γὰρ τοιοῦτος ὢν πρότερον, μὴ ἀπαλλαγεὶς, οὐκ ὀνειδίζειν ὀφείλει πρὸς τοιούτους, ἀλλὰ δυνατὸς, μὴ χαίρειν ἔχειν τῷ, μὴ αὐτῷ, καὶ εἰκῆ δόντι τὴν ἀπαλλαγὴν τῶν προτέρων κακῶν. μηδεὶς καυχάσθω.

πάντες γὰρ

πάντες γὰρ ἥμαρτον. ὅταν οὖν ἐθέλῃς ὀνειδίσαι τινὰ, κατορθῶν αὐτὸς καὶ τὸν πρότερόν σου ἀνόητον βίον, καὶ τὸ τῦ μέλλοντος ἄδηλον, τῆ ὀργὴν ἀναχαίτιζε. εἰ γὰρ καὶ ἐκπρώτης ἡλικίας ἀναρέτως ἔζησας, ἀλλ' ὅμως ἔχοις ἂν ἁμαρτήματα πολλά. εἰ δὲ οὐκ ἔχεις ὡς νομίζεις, ἐννόησον ὅτι οὐ τῆς σῆς ἀρετῆς τῦτο γέγονεν, ἀλλὰ τῆς τῦ θεοῦ χάριτος. εἰ γὰρ μὴ τὸς προγόνους ἐκάλεσε τὸς σούς, καὶ αὐτὸς ἂν ἦς ἀπειθής. ὅρα πῶς πᾶσαν κακίαν διεξῆλθον, οὐχὶ μυρίας δὲ προφητῶν δὲ πάντων ὁ θεὸς ὠνόμει; μὴ ἠκούσαμεν; ἤμεν γάρ ποτε φησὶ, καὶ
» ἡμεῖς πλανώμενοι. Ὁ τε δὲ ἡ χρηστότης, ἡ φιλανθρωπία ἐπεφάνη τῦ σῶτρος ἡμῶν θεῦ, πῶς;
» οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ἀλλὰ κατὰ τὸν αὐτῦ ἔλεον, ἔσωσεν ἡμᾶς διὰ λουτροῦ πα
» λιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου. Βαβαὶ πῶς ἦμεν ἐν τῇ κακίᾳ βεβαπτισμένοι, ὡς μὴ δύνασθαι κατθαρθῆναι, ἀλλ' ἀναγεννήσεως δεηθῆναι. θᾶττον γάρ ὅτι παλιγγενεσία. καθάπερ γὰρ ἐπὶ οἰκίας σαθρῶς διακειμένης οὐδεὶς ὑποφείγματα πίθησιν, οὐδὲ συρράπτει τοῖς παλαιοῖς οἰκοδομαῖς, ἀλλὰ μέχρι τῶν θεμελίων αὐτὴν καταλύσας οὕτως αὖθις ἀνίστησι, μὴ ἀνακαινίζει, οὕτως μὴ αὐτὸς ἐποίησεν. οὐκέτι σεσιβύασεν ἡμᾶς, ἀλλ' αὖθις κατεσιβύασε. θᾶττον γὰρ ἀνακαινώσεως πνεύματος ἁγίου. αὖθις ἐποίησε καινούς. πῶς; διὰ τῦ πνεύματος. καὶ πάλιν, καὶ ἑτέρωθεν δείκνυσιν εἰπών. οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως
» διὰ Ἰησῦ χρῦ τῦ σῶτρος ἡμῶν. πολλοῦ δεῖ ἡμῖν πνεύματος. Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι.
» Πάλιν χάριτι οὐκ ὀφειλῇ. Κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς αἰωνίου. Ἅμα καὶ προτρεπτὴ εἰς ταπεινοφροσύνην ἐστὶ, καὶ ἐλπὶς ὑπὲρ τῶν μελλόντων. εἰ γὰρ οὕτως ἀπεγνωσμένους, ὡς αὖθις γεννηθῆναι, ὡς χάριτι σωθῆναι, ὡς μηδὲν ἔχειν ἀγαθὸν, ἔσωσε, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι θᾶττον ἐργάσεται. οὐδὲν γὰρ τῆς ἀνίνης θηριωδίας χεῖρον ἰῷ πρὸ τῆς τῦ γοῦν παρουσίας. ὡσπερ γὰρ ἐχθροὶ, καὶ πολέμιοι πάντες διέκειντο πρὸς ἀλλήλους. τὸς πατέρας ἔσφαζον τοῖς ἑαυτῶν. πρῆς, μὴ μρῆς πατρὶν ἐπεμαίνοντο. οὐδὲν ἰῷ ἐφικτὸς, οὐ φυσικὸς, οὐ μωσαϊκὸς νόμος, ἀλλὰ ἀνατέτραπτο ἅπαντα. μοιχεῖαι διωκεῖς, φόνοι, καὶ εἰσὶ φόνων φανερώτερον. κλοπαὶ φησὶ τίς τῶν ἔξωθεν, ὅτι καὶ ἀρετῆς τὸ πρᾶγμα ἐδόκει εἶναι. καὶ εἰκότως, ὅπου γε καὶ θεῦ τιμὴν ἔσεβον. χρησμοὶ συνεχεῖς τὸν δεῖνα ἀναιρεῖσθαι, καὶ τὸν δεῖνα. εἶτα πῶς τῶν κατ' ἐκεῖνον τὸν χρόνον; ἀνὴρ τίς ἐλθὼν εἰς Ἀθήνας, καὶ πάλιν νικήσας, δίκῃ ἐδίδου, καὶ ἀνῃρέθη. ὁ οὖν ἀπόλλων κακῶ τὸ κακὸν ἰώμενος, ἐκέλευσε δίκην ἐκτίσαι Ἀθηναίους ἀποκτάναι ὑπὲρ τούτου. τί τούτης τῆς τυραννίδος ὠμότερον; καὶ θᾶττον ἐγένετο, καὶ ἀνὸς τῦ δαίμονος τὴν μανίαν λῦσαι ἀπελθών, ἔσφαξε τὸν ἀνδριαντα. ὁρᾷς ὅτι εἰκότως ἀπάτη ἔχυεν; εἰ μὲν δικαίως τὸ πρᾶγμα ἐγίνετο, οὐκέτι χρὴ κωλυθῆναι, εἰ δὲ ἀδίκως, ὥσπερ οὖν καὶ ἀδίκως, οὐδὲ παρὰ τὴν ἀρχὴν ἐπιτακτέον. νύκτας προσεκτέον, καὶ παλαιστάς. πόλεμοι συνεχεῖς, μὴ ἑπάλληλοι, κατὰ πόλιν, κατὰ κώμην, κατὰ οἰκίαν. ἑταιρεράστου. καὶ παρ' αὐτοῖς φιλόσοφός τις ἐνομοθέτει, δύλῳ ἐξῆν αὐτῷ μήτε ἑταιρεραστεῖν, μήτε ἐρασταῖς λοιφεῖν. ὡς γὰρ ἀνάρετον τὸ πράγματος ὄντος, καὶ πολλὴν ἔχοντος τιμὴν, ἐπὶ οἰκήματος εἱστήκεισαν φανερῶς θᾶττον ποιοῦντες, καὶ εἰ πᾶσι ζῆς ἐθέλοι τοῖς κατ' αὐτὸν, δύρήσει φανερῶς ὅτι, καὶ εἰς τὴν φύσιν αὐτὴν ἐνύβριζον. καὶ οὐδεὶς ὁ κωλύων ἰῷ, ἀλλὰ τὰ δράματα αὐτοῖς πάντα, τούτων γέμει, μοιχείας, ἀσελγείας, διαφθορᾶς. παννυχίδες ἐγίνοντο μαραί. καὶ Γωβρίας ἐκάλουν τὴν θεὰν, ὡς τῆς μαχείας. ἐννυκτὶ, ἐν θεάτρῳ παννυ-

χὶς ἰῶ, καὶ παρθένος ἐκάθητο μεταξὺ νέων μεμηνότων, καὶ μεθυόντος ὄχλου. τὸ σκότος ἰῶ ἡ πανήγυεις, καὶ τὰ μυσαρὰ ἔργα τὰ ὑπ' αὐτῶν τελούμενα. διαβλῆτε φῆ, ἦμεν ποτὲ καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις, καὶ ἡδοναῖς ποικίλαις. ὁδεῖνα τῆς μητρυᾶς ἠράσθη φῆ, καὶ ἡδεῖνα τὸ προγόνου, καὶ ἀπήξατο. τὸς γὲ τῶν παίδων ἐρωτας, οὕσπερ αὐτοῖς παιδικὰ ἔθος καλεῖν ὅτιν, οὐδὲ εἰπεῖν ἐνι. ἀλλὰ τί; βούλει μητρογαμίας ἰδεῖν; ὅτι καὶ βλῆτε παρ' αὐτοῖς, τοῖς καὶ τὸ δὴ δεινὸν, νῦν ἀγνοίας τὸ πρᾶγμα ἐγίνετο. καὶ οὐκ ἐκώλυεν ὁ θὲς ὁ παρ' αὐτοῖς, ἀλλὰ περιεώρα τὴν φύσιν ὑβριζομένην, καὶ ταῦτα τῶν ἐπισήμων οὖσαν. οὐκ εἰκὸς, εἰ καὶ μὴ δι' ἕτερόν τι, διὰ γοῦν τὴν πολλῶν δόξαν ἀντέχεσθαι τῆς ἀρετῆς. οὗτοι δὲ οὕτω πρωϊαῖς κατὰ τῆς κακίας ἐφέροντο. ἠράσθη ἡδεῖνα τὸ δεῖνος, ἐπανελθόντα τὸν ἄνδρα ἔσφαξε διὰ τὸ μοιχοῦ, τάχα ἴσε τὸ δίκημα οἱ πολλοί. τὸν μοιχὸν ἀνεῖλεν ὁ τοῦς τὸ φονεύθεντος, κἀκείνην ἐπέθυσε, μετὰ ταῦτα ἐμάνη κἀκεῖνος, κἠ τοῦς ἐριννύσιν ἠλαύνετο. εἶτα αὖτὸς οὗτος μανεὶς ἀπελθὼν ἔσφαξεν ἕτερον, κἠ τὴν ἐκείνου γυναῖκα λαμβάνει. τί τούτων χεῖρον τῶν συμφορῶν; τούτου χάειν ταῦτα λέγω ἀπὸ τῶν ἔξωθεν, ἵνα τοὺς ἕλλησι πείσω πόσα κατεῖχε τὴν οἰκουμένην κακά. ἀλλ' εἰ βούλεσθε, καὶ ἀπὸ τῶν ἡμετέρων δείκνυωμεν, ἔθυσαν φῆ τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. καὶ πάλιν οἱ τὰ σώματα οἰκοῦντες, δι' οὐδὲν ἕτερον ἀπώλοντο, ἢ ὅτι πᾶσιν ἐωσεμάνοντο, ἀλλὰ πάλιν ἐν προοιμίοις τῆς τῦ χῦ παρουσίας, οὐχὶ ἡ τῦ βασιλέως θυγάτηρ ἐν μέσοις ὠρχεῖτο τοῖς συμποσίοις; ἐν ἀνθρώποις μεθύουσιν; οὐχὶ φόνον ἤτει; καὶ ὀρχήσεως τιμὴν τὴν κεφαλὴν τῦ προφήτου; τίς λαλήσει τὰς δυνάμεις τῦ κῦ; φυγὴ δέ φησι, μισοῦντες ἀλλήλους. ἀνάγκη γὲ πάντως ὅταν πάσας τῆς ψυχῆς ἐπαφῶμεν τὰς ἡδονὰς, πολὺ τὸ μῖσος γίνεσθαι. διατί; ὅτι οὐ μετ' ἀρετῆς ἡ ἀγάπη. ὅτι οὐδεὶς οὐδένα πλεονεκτεῖ. ὅρα καὶ ὁ παῦλος τί φησι. μὴ πλανᾶσθε, οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὐ λοίδοροι, οὐ μέθυσοι, βασιλείαν θῦ κληρονομήσουσιν. ὁρᾶς πῶς πᾶν κακίας εἶδος ἐπεπόλαζε; καὶ πολλή τις ἰῶ ἡ ἀχλύς; τὸ δίκαιον διεφθείρετο. εἰ γὲ οἱ προφητεύσαντες ἀπολαύοντες, καὶ τοσαῦτα ὁρῶντες γενόμενα κακὰ, καὶ ἐν τοῖς πολέμοις, καὶ ἐν αὐτοῖς. ὅμως οὐκ ἐνείχοντο, ἀλλὰ μυρία καινὰ εἰργάζοντο, τί αὖ οἱ ἄλλοι; ἀλλά τις πάλιν παρ' αὐτοῖς παρθένους γυμνὰς ἐκέλευε παλαίειν ἐπ' ὄψεσιν ἀνθρώπων, πολλὰ ὑμῖν γένοιτο ἀγαθά. ὅτι οὐδὲ τὸ ῥῆμα ἀκοῦσαι φέρετε. αὐτὸ δὲ τὸ πρᾶγμα, οἱ φιλόσοφοι, οὐκ ἠχθοντο. ἕτερος δέ τις φιλόσοφος ὁ κορυφαῖος αὐτῶν, καὶ εἰς πολέμους αὐτὰς ἐξάγει, καὶ κοινὰς εἶναι κελεύει, ὡς μαφθῆ πός τις ὢν, καὶ προαγωγός. ἐν κακίᾳ, καὶ φθόνῳ διάγοντες φῆ. εἰ γὲ οἱ φιλοσοφοῦντες παρ' αὐτοῖς τοιαῦτα ἐνομοθέτουν, τί αὖ εἴποιμεν περὶ τῶν μὴ φιλοσοφησάντων, εἰ οἱ τὸ γένειον ἔχοντες βαθὺ, καὶ τὸν πώγωνα ἀναβεβλημένοι τοιαῦτα λέγουσι, τί αὖ εἴποιμεν περὶ ἑτέρων; οὐ διαβλῆτε γέγονεν ἡ γυνὴ ἀνθρωπε, ὥστε κοινὴ πᾶσι προκεῖσθαι. ὦ πάντα ἀνατρέποντες ὑμεῖς, οἱ τοῖς μὲν ἀρρέσιν, ὡς θηλείαις μιγνύμενοι, τὰς δὲ θηλείας ὡς ἄνδρας εἰς πόλεμον ἐξάγοντες. τοῦτο γὲ ἔργον τῦ διαβόλου, τὸ πάντα συγχεῖν, καὶ ἀνατρέπειν, καὶ τὰ ἐξαρχῆς τεθέντα θεῖα διασκεδάννυειν. τῇ μὲν γὲ γυναικὶ τὸ οἰκουρεῖν ἔδωκεν ὁ θὲς, τῷ δὲ ἀνδρὶ τὰ δημόσια πράττειν. σὺ δὲ τὴν κεφαλὴν εἰς τοὺς πόδας κατάγεις, καὶ τοὺς πόδας εἰς τὴν κεφαλὴν ἀνάγεις. γυναῖκας

γεις. γυναῖκας ὁ πλίζεις, καὶ οὐκαὶ χωὴς τί δὲ ζῶντα λέγω; εἰσάγοισί τινα παρ' αὐτοῖς γυναῖκα, καὶ παῖδας ἀνελοῦσαν, καὶ οὐκαὶ χωόνται, οὐδὲ ἐνηρέπου), τοιαῦτα μυσαρὰ δι-
» ήματα, εἰς τας τῶν ἀνθρώπων ἀκοας ἐμβάλλοντες. Ὁ τε δὲ ἡ χρηστότης, καὶ ἡ φιλαν-
» θρωπία ἐπεφανὴ τῦ σωτῆρος ἡμῶν θυ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσυνῃ, ὧν ἐποιήσαμεν ἡ-
» μεῖς, ἀλλὰ κατὰ τὸν αὐτῦ ἔλεον, ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώ-
» σεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ ἰησοῦ χῦ τῦ σωτῆρος ἡμῶν, ἵνα
» δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς αἰωνίου. Τί ἐστι
» κατ' ἐλπίδα; τουτέστι καθὼς ἠλπίσαμεν, οὕτως ἀπολαύσομεν. Ἢ ὅτι ἤδη, καὶ κληρονόμοι
» ἐσμέν. Πιστὸς ὁ λόγος. ἐπειδὴ γὰρ περὶ μελλόντων διελέχθη, καὶ οὔπω παρόντων, ἐπήγα
γε τὸ ἀξιόπιστον. ἀληθῆ ταῦτα ἐστὶ φησί. καὶ δῆλον ἐκ τῶν φθασάντων. ὁ γὰρ τοσαύτης ἡ-
μᾶς ἀνομίας ἀπαλλάξας, καὶ τοσούτων κακῶν, δῆλον ὅτι καὶ τῶν μελλόντων ἡμᾶς με-
ταδώσει πάντων ἐπιμείνασι τῇ χάριτι. ἀπὸ γὰρ τῆς αὐτῆς κηδεμονίας ἅπαντα γίνεται.

Ἡ ἀπόν.

Εὐχαριστῶμεν οὖν τῷ θεῷ, καὶ μηδὲν τοῖς ἄγροις ὀνειδίζωμεν, μηδὲν ἐγκαλῶμεν, ἀλλὰ παρακαλῶμεν μᾶλλον. δυσχώμεθα ὑπὲρ αὐτῶν, συμβουλεύωμεν, παραινῶμεν, κἂν ὑβρίζωσι, κἂν λακτίζωσι. τοιοῦτοι γάρ εἰσιν οἱ νοσοῦντες. ἀλλ' οἱ περὶ τὴν ὑγείαν ἐκείνων σπεύδοντες, πάντα φέρουσι, πάντα πράττουσι, κἂν μηδὲν αἰτιῶνται, ἵνα μὴ ἑαυτοῖς ἐγκαλῶσιν ὡς περ ἠμελημόσιν. ἢ οὐκ ἴστε ὅτι πολλάκις ἰατροῦ ἀπογνόντος τὸ κάμνοντος, ἕτερός τις φιλοσοφοῦντων πρὸς αὐτὸν, δόξαν ἰατρείαν πάλιν πρόσαγε, καὶ μηδὲν ἐλλίπῃς, ἵνα μηδὲν ἑαυτῷ ἐγκαλῶ; ἵνα μηδὲν μέμφωμαι; ἵνα μὴ κατηγορεῖν ἔχω ἑαυτοῦ; οὐχ ὁρᾶτε πόσην οἱ προσκόπτοντες πρὸς τοὺς ἐπιτηδείους ποιοῦνται τὴν πρόνοιαν; πόσα ὑπὲρ τούτου πράττουσι; καὶ ἰατροὺς παρακαλοῦντες, καὶ προσεδρεύοντες διαπαντὸς; κἂν τούτους μιμώμεθα, καίτοιγε οὐχ ὑπὲρ τῶν ἴσων, ἡ φροντίς. νῦν δὲ τὸ μὲν σῶμα κάμνοντος τοῦ παιδὸς, οὐκαὶ παραυτίσαυτόπις, καὶ μακρὰν ἀποδημίαν θέλαθαι, ὥστε λῦσαι τὴν νόσον. τῆς δὲ ψυχῆς κακῶς ἐχούσης, οὐδεὶς οὐδὲν αὐτοῖς ἐστι λόγος, ἀλλὰ πάντες ἀναστενάζομεν, πάντες ῥᾳθυμοῦμεν, πάντες ὀλιγωροῦμεν, καὶ παῖδας, καὶ γυναῖκας, καὶ ἡμᾶς αὐτοὺς περιορῶντες ἁλισκομένους ἀπὸ τῆς νόσου ταύτης τῆς χαλεπῆς. ἀλλ' ὕφορον λαμβανόμενοι αἰσθήσιν. ἐννοήσατε, ὡς αἰσχρὸν, καὶ σφόδρα καταγέλαστον ὕφορον λέγειν. οὐ προσεδρεύομεν, οὐκ ἀλπίζομεν ὑγιᾶ ἔσεσθαι. οὐκαὶ χρὸν δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνον. εἰ γὰρ ἐν τῷ παρόντι βίῳ τῶν ἀνοήτων ἐστὶ τὸ τὰ μέλλοντα μὴ προορᾶν, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι. ὅτε μὴ ἀκούομεν νῦν πολλῶν συμβουλευόντων, καὶ λεγόντων τὰ πρακτέα, μὴ τὰ μὴ πρακτέα. ἀντεχώμεθα τοίνυν τῆς φροντίδος ἐκείνης. φροντίσωμεν τῆς σωτηρίας τῆς ἡμετέρας, τὸν θεὸν ἐπιπᾶσι παρακαλῶμεν, ὥστε χεῖρα ὀρέξαι. μέχρι τίνος ῥᾳθυμοι; μέχρι τίνος ἀμελεῖς; μέχρι τίνος καταφρονοῦμεν ἑαυτῶν, καὶ τῶν ὁμοδούλων ἡμῶν; οὗτος πλουσίως ἐξέχεεν εἰς ἡμᾶς τὸ τοῦ

πνεύματος

πνεύματος χάριν. ἐννοήσωμεν τίνων ὅσην χάριν περὶ ἡμᾶς ἐπεδείξατο, καὶ τοσαύτην αὐτοῦ δόξαν ἐπιδείξωμεθα, μᾶλλον δὲ τοσαύτην οὐ δυνατόν, κἂν γοῦν ἐλάττονα. οὐ γὰρ καὶ μετὰ τὴν χάριν ταύτην ὦμεν ἀναίσθητοι, μείζων ἡμῖν ἔσται ἡ κόλασις, εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχον. νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν. ἀλλὰ μὴ γένοιτο ταῦτα περὶ ἡμῶν εἰπεῖν. ἀλλὰ γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἠγαπηκόσιν αὐτὸν ἐν Χῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

Λόγος, ε'.

» Καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ » πεπιστευκότες θεῷ. ταῦτα ἐστὶ καλὰ, καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. μωρὰς δὲ ζητήσεις, μὴ » γενεαλογίας, καὶ ἔριδας, καὶ μάχας νομικὰς περιΐστασο. εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι, αἱ » ρετικὸν ἄνθρωπον μετὰ μίαν νουθεσίαν, μετὰ δευτέραν, παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦ » τος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. Εἰπὼν περὶ τῆς τοῦ νῦν φιλανθρωπίας, καὶ τῆς ἀφάτου περὶ ἡμᾶς κηδεμονίας, καὶ πάντας ὄντας ἡμᾶς πάντας εἰργάσατο, ἐπήγαγε, μὴ φῇ. καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες θεῷ, καὶ ταῦτα διαλέγεσθαι, καὶ ἀπὸ τούτων προτρέπειν τὴν ἐλεημοσύνην. οὐ γὰρ μόνον πρὸς τὰ πεινοφροσύνην ἡμῖν τὰ εἰρημένα ἁρμόσει, καὶ πρὸς τὸ μὴ ἐπαίρεσθαι, καὶ ὀνειδίζειν ἑτέροις, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν ἄλλην ἀρετήν. οὕτω γοῦν καὶ πρὸς πλουσίους διαλεγόμενος, φῇ. γινώσκετε ὅτι ὁ κς ἐπλούτησε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν, ἐννοήσας τοῦ νῦν τὴν κηδεμονίαν, καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ φιλανθρωπίαν, τῇ ἐλεημοσύνῃ αὐτοὺς προετρέψατο. οὐχ ἁπλῶς, οὐδὲ παρέργως. ἀλλὰ πῶς; ἵνα φροντίζωσι φῇ καλῶν ἔργων προΐστασθαι. τουτέστι καὶ ἀδικουμένοις βοηθεῖν, μὴ χρήμασι μόνον, ἀλλὰ καὶ προστασίαις, καὶ χερσὶ ἐπαμύνειν, καὶ ὀρφανοῖς, μὴ πάντας τοὺς καλῶς πάσχοντας ἐν ἀσφαλείᾳ καθίσαι. διὸ γάρ ἐστι καλῶν ἔργων προΐστασθαι. ταῦτα γάρ ὅτι φῇ καλὰ, καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔριδας, καὶ μάχας νομικὰς, περιΐστασο. εἰσὶ γὰρ ἀνωφελεῖς, καὶ μάταιοι. τίποτε βούλονται αἱ γενεαλογίαι; καὶ γὰρ ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ, πίθησι διὸ λέγων. μύθους, καὶ γενεαλογίας ἀπεραντους. ἔριδας δέφησι τὰς πρὸς τοὺς αἱρετικούς, ὅταν μηδὲν ᾖ κέρδος. τὸ γὰρ τέλος αὐτῶν, οὐδέν. ὅταν γάρ τις διεστραμμένος, καὶ μὴ δι' αὐ ὁποιῶν γένῃ προῃρημένος μεταθέσθαι τὴν γνώμην, τίνος ἕνεκεν εἰκῇ κάμνεις, κατὰ πετρῶν πειρῶν; δέον ποιεῖν τὸν καλὸν ἐκεῖνον πόνον, εἰς τοὺς σούς; τὰ περὶ ἐλεημοσύνης αὐτοῖς διαλεγόμενος, μὴ τῆς ἄλλης ἀρετῆς. πῶς οὖν ἑτέρωθι φῇ, μήποτε δῷ αὐτοῖς ὁ θς μετάνοιαν, σὺ ταῦτα δὲ αἱρετικὸν ἄνθρωπον μετὰ μίαν νουθεσίαν, καὶ δευτέραν παραιτοῦ; εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, μὴ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. ἐκεῖ μὲν περὶ τῶν ἐλπίδας ἐχόντων διορθώσεως φῇ, μὴ περὶ τὸ ἀνιάτως ἔχειν ἁπλῶς. ὅταν δὲ δῆλος ᾖ πᾶσι, μὴ φανερὸς, τίνος ἕνεκεν πονεῖς εἰκῇ; πῖ τὸ ἄερα δαίρεις; τί ἐστιν ὢν αὐτοκατάκριτος; οὐ γὰρ ἔχεις εἰπεῖν, ὅτι οὐδεὶς εἶπεν, οὐδεὶς ἐνόθετησεν, ὅταν οὖν μὴ τὸ παραίνεσιν ὁ αὐτὸς ἐπιμένῃ, αὐτοκατάκριτος γίνεται.

Ὅταν πέμψω

Ὅταν πέμψω ἀρτεμᾶν πρὸς σὲ, ἢ τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς νικόπολιν.
» Τί λέγεις ἐπισήσας αὐτὸν τῇ κρίτῃ, πάλιν καλεῖς πρὸς ἑαυτόν; οὐκ ἀπάγων αὐτὸν τῆς
» χολῆς ἐκείνης, ἀλλὰ πλέον ῥυθμίζων. ὅτι γὰρ οὐχ ὥστε περιάγειν αὐτὸν, καὶ παντα χοῦ ἔχειν
» ἀκολουθοῦντα καλεῖ πρὸς ἑαυτὸν, ἄκουσον τί φησι. Ὅπου ἐκεῖ κέκρικα παραχειμάσαι.
» Ἡ δὲ νικόπολις, τῆς θρᾴκης ἐστί. Ζῶσαν τὸν νομικὸν, καὶ ἀπολλὼ, σπουδαίως πρόπεμ-
» ψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. Αὐτοὶ δὲ οὐδέπω τῶν ἐγχειρισθέντων ἦσαν, ἀλλὰ τῶν
συνόντων αὐτῷ. σοφιστότερος δὲ ἦν ὁ ἀπολλὼ, διὰ τοῦτο ἐν ταῖς γραφαῖς, καὶ αὐτὸς
λόγος. εἰ τοίνυν νομικὸς ὢν ἐκεῖνος, οὐκ ἔδει παρ' ἑτέρων αὐτὸν πρέφεσθαι, ἀλλὰ νομικὸν ὄν-
τα αὐτὸν ἦν τῶν ἰουδαϊκῶν νόμων ἔμπειρον. τοῦτο γὰρ ἐν πάσῃ ἀφθονίᾳ αὐτοῖς κατάσκη-
» σον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. Μαινόμενοι δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐ-
» στασθαι, εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ
» πάντες, ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἦτοι τοὺς αὐτὸν φιλοῦντας φῂς, ἢ τοὺς
πιστοὺς αὐθρασῶς. Ἡ χάρις μετὰ πάντων ὑμῶν ἀμήν. Πῶς οὖν αὐτῷ κελεύεις τοὺς ἀν
πλέοντας ἐπισωμίζειν, εἰ περιστάσεται τούτους δεῖ, ὅταν ὕδωρ λύμη πάντα ποιῶσιν ἑαυτῶν;
φῂς δὲ προηγουμένως ὕδατι τῷ ἐκείνων κέρδει, μηδέποτε ὕδωρ ποιεῖν. οὐδὲ γὰρ αὖ περιβάλλειαν
ποτε, ἅπαξ διεγραμμένοι τὴν γνώμην. εἰ μὲν γὰρ ἑτέροις λυμαίνοιντο, διεστάναι, καὶ μάχε
σθαι, καὶ μὴ πολλῆς τῆς ἀνθρείας περιστάσθαι. εἰ δὲ εἰς ἀνάγκην καταστάσης, ὁρῶν ἑτέρους
διαφθειρομένους, μὴ σίγα ἀλλ' ἐπισώμιζε, τῶν μελλόντων ἀπόλλυσθαι κινδύνων. ὅλως δὲ οὐκ
ἔστι τὸν σπουδὴν ἔχοντα, καὶ βίον ὀρθὸν, μάχης ἀνέχεσθαι. πλὴν ὡς εἴπεν, οὕτως ποίει, ἀπὸ
γὰρ ἀργίας, καὶ τῆς περιττῆς φιλοσοφίας τὸ πρᾶγμα γίνεται, τὸ περὶ τὰ ὀνόματα σχολᾶ-
σθαι μόνον. καὶ γὰρ περιττὰ φθέγγεσθαι, πολλὴ ζημία, δέον ἢ διδάσκειν, ἢ δύχεσθαι, καὶ δύχα
ειτεῖν. οὐ δὲ γὰρ χρημάτων μὲν φείδεσθαι ὀφείλομεν, ῥημάτων δὲ οὔ. ἀλλὰ μάλιστα τού-
των, ἢ ἐκείνων, καὶ μὴ ἁπλῶς πᾶσιν ἑαυτοὺς ἐκδιδόναι. τί ἔτι ἵνα φροντίζωσι καλῶν ἔργων
προΐστασθαι; ἵνα μὴ περιμένωσι τοὺς δεομένους, ἐλθεῖν πρὸς αὐτούς. ἀλλὰ καὶ αὐτοὶ συνεργάζονται τοὺς δεομένους τῆς αὐτῶν βοηθείας. ὁ γὰρ φροντίζων, οὕτως φροντίζει. οὕτως
γὰρ μάλιστα, καὶ μετὰ πολλῆς τῆς σπουδῆς ἔσται ἐργάσεται. ἢ γὰρ ἐν οἷς δεῖ ποιεῖ, οὐ τοῖς
πάσχουσι τοσοῦτον, ὅσον τοῖς δεῖ ποιοῦσι πρόσοδον, καὶ κέρδος φέρει τὸ γινόμενον. παῤῥησίαν
γὰρ δίδωσιν αὐτοῖς πρὸς τὸν θεόν. ἐκεῖ δὲ τῆς μάχης τὸ τέλος οὐδέν. τὸν ἀδιόρθωτον οὖν
λέγει αἱρετικόν. ὥσπερ γὰρ τὸ τοὺς ἐλπίδας ἔχοντας μεταβολῆς παροξύνωθείασ, οὕτως τὸ
τοὺς ἀνίατα νοσοῦντας δοξασθένειν, ἀνοίασ, καὶ τῆς ἐσχάτης παραπληξίασ. θρασυτέρους
γὰρ ἐργαζόμεθα ἐκείνους. μαινόμενοι δὲ φησι, καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστα-
σθαι, εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. ὁρᾷς ὅπου αὐτῶν φροντίζει μόνον, ἢ τὰ
λαμβανόντων; ἐνταῦθα γὰρ ἴσως πολλαχόθεν τούτους προσέπεμψαν, ἀλλὰ τῶν ἡμετέρων φησὶ
φροντίζω. τί γὰρ ὄφελος εἰ πέμποι; εἰ γὰρ θησαυροὺς ἀνορύττοντες ἔτρεφον τοὺς διδασκάλους
οἱ τοιοῦτοι τούτοις, οὐδὲν οὐδέπω κέρδος ἦν, ἄκαρποι γὰρ ἔμενον. οὐκ ἠδύνατο ὁ τοσούτους
ἐργασάμενος, καὶ ἀπὸ ἑπτὰ μυριοπλασίους, θρέψαι ἑαυτὸν, ἢ τοὺς συνόντας αὐτῷ;

Τίνος οὖν

Ἡ ὑπόθεσις.

Τίνος οὖν ἕνεκεν ὑπὸ γυναικῶν ἐτρέφετο; ἠκολούθουν γὰρ αὐτῷ φησι γυναῖκες αἵτινες διηκόνουν αὐτῷ. διδάσκων ἡμᾶς αὖθις ἐπὶ τῶν τοιούτων φροντίζειν, οὐκ ἀθύμως ἔχοντας ὁ παῦλος, ὁ καὶ ἑτέροις ἐπαρκῶν ἀπὸ τῶν ἑαυτοῦ χειρῶν, μηδαμόθεν λαμβάνειν· ἀλλ' ὁρᾶς αὐτὸν καὶ λαμβάνοντα, καὶ αὐτοῦντα· καὶ ἀκούσον· διὰ τί γὰρ ζητῶ φησι, οὐ τὸ δόμα, ἀλλὰ τὸν καρπὸν τὸν πλεονάζοντα, εἰς λόγον ὑμῶν· καὶ παρὰ τοῦ ἀρχιποίμενος δέ, ὅπου τὰ αὐτῶν ἅπαντα πεπράσκοντες, ἐπίστευσαν, παρὰ τοὺς πόδας τῶν ἀποστόλων· ὁρᾷς τοὺς ἀποστόλους αὐτῶν φροντίζοντας μᾶλλον, ἢ τῶν λαμβανόντων; εἰ γὰρ ὁπωσδήποτε μόνων τῶν πενήτων ἐφρόντιζον, οὐδένα ἂν λόγον ὑπὲρ τῆς σωφείρας, καὶ τοῦ ἀνανίου ἐποιήσαντο, ἵνα μὴ νοσφίσαντο τὰ χρήματα· οὐκ ἂν ἐκώλυσεν ἐξ ἀδικίας λαμβάνειν· οὐκ ἂν διετάξατο παῦλος λέγων· μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· τί λέγεις παῦλε; ἐμποδίζεις τοῖς πένησιν; οὔφησι· οὐ γὰρ τὰ ἐκείνων ὁρῶ, ἀλλὰ τὰ τῶν διδόντων· ὅρα καὶ τὸν προφήτην ἵνα τῷ ναβουχοδονόσορ συμβουλεύσῃ τοῦ ἀρίστην ἐκείνῃ γνώμῃ, οὐχὶ τῶν πενήτων μόνων φροντίζοντα· οὐ γὰρ εἶπε δὸς τοῖς πένησιν ἁπλῶς, ἀλλὰ τί; τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων· κένωσον τὰ χρήματα φησί· οὐχ ἵνα ἕτεροι γράφωσι μόνον, ἀλλ' ἵνα ἀπαλλαγῆς αὐτὸς τῆς τιμωρίας· μὴ πάλιν ὁ χς· πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι· ὁρᾷς ὅτι καὶ ἐκεῖ ἀπὸ τοῦ ἀκολουθῆσαι ἔδει ἐντεῦθεν ἤρξατο; ἐπειδὴ γὰρ ἐμπόδιον ἦν τὰ χρήματα, διὰ τοῦτο δίδοναι πένησιν ἐπέταξε· καὶ δένει τὴν ψυχὴν ἐλεήμονα εἶναι, καὶ οἰκτίρμονα· καὶ δένει χρημάτων καταφρονεῖν· καὶ δένει πᾶσιν ἐξῆς ἐφίσασθαι· ὁ γὰρ καὶ δένομενος τῷ μὴ ἔχοντα δοῦναι, καὶ δεύσεται τῷ χρόνῳ μὴ λαμβάνειν ἀπὸ τῶν ἐχόντων· δεῖ ὁμοίους ποιεῖ τῷ θεῷ· καὶ ἐγγὺς ἡ παρθενία χαλεπώτερον αὐτῆς πόνον ἔχει, καὶ ἡ νηστεία, καὶ τὸ χαμεύνειν· ἀλλ' οὐδὲν οὕτως ἰσχυρὸν, καὶ δυνατὸν πρὸς τὸ σβέσαι τῶν ἁμαρτημάτων ἡμῶν τὴν φλόγα, ὡς ἡ ἐλεημοσύνη· πάντων αὕτη μείζων ἐστὶ, παρ' αὐτὸν ἴσθι τὸν βασιλέα τοὺς αὐτῆς ἐραστάς· καὶ μάλα εἰκότως· παρθενία μὲν γὰρ, καὶ νηστεία, καὶ χαμευνία, πρὸς τὸν ποιοῦντα μόνον, ἕτερον δὲ ἔσωσεν οὐδένα· ἡ δὲ ἐλεημοσύνη, εἰς πάντας ἐκτείνεται, καὶ τὰ μέλη περιπλέκεται τοῦ χῦ· πολὺ δὲ τῶν εἰς τὸν ἕνα περιϊσταμένων, τὰ πανταχοῦ ἐκτεινόμενα σώματα μείζονα· αὕτη γὰρ μήτηρ ἀγάπης τῆς τὸν χριστιανισμὸν χαρακτηριζούσης, τῆς τῶν σημείων ἁπάντων μείζονος· δι' ἧς οἱ μαθηταὶ φαίνονται τοῦ χῦ· αὕτη φάρμακόν ἐστι τῶν πονηρῶν ἁμαρτημάτων, σημῆμα τοῦ ῥύπου τῆς ἡμετέρας ψυχῆς, κλίμαξ εἰς τὸν οὐρανὸν ἐφηπλωμένη· αὕτη τοῦ χριστοῦ τὸ σῶμα σώζει· βούλεσθε μαθεῖν ὅσον ἀγαθὸν αὕτη ἐστὶν; ὦ τῶν ἀποστόλων πάντες τὰ ἑαυτῶν πωλοῦντες, διεδίδοσαν ἐκάστῳ, καθ' ὅτι αὐτοῦ χρείαν εἶχεν· εἰσὶ γάρμοι, καὶ χωρὶς τῶν μελλόντων· μήπω γὰρ περὶ τῆς βασιλείας νῦν κινήσωμεν· ἀλλ' ἐν τῷ παρόντι ἴδωμεν, τίνες κερδαίνουσιν οἱ λαμβάνοντες, ἢ οἱ δόντες· ἐκεῖνοι μὲν γὰρ ἐγόγγυζον, καὶ διεφέροντο πρὸς ἀλλήλους, οὗτοι δὲ εἶχον ψυχὴν μίαν· ἣν

γὰρ φησι

χάρφισι ἁπάντων ἡ καρδία, καὶ ἡ ψυχὴ μία. καὶ χάρις ἦν ἐπὶ πάντας αὐτούς, ἡ μὴ πολλῆς ὠφελείας δῆλον. ὁρᾷς ὅτι καὶ ἐντεῦθεν ἐκεῖνοι ἐκέρδαινον; εἰ γὰρ δήμοι, τίνων οὐκ ἠθέλησας εἶναι; τῶν τὰ αὐτῶν ῥιψοκινδύνων, καὶ οὐδὲν ἐχόντων, ἢ τῶν μὴ τὰ ἑτέρων λαμβανόντων; ὅρα τὸν καρπὸν τῆς ἐλεημοσύνης, τὰ διαφράγματα, καὶ τὰ κωλύματα ἀνῃρέθη, καὶ βδελυρίας σωφρονισθῆναι αὐτῶν αἱ ψυχαί. πάντων ἦν ἡ καρδία, καὶ ἡ ψυχὴ μία. ὥστε μὴ χωρὶς τῆς ἐλεημοσύνης, τὰ τὰ χρήματα κενοῦν, πολὺ ἔχει τὸ κέρδος. ταῦτα δέ μοι εἴρηται, ἵνα οἱ κλῆρον παρὰ προγόνων μὴ διαδεξάμενοι, μὴ ἀλγῶσι, μὴ δὲ καταφιλῶσιν, ὡς ἐλάττονα τὸ πλοῦτον ἔχοντες. μείζονα γὰρ ἔχουσιν αὐτὸν ἐθέλωσι. καὶ γὰρ πρὸς ἐλεημοσύνην πλείονος ἔξουσι τῆς εὐκολίας, καθάπερ ἡ χεὶρ, καὶ τῆς πρὸς τὸν πλησίον ἔχθρας, οὐδὲ μίαν ἔξουσιν ἀφορμήν. καὶ πάντων εἰσὶν ἐλευθερώτεροι. οὐδεὶς ἀτειλῆσαι δουλώσει τῷ τοιούτῳ δημεύειν. ἀλλ' ὅσῳ ἀνώτερος τοῦ παθεῖν κακῶς, μὴ καθάπερ τοὺς γυμνοὺς φοβοῦνται. οὐδεὶς αὐτὰ χέως κατάσχοι, τῶν δὲ πολλὰ περιβεβλημένων, καὶ ἐπισυρομένων ῥᾳδίως αὐτὰ ἐπιλάβοιτο, οὕτως καὶ ὁ πλούσιος, καὶ ὁ πένης ἐστίν. ὁ μὲν γὰρ κἂν ἁλῷ, δυσκόλως διαδράσεται δουλώσεται. ὁ δὲ κἂν μὴ κατασχεθῇ, τοῖς ἑαυτοῦ χοινίοις συμποδίζεται. φροντίσι μυρίαις, ἀθυμίαις, ὀργαῖς, παροξυσμοῖς. ταῦτα πάντα, καταχωννύει τὴν ψυχήν. καὶ οὐ ταῦτα μόνα, ἀλλὰ καὶ ἄλλα πολλά, ἅπερ ἀπὸ τοῦ πλούτου ἐπισύρεται. καὶ γὰρ μεθύσαι δυσκολώτερον τὸν πλούσιον, ἢ τὸν πένητα. καὶ σὺ βούλει ζῶν, μὴ θυμοῦ ἀπαλλάχθαι δυσκολώτερον τοῦτον, ἢ ἐκεῖνον. οὐκοῦν πλείονα φρὴν ἔξει μαθόν. οὐ δαμῶς. διατί εἶχε τὰ δύσκολα κατορθοῖ; ὅπου αὐτὸς ἑαυτῷ τὰς δυσκολίας ἐπενόησεν. οὐ γὰρ ἐπιτέτακται πλουτεῖν, ἀλλὰ καὶ τοὐναντίον. ἑαυτῷ δὲ μυρία σκάνδαλα, καὶ κωλύματα κατασκευάζει. ἄλλοι δὲ οὐ μόνον τὰ χρήματα ἀποθέσθαι, ἀλλὰ καὶ τοῦ σώματος τὸ πλέον καταπικοῖεν, ὡς φεύγοντες ὁδόν. σὺ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὔξεις τὴν κάμινον τῶν παθῶν. οὐκοῦν εἰς τὴν βυρύχωρον ἄπιθι. ἐκείνη γάρ ἐστιν ἡ τοὺς τοιούτους δεχομένη. ἡ δὲ στενή, τοὺς θλιβομένους, τοὺς ἐστενωμένους, τοὺς οὐδὲν βαστάζοντας, ἀλλ' ἢ ταῦτα τὰ φορτία αὐτῆς νομίζεσθαι δυσκατόν. ἐλεημοσύνη, φιλανθρωπίαν, χρηστότητα, ἐπιείκειαν, αὗται ταῦτα βαστάζης, βδελυρῶς δυσπόνησεν εἰσελθεῖν. αὗται δὲ ἀπόνοιαν, καὶ φλεγμονὴν ψυχῆς, μὴ τὸ τῶν ἀκανθῶν φορτίον τὸν πλοῦτον, πολλῆσσοι δεῖ τῆς βυρυχωρίας. οὐ δὲ γὰρ εἰς τὸν ὄχλον ἐμβῆναι δυσκατόν. ὥστε μὴ ἑτέρους πλήττειν αὐτὸν ἐπιφερόμενον, ἀλλ' ἔδει πολλῆς διαστάσεως ἐν ταῦθα. ὁ μὲν γοῦν ἀποφέρων χρυσίον, καὶ ἀργύριον, τὰ τῆς ἀρετῆς λέγω καθαρτήματα, οὐ μόνον φθόγγους οὐκ ἔχει τοὺς πλησίον, ἀλλὰ καὶ πλησίον γινομένους, καὶ σωδιαξῶντας. πλὴν εἰ ὁ πλοῦτος αὐτὸς ἄκανθά ἐστι. τί ἡ πλεονεξίας; τίνος ἕνεκεν ταύτην ἀπάγει ἐκεῖ; ἵνα μείζονα τὴν φλόγα ἐργάσηται; φορτία ὑποτιθεὶς τῷ πυρί; οὐ γὰρ ἀρκεῖ τῇ γεέννῃ πῦρ; ἐννόησον οἱ τρεῖς παῖδες πῶς περιεγένοντο τοῦ καμίνου, ἐκεῖνο νόμισον γέενναν εἶναι. μὴ θλίψεως ἐνέπεσον εἰς αὐτὴν δεδεμένοι, μὴ συμπεπεδημένοι, ἀλλὰ πολλὴν βύρσον ἔνδον τῆς βυρυχωρίαν, ἀλλ' οὐχ οἱ ἔξωθεν περιεστῶτες. τοιοῦτόν ἐστι, μὴ νῦν ἐὰν βλώμεθα γενναίως, μὴ ἀνδρείως ἵστασθαι πρὸς τοὺς ἐπαγομένους πειρασμούς. αὐτὸς γὰρ τὸν θεὸν ἔχομεν τὰς ἐλπίδας, ἐσόμεθα μὴν ἡμεῖς ἐν ἀσφαλείᾳ, ἐν βυρυχωρίᾳ. οἱ δὲ ἐμβάλλοντες ἡμᾶς, ἀπολοῦνται. ὁ γὰρ ὀρύσσων βόθρον φρῇ, ἐμπεσεῖται εἰς αὐτόν. κἂν τὰς χεῖρας δήσωσι, κἂν τοὺς πόδας, ἡ θλῖψις λύσει

δουλώσεται

σωπήσεται. ὅρα γὰρ τὸ θαυμαστόν. οὓς ἔδησαν ἄνθρωποι, τούτους ἔλυσε τὸ πῦρ. καθάπερ γὰρ εἴπις παραδοὶς ζυγὰς ζυγοῖς οἰκέτας τῶν φίλων. οὗτοι δὲ τὴν φιλίαν αἰδούμενοι τοῦ δεσπότου, οὐ μόνον αὐτοῖς οὐ λυμαίνονται, ἀλλὰ καὶ πολλῆς μεταδιδόασι τιμῆς, οὕτω καὶ τὸ πῦρ ἐπειδὴ ἐπῆγω ὅτι φίλοι τοῦ δεσπότου αὐτοῦ εἰσιν οἱ παῖδες ἐκεῖνοι, καὶ διέρρηξεν αὐτῶν τὰ δεσμὰ, καὶ ἔλυσεν αὐτοὺς, καὶ ἀφῆκε, καὶ ἔθαφος αὐτοῖς ἐγίνετο, καὶ καταπατεῖ τὸ ὑπ' αὐτῶν. εἰκότως, ὑπὲρ γὰρ τῆς δόξης ἐνεβέβλητο τοῦ θυ. ὅσοι ἂν θλίψεσιν ἐσμὲν, ταῦτα κατέχωμεν τὰ ὑποδείγματα. ἀλλ' ἴδου φησὶ ἐκεῖνοι ἀπηλλάγησαν τῆς θλίψεως, ἡμεῖς δὲ οὔ, καὶ εἰκότως. ἐπειδὴ οὐχ οὕτως ἐνέβησαν εἰς τὴν κάμινον, ὡς ἀπαλλαττόμενοι, ἀλλ' ὥστε θυηξόμενοι τέλεον. ἄκουε γὰρ αὐτῶν λεγόντων. ἴσθι δὴ ὃν ὑμῖς, ὃς ῥύσεται ἡμᾶς. καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι βασιλεῦ, ὅτι τοῖς θεοῖς σου, οὐ λατρεύομεν. καὶ τὴν εἰκόνα τὴν χρυσῆν ἣν ἔστησας, οὐ προσκυνοῦμεν. ἡμεῖς δὲ ὡς πραγματευόμενοι τοῦ θυ τὰς παιδείας, καὶ χρόνον ὁρίζομεν λέγοντες. ἐὰν μέχρι τοσοῦδε. διαῤῥήδην οὐκ ἀπαλλαττόμεθα. ἐπεὶ καὶ ὁ Ἀβραὰμ οὐχ ὡς σῶον λυτρούμενον ἐνήγαγεν, οὕτως ἀπῄρχετο, ἀλλ' ὡς σφαγιάσων. μὴ παρὰ προσδοκίαν σῶον ἔλαβε. καὶ σὺ ὅταν ἐμπέσῃς εἰς θλῖψιν, μὴ πτοήσῃς ἀπαλλαγῆναι, παρασκεύασον τὴν διάνοιάν σου πρὸς πᾶσαν ὑπομονήν. καὶ ἀπαλλαγήσῃ ταχέως τῆς θλίψεως. διαῤῥήδην γὰρ καὶ ἐπάγει αὐτῷ ὁ θς, ἵνα παιδεύσῃ. ὅταν οὖν ἑκπροοιμίων παιδευθῶμεν φέρειν, καὶ μὴ ἀλύωμεν, ἀνίησι λοιπὸν ὡς τοῦ παντὸς κατορθωμένου. βούλομαί τι διήγημα πρὸς ὑμᾶς εἰπεῖν χρήσιμον, καὶ πολλὴν ἔχον τὴν ὠφέλειαν. τί δὲ ἔστιν; διωγμοῦ ποτὲ κατειληφότος, καὶ πολέμου σφοδροῦ κατὰ τῆς ἐκκλησίας συναρρήγνυντος, δύο ζωνες συνελήφθησαν ἄνδρες. ὁ μὲν, ἕτοιμος ἦν παν ὁτιοῦν παθεῖν. ὁ δὲ, πρὸς μὲν τὸ ἀποτμηθῆναι τὴν κεφαλὴν, καὶ αὐτὸς ἕτοιμος, καὶ γενναῖος, πρὸς δὲ τὰς ἄλγους βασάνους δεδοικὼς, καὶ τρέμων. ὅρα τοίνυν τὴν οἰκονομίαν. ἐπειδὴ ἐκράτησεν ὁ διώκτης, τὸν μὲν ἕτοιμον ὄντα παν ὁτιοῦν παθεῖν, ἐκέλευσεν ἀποτμηθῆναι τὴν κεφαλήν. ἐκεῖνον δὲ ἀναρτήσας κατέξαινε. καὶ οὐχ ἅπαξ, οὐδὲ δεύτερον, ἀλλὰ πάσας περιάγων τὰς πόλεις. τί δήποτε δῆτα συνεχωρήθη; ἵνα τὸ ἠμελημένον αὐτοῦ τῆς διανοίας ἀνακτήσηται διὰ τῶν βασάνων. ἵνα τὴν δειλίαν πᾶσαν ἐκβάλῃ. ἵνα μηκέτι ᾖ δεδοικὼς, μηδὲ ὀκνῶν. μὴ ἴωσιν δὲ ὅτε μάλιστα ἠπείγετο ἐξελθεῖν, τότε μάλιστα ἀνεβάλλετο. ἄκουε γὰρ αὐτοῦ λέγοντος, κλοιῶν ἐκλάπην ἐκ γῆς ἑβραίων. καὶ μηδαμοῦ πατρίδα φῇ πρὸς τὸν βασιλέα. διαῤῥήδην ἀναβάλλεται, ἵνα μάθῃ, ὅτι οὐ χρὴ θαῤῥεῖν, οὐδὲ ἐπελπίζειν ἀνθρώποις, ἀλλὰ τὸ πᾶν τῷ θεῷ ῥίπτειν. ταῦτα οὖν εἰδότες, χάριν ὁμολογῶμεν τῷ θεῷ. καὶ πάντα πράττωμεν τὰ πρὸς τὸ συμφέρον. ἵνα τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν ἐν χῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἰς τ̃ πρὸς ἑβραίους.

Τοῦ μακαρίου Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τ̃ Χρυσοστόμου ἑρμηνεία, εἰς τὴν πρὸς ἑβραίους ἐπιστολὴ, ἐκτεθεῖσα ἀπὸ σημείων μετὰ τὴν κοίμησιν αὐτοῦ, παρὰ κωνσταντίνου πρεσβύτου ἀντιοχέως.

Ὡμάσιος γράφων ὁ μακάριος παῦλος, φ̃ησ. ἐφόσον μὲν οὖν εἰμὶ ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω, εἴπως παραζηλώσω μου τὴν σάρκα. καὶ πάλιν ἀλλαχοῦ. ὁ γὰρ ἐνεργήσας πέτρῳ εἰς ἀποστολὴν τ̃ς περιτομ̃ς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. εἰ δέ τινων ἐθνῶν ἀπόστολος ἦν, καὶ γὰρ ἐν ταῖς πράξεσι φ̃ησὶ πρὸς αὐτὸν ὁ θ̃ς, πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἀποστελῶ σε, τί κοινὸν πρὸς ἑβραίους εἶχε; τί δὲ αὐτοῖς ἐπέστελλεν; οὐ μόνον ἀλλὰ καὶ αὐτοὶ πρὸς αὐτὸν ἀσχόλως διέκειντο, καὶ τοῦτο πολλαχόθεν δῆλον ἰδεῖν. ἄκουσον τί φησιν ἰάκωβος πρὸς αὐτόν. θεωρεῖς ἀδελφὲ πόσαι μυριάδες εἰσὶν ἰουδαίων τῶν πεπιστευκότ̃ς καὶ οὗτοι πάντες ζηλωταί σου ὑπάρχουσι περὶ τοῦ νόμου διδάσκεις. καὶ πολλαὶ ζητήσεις αὐτῷ πολλάκις ἐγένοντο περὶ τούτου. τίνος οὖν ἕνεκεν ἐξετάσειεν αὐτὸς τὸν νόμον; παρὰ γὰρ τοὺς πόδας γαμαλιήλου τὸν νόμον ἐξησκεῖτο, καὶ πολὺς ἦν αὐτῷ ζῆλος τοῦ πράγματος, καὶ ταύτ̃ μάλιστα δωκάμενον ἐντρέψαι, οὐχὶ πρὸς ἰουδαίους ἐπεμπεν ὁ θ̃ς. ὅπ ταύτ̃ μάλιστα πλέον ἦσαν αὐτῷ ἐκπεπολεμωμένοι. οὐ γὰρ ἀνέξονται σου φ̃ησὶν ὁ θ̃ς πρὸς αὐτὸν, ἀλλὰ πορεύου εἰς ἔθνη μακρὰν. διὸ οὐ παραδέξονταί σου τ̃ μαρτυρίαν περὶ ἐμοῦ. εἶτα αὐτὸς φησι. ναὶ κἀ αὐτοὶ ἐπίστανται, ὅπ ἐγὼ ἤμην φυλακίζων, καὶ δαίρων κατὰ τὰς συναγωγὰς, τοὺς πεπιστευκότας εἰς σέ. καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐκεῖ, καὶ συνευδοκῶν τ̃ ἀναιρέσει αὐτοῦ, φυλάττων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν. καὶ διὰ τοῦτο φησι σημεῖον εἶναι, καὶ ὑποδεσιν τοῦ μὴ πεπιστευκέναι αὐτῷ. καὶ γὰρ οὕτως ἔχει. ὅταν τις ἐξ ἔθνους ἀποστηδήσῃ τινὸς, οὐ μὴν τῶν ἐλαχίστων ἦ, καὶ οὐδενὸς ἀξίων λόγου, οὐ πάνυ δύναται τοὺς ἀφ᾽ ὧν ἀνεχώρησεν. οὐ δὲ τῶν θαυμαστῶν, καὶ τροφίμων ξηλωτῶν, καὶ τὰ ἐκείνων φρονούντων, μάλιστα αὐτοὺς ἀλγύνει, καὶ μεθ᾽ ὑπερβολῆς λυπεῖ, ὅτε μάλιστα οὐ τῶν καθαιρῶν τὸ δόγμα παρὰ τοῖς πολλοῖς. καὶ ἄλλο δὲ τούτῳ προσῆν, ποῖον δὴ τοῦτο; ὅτι οἱ μὲν πρὸ αὐτοῦ, καὶ συνεγένοντο τῷ χ̃ῳ, καὶ σημεῖα εἶδον, καὶ

ὡσεὶ περιβόλαιον ἐλίξεις αὐτούς, καὶ ἀλλαγήσονται. ὁ καὶ ἐν τῇ πρὸς ῥωμαίους φησὶν, ὅτι μεταχηματίσει τὸν κόσμον. καὶ τὸ δύκολον δηλῶν, ὅτι ἤγαγεν. ὡς αὖ εἴτις περιβόλαιον ἐλίξη, οὕτως καὶ ἐλίξει, καὶ ἀλλάξει. εἰ δὲ τὼ ὧδε τὸ βέλτιον, καὶ τὸ κρεῖττον μεταχηματίσιν, καὶ δημιουργίαν οὕτως δύκολος ἐργάζεται, ὧδε τῆς ἐλάττονος δημιουργίας ἑτέρου ἐδεῖτο; μέχρι τίνος οὐκαὶ χωλεύσει; ἅμα δὲ καὶ παραμυθία μεγίστη ἔστιν ἐκ, τὸ γνῶναι, ὅτι οὐκέτι οὕτω τὰ πράγματα. ἀλλὰ τὰ πάντα τὼ μεταβολὼ λήψεται, καὶ πάντα ἀναλλαγήσεται. αὐτὸς δὲ μένει διαπαντὸς ζῶν, καὶ ἀτελεύτητος ζῶν. καὶ τὰ ἑξῆς σου φησὶν οὐκεκλείψουσι. τίνι δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; ἰδοὺ πάλιν αὖ τοὺς παραθαρρύνει, εἴγε μέλλοιεν οἱ ἐχθροὶ αὐτῶν ἥττηθήσεσθαι. καὶ ἐχθροὶ αὐτῶν, οἱ αὐτοί εἰσιν οἱ, καὶ τοῦ χριστοῦ. ὧδε πάλιν βασιλείας, ὧδε ὁμοζυγίας, ὧδε τιμῆς οὐκ ἀλλοτριώσας, τὸν πατέρα ὀργίζεσθαι ὑπὲρ τῶν εἰς τὸν υἱὸν γεγενημένων. ὧδε τῆς πολλῆς πρὸς τὸν υἱὸν ἀγάπης, καὶ τιμῆς ὡς πατὴρ πρὸς υἱόν. ὁ γὰρ ὀργιζόμενος ὑπὲρ αὐτοῦ, πῶς ἀλλότριος αὐτοῦ ἐστιν; ὅπερ καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ φησιν. ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς. τότε λαλήσει πρὸς αὐτούς, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. καὶ πάλιν αὐτός φησι. τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτούς, ἀγάγετε ὧδε ἐνώπιόν μου, καὶ κατασφάξατε αὐτούς. ὅτι γὰρ αὐτοῦ ἐστι τὰ ῥήματα, ἄκουσον τίφησι, καὶ ἑτέρωθι. ποσάκις ἠθέλησα ἐπισωμαγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε. ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. καὶ πάλιν. ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. καὶ πάλιν. ὁ πεσὼν ἐπὶ τὸν λίθον ὧδε συνθλασθήσεται, ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. ἄλλως δὲ ὁ μέλλων ἐκεῖ κρίνειν αὐτούς, πολλῷ μᾶλλον ἐνταῦθα αὐτὸς αὐτοῖς ἀπέδωκεν. ὥστε τιμῆς μόνης ἐστὶ τῆς εἰς τὸν υἱὸν τὸ, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.

Τί θαυμαστὸν φησιν εἰ τῷ υἱῷ λειτουργοῦσιν, ὅταν καὶ πρὸς τὴν ἡμετέραν σωτηρίαν λειτουργῶσιν; ὅρα πῶς ἐξαίρει αὐτῶν τὰ φρονήματα, καὶ πολλῷ δείκνυσι τοῦ θεοῦ τὴν εἰς ἡμᾶς φιλίαν. εἰ περ ἀγγέλους τοὺς ὑπὲρ ἡμᾶς τοσαύτην ἔταξεν ἔχειν διακονίαν τὴν ὑπὲρ ἡμῶν, ὡς αὖ εἴποιτις εἰς ὧδε μέχρηται αὐτοῖς φησι. ὧδε ἀγγέλων λειτουργία τὸ διακονεῖν τῷ θεῷ εἰς σωτηρίαν ἡμετέραν. ὥστε ἀγγελικὸν ἔργον ὧδε ἐστὶ, τὸ πάντα ποιεῖν εἰς σωτηρίαν τῶν ἀδελφῶν. μᾶλλον δὲ αὐτοῦ τοῦ χριστοῦ τὸ ἔργον ἐστίν. αὐτὸς μὲν γὰρ ὡς δεσπότης σώζει, αὐτοὶ δὲ ὡς δοῦλοι. καὶ ἡμεῖς εἰ καὶ δοῦλοι, ἀλλὰ συνδοῦλοι ἀγγέλων. τί μεχρήνατε πρὸς τοὺς ἀγγέλους φησί; δοῦλοί εἰσι τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ πολλαχοῦ δι' ἡμᾶς πέμπονται, καὶ πρὸς σωτηρίαν τὴν ἡμετέραν λειτουργοῦσιν, ὥστε ὁμόδουλοι ἡμῶν εἰσιν. ἐννοήσατε πῶς, οὐ πολλῷ δι' ὅλων τῶν κτίσμασι διαφοραί. καίτοι πολὺ τὸ μέσον ἀγγέλων, καὶ ἀνθρώπων, ἀλλ' ὅμως πλησίον ἡμῶν αὐτοὺς κατάγει. μονονουχὶ λέγων ἡμῖν, κἀμοῦσι δι' ἡμᾶς. περιτρέχουσιν ἡμῖν. ὡς αὖ εἴποιτις

εἰ ποιητ ὑπηρετοῦσιν · οὗτη ἐστὶν ἡ διακονία αὐτῶν · τὸ δι' ἡμᾶς παντα χοῦ πέμπεσθαι · καὶ τούτων τῶν ὑποδειγμάτων μεσὴ μὲν ἡ παλαιὰ, μεσὴ δὲ ἡ καινή · ὅταν γὰρ ἄγγελοι ποιμένας διαγγελίζωνται, ὅταν τῷ μαγείᾳ, ὅταν ἐν ἰωσὴφ, ὅταν ὧδὶ τῷ μνήματος καθέζωνται, ὅταν πέμπωνται εἰπεῖν τοῖς μαθηταῖς · ἄνδρες γαλιλαῖοι τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν · ὅταν πέτρον ἀπολύωσι τοῦ δεσμωτηρίου, ὅταν φιλίππῳ διαλέγωνται, ἐννόησον τῷ ζῶν, ὅση τυγχάνει · ὅταν ὡς πρὸς φίλους πέμπῃ διακόνους τοὺς ἀγγέλους ὁ θεὸς, ὅταν κορνηλίῳ φαίνηται, ὅταν πάντας τοὺς ἀποστόλους ἀπὸ τοῦ δεσμωτηρίου ἐκβάλλῃ, καὶ λέγῃ · πορευθέντες στῆτε, καὶ λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ τὰ ῥήματα τῆς ζωῆς ταύτης · τῷ δὲ παύλῳ, καὶ αὐτῷ φαίνεται, ἄγγελος · ὁρᾷς αὐτοὺς διακονοῦντας διὰ τὸν θεὸν, καὶ εἰς τὰ μέγιστα διακονοῦντας ; διὰ τοῦτο φησὶ παῦλος · πάντα ὑμῶν, εἴτε ζωὴ, εἴτε θάνατος, εἴτε κόσμος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα · ἐπέμφθη μὲν οὖν, καὶ ὁ υἱός, ἀλλ' οὐχ ὡς διάκονος, οὐδὲ ὡς λειτουργὸς, ἀλλ' ὡς υἱὸς, καὶ μονογενὴς, καὶ τὰ αὐτὰ τῷ πατρὶ βουλόμενος · μᾶλλον δὲ οὐδὲ ἐπέμφθη · οὐ γὰρ ἐκτόπου εἰς τόπον μετέβη, ἀλλὰ σάρκα ἀνέλαβεν · οὗτοι δὲ τόπους ἀμείβουσι, καὶ τοὺς προτέρους ἀφέντες ἐν οἷς εἰσὶν, οὕτως εἰς ἑτέρους ἔρχονται ἐν οἷς οὐκ ἦσαν · καὶ διὰ τοῦτο δὲ πάλιν παραθαῤῥύνει αὐτοὺς λέγων · τί δεδίοικατε ; ἄγγελοι διακονοῦσιν ἡμῖν · καὶ εἰπὼν περὶ τῆς γοῦ, καὶ τὰ κατὰ τὴν οἰκονομίαν, καὶ τὰ κατὰ τὴν δημιουργίαν, καὶ τὰ κατὰ τὴν βασιλείαν, καὶ τὸ ὁμόζυγον δείξας, καὶ ὅπως δεσπότης κρατεῖ οὐχὶ τῶν ἀνθρώπων μόνων, ἀλλὰ καὶ τῶν ἀγγέλων δηλώσας, λοιπὸν παρακαλεῖ αὐτοὺς κατασκευάσας ἐν λόγον, ὅπερ δεῖ προσέχειν ἡμᾶς τοῖς ἀκουσθεῖσι. Διὸ χρὴ περισσοτέρως ἡμᾶς φησὶ προσέχειν τοῖς ἀκουσθεῖσι. Διατὶ περισσοτέρως ; ἐν τούτοις τοῦ νόμου εἶπε περισσοτέρως, ἀλλ' ἐσιώπησεν αὐτὸ, καὶ ἐν τῇ κατασκευῇ αὐτὸ δῆλον ποιεῖ, οὐκέτι συμβουλὴ, οὐδὲ ἐν παρακλήσει · οὕτω γὰρ ἄμεινον ἦν. Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος φησὶν ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις, καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας ; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ κυρίου, εἰς ἡμᾶς ὑπὸ τῶν ἀκουσάντων ἐβεβαιώθη. Διατὶ περισσοτέρως ἡμᾶς δεῖ προσέχειν τοῖς ἀκουσθεῖσιν ; οὐχὶ κἀκεῖνα θεοῦ, καὶ τοῦτα ; ἢ τίνων περισσοτέρως τοῦ νόμου φησὶν, ἢ ὅτι μεγάλως, οὐχὶ συγκρίνων · μὴ γένοιτο · ἐπειδὴ γὰρ ὑπὸ τοῦ χρόνου τῷ πολλοῦ μεγάλην εἶχον περὶ τῆς παλαιᾶς ὑπόληψιν, τοῦτα δὲ ὡς νέα ἐπὶ κατατρέφοντο, δείκνυσιν ἐκπεριουσίας, ὅτι τούτοις δεῖ μᾶλλον προσέχειν, πῶς μονονουχὶ λέγων · τοῦ θεοῦ μὲν καὶ τοῦτα κἀκεῖνα · ἀλλ' οὐχ ὁμοίως · καὶ διὰ τοῦτο ἡμῖν ὕστερον δείκνυσι · τέως δὲ ἐπὶ πολλοῦ τὸ κατασκευάζει · ὕστερον δὲ φανερώτερον, λέγων · εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, καὶ πολλὰ ἕτερα τοιαῦτα · τὸ γὰρ παλαιούμενον, καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ · ἀλλ' οὔπω τολμᾷ τοιοῦτον οὐδὲν εἰπεῖν ἐν προοιμίοις, ἕως αὖ προκαταλάβῃ, καὶ κατάσχῃ τῆς πλείστης τὸν ἀκροατήν · τί τοίνυν δεῖ περισσοτέρως ἡμᾶς προσέχειν ; Μήποτε φησὶ παραῤῥυῶμεν. Τουτέστι μήποτε ἀπολώμεθα, μὴ ἐκπέσωμεν.

ἐκωτέσωμεν. καὶ δείκνυσιν ἐνταῦθα τὸ χαλεπὸν τῆς ἐκωτώσεως, ὅτι δύσκολον τὸ παραρ-
ρυὲν, πάλιν ἐπανελθεῖν, καθότι ἐκ ῥᾳθυμίας ϑ̄ῡ συμέβη. ἔλαβε δὲ τὴν λέξιν ἀπὸ τῶν
παροιμιῶν. ἡ γὰρ φησι μὴ παραρρυῇς, καὶ τὸ δύσκολον τοῦ ὀλίϑου δείκνυς, καὶ τὸ χα-
λεπὸν τῆς ἀπωλείας. τοῦτ' ἔστιν οὐκ ἀκίνδυνος ἡμῖν ἡ παρακοή. καὶ δι' ὧν μὲν κατασκευά-
ζει, δείκνυσιν ὅτι μείζων ἡ κόλασις. ἀφίησι δὲ πάλιν αὐτὴν ἐν τῇ περιζητήσει, καὶ οὐκ ἐν τῷ
συμπεράσματι. καὶ γὰρ τοῦτό ἐστιν ἀναπαχθῆναι τὸν λόγον ποιεῖν, μὴ ἀφ' ἑαυτοῦ παντα-
χοῦ τὴν κρίσιν ἐπάγοντα, ἀλλὰ κύριον ἀφιέντα τὸν ἀκροατήν, ἵνα αὐτὸς ἐνέγκῃ τὴν ψῆ-
φον. ὅπερ βουλόμενος ἡμᾶς ποιεῖ γενέσθαι. ποιεῖ δὲ αὐτὸ, καὶ ἐν τῇ παλαιᾷ, καὶ ὁ προ-
φήτης νάθαν, καὶ ἐν τῷ ματθαίῳ ὁ χ̄ς̄ λέγων. τί ποιήσει τοῖς γεωργοῖς τοῦ ἀμπελῶνος
ἐκείνου; καὶ αὐτοὺς ἀναγκάζων τὴν ψῆφον ἐξενεγκεῖν. ϑ̄ῦ̄ γὰρ ἡ μείζων νίκη. εἶτα εἰπὼν
εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, οὐκ ἐπήγαγε πολλῷ μᾶλλον ὁ διὰ
τοῦ χριστοῦ. ἀλλὰ ϑ̄ῦ̄ μὲν εἴασεν, εἶπε δὲ τὸ ἔλαττον, πῶς ἡμεῖς ἐκφεύξόμεθα τηλικαύ-
της ἀμελήσαντες σωτηρίας. καὶ ὅρα πῶς ποιεῖται τὴν σύγκρισιν, εἰ γὰρ ὁ δι' ἀγγέλων
λόγος λαληθεὶς φησιν. ἐκεῖ δι' ἀγγέλων, ἐνταῦθα δὲ διὰ τοῦ κυρίου. καὶ ἐκεῖ μὲν λόγος,
ἐνταῦθα δὲ σωτηρία. εἶτα ἵνα μὴ εἴπῃς, ἃ σὺ λέγεις ὦ παῦλε, ταῦτα τοῦ χριστοῦ ἐστι. τῷ
τε παρ' ἐκείνου ἀκηκοέναι αὐτά, τὸ ἀξιόπιστον δείκνυσι, καὶ τῷ νῦν ὑπὸ τοῦ ϑεοῦ αὐτὰ λέ-
γεσθαι. οὐχ ἁπλῶς φωνῆς φερομένης καθάπερ ἐπὶ μωϋσέως, ἀλλὰ σημείων γινομένων,
καὶ πραγμάτων μαρτυρούντων. τί δέ ἐστιν, εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο
βέβαιος; καὶ ἐν τῇ πρὸς γαλάτας γὰρ οὕτω πῶς φησι. διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ με-
σίτου. καὶ πάλιν, ἐλάβετε νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε, καὶ παντα-
χοῦ δι' ἀγγέλων αὐτόν φησι δίδοσθαι. τινὲς μὲν τὸν μωϋσέα φασὶν αἰνίττεσθαι, ἀλλ' οὐκ
ἔχει λόγον. ἀγγέλους γὰρ ἐνταῦθα πολλοὺς φησι. καὶ ἀγγέλους δὲ ἐνταῦθα, τού-
τους φησὶ τοὺς ἐν τῷ οὐρανῷ. τί οὖν ἐστιν; ἢ τοι τὴν δεκάλογον φησὶ μόνον. ἐκεῖ γὰρ μωϋ-
σῆς ἐλάλει, καὶ ὁ ϑεὸς ἀπεκρίνετο, ἢ ὅτι παρῆσαν ἄγγελοι τοῦ ϑεοῦ διατασσομένου, ἢ ὅτι
περὶ τῶν ἐν τῇ παλαιᾷ λεγομένων, καὶ γενομένων ἁπάντων, ὡς ἀγγέλων κοινωνησάντων ἐν
τούτοις, τοῦτα φησί. πῶς δὲ ἀλλαχοῦ φησιν, ὅτι ὁ νόμος διὰ μωσέως ἐδόθη, ἐνταῦθα δὲ
δι' ἀγγέλων; φησὶ γάρ. καὶ κατέβη ὁ ϑεὸς ἐν γνόφῳ. εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος
ἐγένετο βέβαιος. τί ὅτι βέβαιος; ἀληθὴς ὡς αὐτὸς εἶπεν, καὶ πιστὸς ἐν τῷ προσήκοντι καιρῷ. καὶ πάντα ἐξέβη τὰ λεχθέντα. ἢ ϑ̄ῦ̄ φησιν, ἢ ὅτι ἐκράτησε, καὶ αἱ ἀπειλαὶ εἰς ἔργον ἦρχοντο, ἢ λόγον φησὶ τὰ προστάγματα. πολλὰ γὰρ χωρὶς νόμου προσέταξαν ἄγγελοι παρὰ ϑεοῦ πεμπόμενοι, οἷον ἐπὶ τοῦ κλαυθμῶνος, ἐπὶ τῶν κριτῶν, ἐπὶ τοῦ σαμψών. διὰ γὰρ ϑ̄ῦ̄ οὐκ εἶπε νόμος, ἀλλὰ λόγος, καὶ τάχα μοι δοκεῖ ϑ̄ῦ̄ λέγειν μᾶλλον τὰ διὰ τῶν ἀγγέλων οἰκονομηθέντα. τί οὖν ἐροῦμεν; παρῆσαν οἱ ἄγγελοι τότε οἱ τὸ ἔθνος ἐμπεπιστευμένοι, καὶ αὐτοὶ τὰς σάλπιγγας ἐποίουν, καὶ τὰ ἕτερα, τὸ πῦρ, τὸν γνό-
φον. καὶ πᾶσα παράβασις φησὶ, καὶ παρακοὴ, ἔλαβεν ἔνδικον μισθαποδοσίαν. οὐχ ἡ μὲν, ἡ δὲ, ἀλλὰ πᾶσα. οὐδὲν ἀνεκδίκητον ἔμεινεν, ἀλλ' ἔλαβεν ἔνδικον μι-

σθαποδοσίαν,

ϑαποδοσίαν, ἀντὶ τ κόλασιν. τί δήποτε οὕτως εἶπεν; οὕτως ἔϑος τῷ παύλῳ, μὴ πολλὰ τῶν λέξεων ποιεῖσθαι λόγον, ἀλλ' ἀδιαφόρως, καὶ ἅπαξ δύφήμων τιϑέναι καὶ ἔμφατα. οἷον καὶ ἀλλαχοῦ φησιν. ἀχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ. καὶ πάλιν τὴν ἀντιμισθίαν τέϑεικεν ἀντὶ κολάσεως. καὶ ἀνταῦϑα τὴν κόλασιν μισθὸν καλεῖ. εἰ δίκαιον φησὶ παρὰ τῷ ϑεῷ ἀνταποδοῦναι τοῖς ϑλίβουσιν ἡμᾶς ϑλῖψιν. καὶ ὑμῖν τοῖς ϑλιβομένοις ἄνεσιν. τουτέστιν οὐ παρεφϑάρη τὸ δίκαιον, ἀλλ' ἐπεξῆλϑεν ὁ ϑεὸς, καὶ τὴν δίκην περιέτρεψεν ἐπὶ τοὺς ἡμαρτηκότας. καίτοι τῶν ἁμαρτημάτων οὐ πάντων εἰς φανερὸν γινομένων, εἰ μὴ παραβαθείη τὰ διατεταγμένα. πῶς οὖν ἡμεῖς φησὶν ἐκφευξόμεϑα τηλικαύτης ἀμελήσαντες σωτηρίας; διὰ τούτου ἐδήλωσεν, ὅτι οὐ πολλὴ τίς ἐστιν ἐκείνη ἡ σωτηρία. καλῶς δὲ καὶ τὸ τηλικαύτης προσέϑηκεν. οὐ γὰρ ἐκπολέμων φησὶν ἡμᾶς διασώσει νῦν. οὐδὲ τὴν γῆν, καὶ τὰ ἐν τῇ γῇ ἀγαϑὰ παρέξει, ἀλλὰ ϑανάτου κατάλυσις ἔσται, ἀλλὰ διαβόλου ἀπώλεια, ἀλλ' οὐρανῶν βασιλεία, ἀλλὰ ζωὴ αἰώνιος. Ταῦτα γὰρ πάντα ἐν σωτῆρι ἐνέφηνεν εἰπών, τηλικαύτης ἀμελήσαντες σωτηρίας. εἶτα τὸ ἀξιόπιστον ἐπάγει. Ἥτις ἀρχὴν λαβοῦσα καλεῖσθαι διὰ τοῦ κυρίου. Τουτέστι παρ' αὐτῆς τῆς πηγῆς ἔσχε τὴν ἀρχήν. οὐκ ἄνθρωπος αὐτὴν διεπόρθμευσεν εἰς τὴν γῆν, οὐ κτίσις δύναμις, ἀλλ' αὐτὸς ὁ μονογενής. Ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώϑη. Ἐπιστεύϑη, ἢ ἐξέβη. τὸν γὰρ ἀῤῥαβῶνα φησὶν ἔχομεν. τουτέστιν οὐκ ἐσβέσϑη, οὐκ ἔληξεν, ἀλλὰ κρατεῖ, καὶ συνεργεῖται. τὸ δὲ αὔπιον, ἡ ϑεία δύναμις ἐνεργεῖ. τουτέστιν οἱ παρὰ τοῦ κυρίου ἀκούσαντες, αὐτοὶ ἡμᾶς ἐβεβαίωσαν. μέγα δῆλον, καὶ ἀξιόπιστον. ὅπερ καὶ λουκᾶς φησὶν ἐν ἀρχῇ τοῦ δυαγγελίου. καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται, καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. πῶς οὖν ἐβεβαιώϑη; τί οὖν εἰ οἱ ἀκούσαντες ἔπλασαν φησί; τοῦτο τοίνυν ἀναιρεῖ, καὶ δείκνυσιν οὐκ ἀνϑρωπίνῳ τὴν χάριν. οὐκ ἂν εἰ ἔπλασαν, ὁ ϑεὸς αὐτοῖς ἐμαρτύρησεν, ἐπήγαγε γάρ. Συνεπιμαρτυροῦντος τοῦ ϑεοῦ. Μαρτυροῦσι μὲν κἀκεῖνοι, μαρτυρεῖ δὲ καὶ ὁ ϑεός. πῶς μαρτυρεῖ; οὐ λόγῳ, οὐδὲ φωνῇ. ἵνα μὲν γὰρ καὶ δῆλον πιστόν. ἀλλὰ πῶς; σημείοις, καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι. Καλῶς τὸ ποικίλαις δυνάμεσι τέϑεικε, τὴν ἀφϑονίαν τῶν χαρισμάτων δηλῶν. ὅπερ οὐ γέγονται ἐπὶ τῶν προτέρων, οὐδὲ τοσαῦτα σημεῖα, καὶ οὕτω διάφορα. τουτέστιν οὐχ ἁπλῶς ἐπιστεύσαμεν ἐκείνοις, ἀλλὰ διὰ σημείων, καὶ τεράτων. ὥστε οὐκ ἐκείνοις πιστεύομεν, ἀλλ' αὐτῷ τῷ ϑεῷ. Καὶ πνεύματος ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ ϑέλησιν. Τί οὖν, ὅτι καὶ γόητες σημεῖα ποιοῦσι, καὶ ἰουδαῖοι ἐν βεελζεβοὺλ ἔλεγον αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια. ἀλλ' οὐ τοιαῦτα ποιοῦσι σημεῖα. διαφέρει εἴτε ποικίλαις δυνάμεσιν. ἐκεῖνα γὰρ οὐ δύναμις, ἀλλ' ἀσθένεια, καὶ φαντασία, καὶ διάκενα πράγματα. διαφέρει εἴτε πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ ϑέλησιν.

Ἠθικόν.

Ε'νταῦθα καὶ ἄλλο αἰνίττεταί μοι δοκεῖ· εἰκὸς γὰρ μὴ εἶναι πολλοὺς ἐκεῖ χαρίσματα ἔχοντας, ἐκλελοιπέναι δὲ ταῦτα, ἅτε νωθροτέρων αὐτῶν γενομένων· ἵν' οὖν αὐτοὺς, καὶ ἐν τούτῳ παραμυθήσηται, καὶ μὴ ἀφῇ κατασεσεῖν, τὸ πᾶν ἀνέθηκε τῇ τοῦ θεοῦ βουλῇ· αὐτὸς οἶδε τίνι τί συμφέρει φησὶ, καὶ οὕτως καταμερίζει τιμὴν χάριν· ὅπερ καὶ ἐν τῇ πρὸς κορινθίους ποιεῖ λέγων· ὁ θεὸς ἔθετο ἕνα ἕκαστον ἡμῶν καθὼς ἠθέλησε· καὶ πάλιν· ἐκάστῳ δὲ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον, κατὰ τὴν αὐτοῦ θέλησιν· δείκνυσιν ὅτι τὸ χάρισμα, κατὰ τιμὴν τοῦ πατρὸς ὅτι θέλησιν· πολλάκις δὲ καὶ δι' ἀκάθαρτον βίον, καὶ νωθῆ, οὐκ ἔλαβον πολλοὶ χάρισμα· ἐνίοτε δὲ καὶ καλὸν βίον ἔχοντες, καὶ καθαρὸν, οὐκ ἔλαβον· τί δήποτε; ὥστε μὴ ἐκπραχηλιασθῶσι, ὥστε μὴ φυσιωθῆναι, ὥστε μὴ ῥᾳθυμότεροι γενέσθαι, ὥστε μὴ πλέον ἐπαρθῆναι· εἰ γὰρ καὶ χωρὶς χαρίσματος αὐτὴ τοῦ καθαροῦ βίου ἡ συνείδησις ἱκανὴ ἐπᾶραι, πολλῷ μᾶλλον, ὅτε καὶ ἡ χάρις προσῇ· ὥστε τοῖς ταπεινοῖς τοῖς ἀφελέσι μᾶλλον ἐδίδοτο, καὶ μάλιστα τοῖς ἀφελέσιν· ἐν ἀφελότητι γὰρ φησι, καὶ ἐν ἀγαλλιάσει καρδίας· καὶ γὰρ καὶ ταύτῃ προέτρεψεν αὐτοὺς μᾶλλον, καὶ εἰ ῥᾳθυμότεροι ἦσαν, κατέτεινεν· ὁ γὰρ ταπεινὸς, καὶ μὴ μεγάλα περὶ ἑαυτοῦ φαντασόμενος, εὐσυνδιαθετώτερος γίνεται, ὅταν λάβῃ χάρισμα, ἅτε παραξίαν εἰληφὼς, καὶ οὐκ ἄξιος εἶναι νομίζων, ὀφειλὴν εἶναι τὸ πρᾶγμα ἡγούμενος· ὥστε ὁ θεὸς συμφερόντως τὸ πρᾶγμα οἰκονομεῖ ἐνθάδε· ὅπερ καὶ ἐν τῇ ἐκκλησίᾳ συμβαῖνον ἴδοις ἄν· ὁ μὲν γὰρ ἔχει λόγον διδασκαλικόν· ὁ δὲ οὐδὲ διάκρασι τὸ στόμα δύναται· μὴ λυπείσθω φησὶν οὗτος διαθέσθω· ἐκάστῳ γὰρ ἡ φανέρωσις τοῦ πνεύματός δίδοται πρὸς τὸ συμφέρον· εἰ γὰρ ἀνθρωπος οἰκοδεσπότης οἶδε τίνι τί ἐγχειρίσει, πολλῷ μᾶλλον ὁ θεὸς ὁ ἐπιστάμενος τὴν νοῦν τῶν ἀνθρώπων, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν· ἓν ὅτι μόνον τὸ λύπης ἄξιον τὸ ἁμαρτάνειν, ἄλλο δὲ οὐδέν· μὴ εἴπῃς διατί οὐκ ἔχω χρήματα, ἢ εἰ εἶχον, παρέσχον ἂν τοῖς πένησιν· οὐκ οἶδας εἰ εἶχες, εἰ μὴ μᾶλλον πλεονέκτης ἦς· νυνὶ μὲν γὰρ ταῦτα λέγεις· ἐν δὲ τῇ πείρᾳ γενόμενος ἕτερος ἂν ἦς· ἐπεὶ καὶ ὅταν ὦμεν κεκορεσμένοι, νομίζομεν ὅπλα ἀθάμεθα νικᾶν· ὅταν δὲ μικρὸν διαλείπωμεν, ἕτερος ἡμᾶς εἰσέρχεται λογισμός· πάλιν ὅταν ὦμεν ἐκτὸς τῆς μέθης, νομίζομεν δύνασθαι περιγενέσθαι τοῦ πάθους· ὅταν δὲ ἁλῶμεν ὑπ' αὐτῆς, οὐκέτι· μὴ εἴπῃς, ὅτι διατὶ οὐκ ἔχον χάρισμα διδασκαλικὸν, εἰ εἶχον, μυρίους ἂν ὠφελοῦμεν· οὐκ οἶδας εἰ εἶχες, μὴ εἰς κρίμασι ἐγίνετο, μὴ βασανία, μὴ ὄκνος παρεσκεύαζε τὸ πάλαντον κρύπτειν· νυνὶ μὲν οὖν ἀπάντων τούτων ἀπήλλαξαι, καὶ τὸ σιωπᾶν ἐστὶν ἀμείνον ἂν μὴ δῷς, οὐκ ἐγκαλῶ· τότε δὲ μυρίοις ἂν ὑπεύθυνος ἦς· ἄλλως δὲ οὐδὲ νυνὶ ἐκτὸς εἶ τοῦ χαρίσματος· δεῖξον ἐν τῷ μικρῷ οἷος ἦς, εἰ ἐκεῖνο εἶχες· εἰ γὰρ ἐν τῷ μικρῷ οὐ γίνεται φησι πιστοὶ, πῶς τὸ μέγα ὑμῖν δώσει; δεῖξον ὡς ἡ χήρα· δύο ὀβολοὺς εἶχεν ἐκείνη, καὶ ὅλα κατέβαλεν, ὅσα ἐκέκτητο· χρήματα ζητεῖς; δεῖξον ὅτι τῶν ὀλίγων καταφρονεῖς, ἵνα σοι πιστεύσω, καὶ περὶ τῶν πολλῶν· εἰ δὲ μὴ δὲ τούτων καταφρονεῖς, πολλῷ μᾶλλον οὐδὲ ἐκείνων· πάλιν ἐν τῷ λόγῳ· δεῖξον ὅπ κέχρησαι δεόντως τῇ παρουσίᾳ, καὶ τῇ συμβουλίᾳ· οὐκ ἔχεις ἀγλωττίαν τινὰ ἔξωθεν; οὐκ ἔχεις νοημάτων ἀφθονίαν; ἀλλ' ὅμως ταῦτα τὰ κοινὰ οἶδας· παιδία ἔχεις, γείτονας ἔχεις, φίλους ἔχεις, οἰκείους ἔχεις· κἂν μὴ δημοσίᾳ

τῶν

ἐπὶ τῆς ἐκκλησίας, οὐ δύνασαι λόγον ἀποτεῖναι μακρὸν, τούτοις ἰδίᾳ δύνασαι παραινεῖν. ἐνταῦθα οὐ ῥητορείας χρεία, οὐδὲ μακρᾶς ἀποτάσεως. δεῖξον ἐπὶ τούτων, ὅτι εἰ καὶ λόγον εἶχες, οὐκ ἂν ἠμέλησας. εἰ δὲ ἐν τῷ μικρῷ, οὐ πιστεύσεις, πῶς σοι πιστεύσω περὶ τοῦ μεγάλου; ὅτι γὰρ οὐκ ἔκφρων δύναται, ἄκουσον τί φησιν ὁ παῦλος, καὶ λαϊκοῖς οὐκ ἐπέτρεψεν. ἕκαστος φησὶν οἰκοδομεῖτε εἰς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε, καὶ παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. οἶδεν ὁ θεὸς πῶς ἑκάστῳ διανείμῃ. μὴ σὺ τοῦ μωϋσέως εἶ βελτίων; ἄκουσον πῶς ἀποδυσωπεῖ. μὴ ἐγὼ δύναμαί φησι βαστάζειν αὐτούς, ὅτι εἶπες μοι, ἆρον αὐτοὺς ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα; τί οὖν ὁ θεὸς; ἐξεῖλεν ἀπὸ τοῦ πνεύματος αὐτοῦ, καὶ ἔδωκε τοῖς ἄλλοις, δεικνὺς ὅτι οὐδὲ ὅτε ἐβάσταζεν αὐτούς, αὐτοῦ τὸ χάρισμα ἦν, ἀλλὰ τοῦ πνεύματος. εἰ τὸ χάρισμα εἶχες, πολλάκις αὐ ἐωθήθης, πολλάκις αὖ ἐξετράπης. οὐκοῖδας σὺ σαυτὸν, ὡς ὁ θεός σε οἶδε. μὴ λέγωμεν, εἰς τί δεῖ; καὶ διατί δεῖ; ὅταν οἰκονομῇ ὁ θεὸς, μὴ ἀντιτῶμεν αὐτῷ δυνάμει. δεῖ γὰρ ἐχάτης ἀσεβείας καὶ πονηρίας. δοῦλοι ἐσμὲν, καὶ δοῦλοι πολὺ τοῦ δεσπότου διεφθορότες, οὐδὲ τὰ ἐν ποσὶν ἐπιστάμενοι. μὴ δὴ τῇ βουλῇ τοῦ θεοῦ περιεργαζώμεθα. ἀλλ' ὅπερ δέδωκε, τοῦτο φυλάττωμεν, κἂν μικρὸν ᾖ, κἂν ἔλαττον, καὶ πάντως δοκιμήσομεν. μᾶλλον δὲ οὐδὲν μικρὸν τῶν τοῦ θεοῦ δωρεῶν ἐστιν. ἀλγεῖς ὅτι οὐκ ἔχεις χάρισμα διδασκαλίας; εἰπὲ δή μοι. τίσι δοκεῖ μεῖζον εἶναι; χάρισμα διδασκαλίας, ἢ χάρισμα νόσους ἀποδιώκειν. οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ τυφλοὺς ὀμματοῦν; οὐ δοκεῖσοι μεῖζον εἶναι τὸ νεκροὺς ἀνιστᾶν; τί δὲ εἰπέμοι, τοῦ λόγῳ δεῖ ποιεῖν, οὐ δοκεῖσοι μεῖζον εἶναι τὸ σκιοὺς, καὶ σουδαρείοις δεῖ ἐργάζεσθαι; τί οὖν θέλεις εἰπέμοι. σκιοὺς, καὶ σουδαρείοις νεκροὺς ἀνιστᾶν, ἢ τὸ χάρισμα τῆς διδασκαλίας ἔχειν; πάντως ἐκεῖνο ἐρεῖς, τὸ σκιοὺς, καὶ σουδαρείοις νεκροὺς ἀνιστᾶν. αὖ οὖνσοι δείξω, ὅτι πολλῷ τούτου μεῖζόν ἐστιν ἕτερον χάρισμα, καὶ ἐξόνσοι λαβεῖν, οὐ λαμβανεις, οὐχὶ δικαίως τούτων ἀπεστέρησαι; καὶ δεῖ τὸ χάρισμα, οὐχ ἑνὶ, οὐδὲ δευτέρῳ, ἀλλὰ πᾶσιν ἑξῆς ἔξεστιν ἔχειν. οἶδα ὅτι κεκήνατε, καὶ ἐξεπλάγητε. εἶγε μέλλοιτε ἀκούσεσθαι, ὅτι ἐξεστιν ὑμῖν μεῖζον χάρισμα ἔχειν τοῦ νεκροὺς ἀνιστᾶν, καὶ τυφλοὺς ὀμματοῦν, καὶ ἐκεῖνα ποιεῖν, ἃ καὶ ἐπὶ τῶν ἀποστόλων. καὶ τάχα καὶ ἄπιστον ὑμῖν εἶναι δοκεῖ. τί οὖν τοῦτό ἐστι τὸ χάρισμα; ἡ ἀγάπη. ἀλλά πιστεύσατέ μοι. οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ χριστοῦ διὰ παύλου φθεγγομένου. τί γάρφησι; ζηλοῦτε τὰ χαρίσματα τὰ μείζονα, καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. τί ἐστιν ἔτι καθ' ὑπερβολήν; ὃ λέγει, τοιοῦτόν ἐστι. μείζονα φρονοῦσι ἐπὶ τοῖς χαρίσμασι, καὶ οἱ ἔχοντες γλῶσσας τὸ ἐλάχιστον χάρισμα, ἐφυσιοῦντο, κατὰ τῶν λοιπῶν. λέγει οὖν, ὅλως θέλετε χαρίσματα; ἐγὼ δείκνυμι ὁδὸν χαρισμάτων, οὐχ ἁπλῶς ὑπερέχουσαν, ἀλλὰ καθ' ὑπερβολήν. εἶτα φησίν. ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, οὐδέν εἰμι. κἂν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. εἶδες χάρισμα; ζήλωσον δεῖ τὸ χάρισμα. δεῖ τοῦ νεκροὺς ἐγείρειν, μεῖζον. δεῖ τῶν ἄλλων ἁπάντων πολλῷ βέλτιον. καὶ ὅτι δεῖ οὕτως ἔχει, ἄκουσον τί φησιν ὁ χς τοῖς μαθηταῖς διαλεγόμενος. ἐν τούτῳ γνώσονται πάντες, ὅτι μαθηταί μου ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους. οὐκεῖπε τὰ θαύματα. καὶ πάλιν πρὸς τὸν πατέρα φησίν. ἐν τούτῳ γνώσονται, ὅτι σύμε ἀπέστειλας, ἐὰν ὦσιν ἕν. καὶ αὖτὲς ἔλεγε πρὸς τοὺς μαθητὰς, ἐντολὴν καινὴν

τολὴν καινὴν

τολλὼ καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. τῶν τοίνυν τοὺς νεκροὺς ἀνιστώντων, σεμνότερος ὁ τοιοῦτος, καὶ λαμπρότερος, εἰπότως. ἐκεῖνο μὲν γὰρ ὅλον, τῆς τοῦ θεοῦ χάριτος ἐστί. τοῦτο δὲ καὶ τῆς σῆς ἀπονοίας. τοῦτο ὄντως χριστιανοῦ. τοῦτο δείκνυσι τὸν τοῦ χριστοῦ μαθητὴν, τὸν ἐταπεινωμένον, τὸν οὐδὲν ἔχοντα κοινὸν ἐν τῇ γῇ. τούτου χωρὶς, οὐδὲ μαρτύριον ὠφελῆσαί τι δύναται. καὶ ἵνα μάθῃς, ὅρα τοῦτο σαφῶς. ἔλαβε δύο κορυφαὶ ἀρετῶν ὁ μακάριος παῦλος, μᾶλλον δὲ τρεῖς, τὰς ἐν τοῖς σημείοις, τὰς ἐν τῇ γνώσει, τὰς ἐν τῷ βίῳ, καὶ τούτων οὐδὲν, οὐδὲν ἔφησεν εἶναι ταῦτα. πῶς δὲ οὐδέν ὅτι τοῦτο; ἐγὼ λέγω. ἐὰν ψωμίσω μυρίους τὰ ὑπάρχοντα, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν ὅτι. ἐφ' ᾧ γὰρ καὶ ψωμίζοντα μὴ εἶναι ἀγαπητικὸν, καὶ χρήματα πένοντα. καὶ εἴρηται μὲν ἡμῖν τοῦτο ἀριδήλως ἐν τῷ τότε τῷ περὶ τῆς ἀγάπης. κἀκεῖ παραπέμπομεν τοὺς ἐντυγχάνοντας. τέως δὲ ὅπερ ἔφθη, ζηλώσωμεν τὸ χάρισμα, ἀγαπήσωμεν ἀλλήλους, καὶ οὐδενὸς ἑτέρου δεηθησόμεθα πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν. ἀλλὰ πάντα ἡμῖν ἔσται εὔκολα χωρὶς ἱδρώτων. καὶ ἀπάντων κατορθώσομεν μετὰ πολλῆς τῆς ἀπονοίας. ἀλλ' ἰδοὺ καὶ νῦν φησιν, ἀγαπῶμεν ἀλλήλους. ὁ μὲν γὰρ ἔχει φίλους δύο, ἢ τρεῖς. ὁ δὲ πεντάρασσι, ἀλλὰ τοῦτο οὐκ ὄντι ἀπὸ τοῦ θεοῦ ἀγαθὸν, οὐ ταύτην ἔχει τὴν ἀρχὴν τῆς ἀγάπης, ἀλλὰ πρὸς πάντας, ὡς πρὸς ἀδελφοὺς ὁ τοιοῦτος διακείσεται, τοὺς μὲν ὁμοπίστους, ἅτε ὡς γνησίους ὄντας ἀδελφοὺς φιλῶν. τοὺς δὲ αἱρετικοὺς, καὶ ἕλληνας, καὶ ἰουδαίους, ἀδελφοὺς μὲν κατὰ τὴν φύσιν, φαύλους δὲ τυγχάνοντας, καὶ ἀχρήστους, ἐλεῶν, καὶ πενθῶν ὑπὲρ αὐτῶν, καὶ δακρύων. ἐν τούτῳ ὅμοιοι ἐσόμεθα τῷ θεῷ. ἐὰν πάντας ἀγαπῶμεν, καὶ τοὺς ἐχθρούς. οὐκέτι σημεῖα ποιῶμεν. ἐπεὶ καὶ τὸν θεὸν θαυμάζομεν μὲν, καὶ ὅταν θαύματα ἐργάζηται. πολλῷ δὲ πλέον, ὅταν φιλανθρωπεύηται, ὅταν ἀνέχηται. εἰ τοίνυν, καὶ τοῦτο θεοῦ ἐκεῖνο πολλοῦ θαύματος ἄξιον, πολλῷ μᾶλλον ἐπ' ἀνθρώπων, δῆλον ὅτι τοῦτο ἡμᾶς θαυμαστοὺς ἀπεργάζεται. τοῦτο τοίνυν ζηλώσωμεν, καὶ παύλου, καὶ πέτρου, καὶ τῶν μυρίους ἀνιστάντων νεκροὺς, οὐδὲν ἔλαττον ἐξόμεν. κἂν πυρετὸν ἀπελάσαι μὴ δύνωμεθα. ἐκείνης δὲ χωρὶς, κἂν αὐτῶν τῶν ἀποστόλων μείζονα ἐργασώμεθα σημεῖα. κἂν μυρίοις κινδύνοις ἑαυτοὺς ὑπὲρ τῆς πίστεως παραβάλωμεν, οὐδενὸς ἡμῖν ὄφελος. καὶ ταῦτα οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς ὁ τῆς ἀγάπης τρόφιμος, ταῦτα ἐπίσταται. ἐκείνῳ τοίνυν πειθώμεθα. οὕτω γὰρ δυνησόμεθα ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, δ'.

» Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν περὶ ἧς λαλοῦμεν. διεμαρτύρατο δὲ πουτις λέγων. τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύτι παρ' ἀγγέλους. Ἠβουλόμην γνῶναι σαφῶς εἴτινες μετὰ τῆς προσηκούσης ἀπονοίας τῶν λεγομένων ἀκούουσιν. εἰ μὴ παρὰ τὴν ὁδὸν τὰ ἀσπέρματα ῥίπτωμεν. οὕτω γὰρ ἂν προθυμότερον τὴν διδασκαλίαν ἐποιησάμην. ἐροῦμεν γὰρ, κἂν μηδεὶς ἀκούῃ, ἀλλὰ τὸν ἐπικείμενον παρὰ τοῦ σωτῆρος φόβον. διαμαρτύρομαι γὰρ φησι τῷ λαῷ τούτῳ. κἂν μὴ ἀκούσωσιν, αὐτὸς ἀνεδύδυνος ἔσῃ. εἰ δὲ ἐπειθείσμην περὶ τῆς ὑμετέρας ἀπονοίας, οὐκ ἂν τὸν φόβον ἔλεγον μόνον, ἀλλὰ καὶ μετ' ἡδονῆς τοῦτο ἐποίουν. νῦν μὲν γὰρ κἂν μηδεὶς ἀκούῃ, κἂν ἐμοὶ τὸ πρᾶγμα ἀκίνδυνον ᾖ τὸ ἐμαυτοῦ πληρῶσαι, ἀλλ' ὅμως οὐ μετ' ἡδονῆς

ἡδονῆς ὁ πόνος γίνεται. τί γὰρ ὄφελος ὅταν μὴ ἐγκαλῶμαι μὴν ἐγὼ, ὠφελεῖται δὲ μηδεὶς; εἰ δέ τινες μέλλοιεν προσέχειν, οὐ τοσαύτην ἀπὸ τοῦ μὴ κολάζεσθαι λυπήσομεθα ὄνησιν, ὅσον ἀπὸ τῆς προκοπῆς, τῆς ἡμετέρας. πῶς οὖν εἴσομαι θεός; ἐπιτρέψας ὑμῶν τινας τοὺς πάνυ προσέχοντας, τούτους ἐρήσομαι κἀκείνων πεῖραν σωτυχὼν, κἂν δύρω τινὰς τῶν εἰρημένων κατέχοντας οὐ λέγω πάντας, θεὸς γὰρ ὑμῶν οὐκ ὀλίγους ἐκ πολλῶν, δῆλον, ὅτι περὶ τῶν λοιπῶν, οὐδὲ ἀμφιβάλλω λοιπόν. καὶ ἐκεῖνο μὲν ἡμᾶς, μὴ προειπόντας θεὸν, ἀφυλάκτους ὑμῶν ἐπιτεθῆναι. πλεῖν ἀλλ' ἀγαπητὸν, ἵνα κἂν, οὕτω σωθεῖητε ἐπιτυχεῖν. μᾶλλον δὲ καὶ οὕτως δύναμαι ἀφυλάκτοις ἐπιθέσθαι. ὅτι μὲν γὰρ ἐρήσομαι προεῖπον, πότε δὲ ἐρήσομαι, οὐκέτι δῆλον κατέστημι. ἴσως γὰρ σήμερον, ἴσως δὲ αὔριον, ἴσως δὲ μετὰ εἴκοσιν, ἢ τριάκοντα ἡμέρας, ἴσως δὲ μετὰ ἐλάττους, ἴσως δὲ μὴ πλείους. οὕτω καὶ ὁ θεὸς τὴν ἡμέραν ἡμῶν τῆς τελευτῆς, ἄδηλον ἐποίησε. καὶ οὔτε εἰ σήμερον, οὔτε εἰ αὔριον, οὔτε εἰ μετὰ ἐνιαυτὸν ὅλον, οὔτε εἰ μετὰ πλείονα ἔτη ἐπιθήσεται δῆλον ἡμῖν ἔφησεν εἶναι, ἵνα τῷ τῆς προσδοκίας ἀδήλῳ, διαπαντὸς ἐν ἀρετῇ κατέχωμεν ἑαυτούς. καὶ ὅτι μὲν ἀπελευσόμεθα, εἶπε, πότε δὲ οὐκέτι. οὕτω κἀγὼ, ὅτι μὲν ἐρήσομαι, εἶπον. πότε δὲ οὐ προσέθηκα, βουλόμενος ὑμᾶς ἐν φρονήσει εἶναι διαπαντός. καὶ μήτις λεγέτω, ὅτι πεντεκαίδεκα ἑβδομάδων, καὶ πέντε, καὶ πλειόνων ταῦτα ἤκουσα, καὶ κατέχειν οὐ δύναμαι. τὸν γὰρ ἀκούοντα οὕτως βούλομαι κατέχειν, ὡς ἄλυσον ἔχειν τὴν μνήμην, καὶ μὴ ἐξίτηλον, μὴ δὲ ἀποῤῥεῖν, τὰ λεγόμενα. βούλομαι γὰρ ὑμᾶς κατέχειν, οὐχ ἵνα ἐμοὶ εἴπητε, ἀλλ' ἵνα ὑμεῖς κερδάνητε, καὶ θεὸς ἐμοὶ ἐφ' ᾧ περιποιήσασθαι. μή τις θεὸς λεγέτω. ἀναγκαῖον δὲ λοιπὸν ἄρξασθαι τῆς ἀκολουθίας. τί οὖν δὴ πρόκειται ἡμῖν εἰπεῖν σήμερον; οὐ γὰρ ἀγγέλοις φησὶν ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν περὶ ἧς λαλοῦμεν. ἆρα μὴ, περὶ ἑτέρας τινὸς διαλέγεται οἰκουμένης; οὐκ ὄθνειν, ἀλλὰ περὶ ταύτης. διὰ γὰρ θεὸς προσέθηκε περὶ ἧς λαλοῦμεν, ἵνα μὴ ἀφῇ τὸν νοῦν πλανηθέντα, ἑτέραν τινὰ ἐπιζητεῖν. πῶς οὖν αὐτὴν μέλλουσαν καλεῖ. ὡς περ καὶ ἑτέρωθι φησίν. ὃς ὄθνειν τύπος τοῦ μέλλοντος. περὶ τοῦ ἀδὰμ, καὶ τοῦ χριστοῦ λέγων ἐν τῇ πρὸς ῥωμαίους ἐπιστολῇ, πρὸς τοὺς χρόνους τοῦ ἀδὰμ, μέλλοντα τὸν κατὰ σάρκα χριστὸν καλῶν. καὶ γὰρ ἔμελλεν, οὕτω καὶ νῦν. ἐπεὶ δὴ εἶπεν. ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, ἵνα μὴ νομίσῃς ἑτέραν οἰκουμένην λέγειν αὐτὸν, πολλαχόθεν αὐτὸ βεβαιοῦται, καὶ ἀπ' αὐτοῦ δὲ τοῦ εἰπεῖν αὐτὴν μέλλουσαν. ἔμελλε γὰρ ἡ οἰκουμένη. ὁ δὲ υἱὸς τοῦ θεοῦ, ἓν ἀεί. ταύτην οὖν τὴν μέλλουσαν ἔσεσθαι, οὐκ ἀγγέλοις ὑπέταξεν, ἀλλὰ τῷ χριστῷ, ὅτι δὲ περὶ τοῦ υἱοῦ εἴρηται φησι, δῆλο. οὐδὲ γὰρ ἐκεῖνο αὖτις εἴποι, ὅτι περὶς ἀγγέλους. εἶτα καὶ ἑτέραν παράγει μαρτυρίαν, καὶ φησί. διεμαρτύραζο δέ που τις λέγων. διατὶ μὴ τὸ ὄνομα τοῦ προφήτου εἶπεν, ἀλλ' ἐνέκρυψεν αὐτό. καὶ ἑτέρας δὲ μαρτυρίας θεὸς ποιεῖ, ὡς ὅταν λέγῃ. ὅταν δὲ πάλιν εἰσαγάγει τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει. καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. καὶ πάλιν, ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ περὶς μὲν τοὺς ἀγγέλους, λέγει ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα. καὶ καταρχὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας. οὕτω καὶ ἑταῦθα φησί. διεμαρτύρατο δέ που τις λέγων, καὶ θεὸς αὐτὸ οἶμαι κηρύττοντος αὐτὸν εἶναι, καὶ δεικνύναι αὐτοὺς σφόδρα ἐμπείρους εἶναι τῶν γραφῶν, τῷ μὴ τιθέναι τὸν εἰρηκότα τὴν

πότατην μαρτυρίαν, ἀλλ' ὡς περιφερομένῳ, καὶ κατάδηλον οὖσαν εἰσάγειν. τί ὄστιν ἄν-
θρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτὸν, ἠλάττωσας αὐτὸν βρα
χύ τι παρ' ἀγγέλους. δόξῃ, καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. πάντα ὑπέταξας ὑποκάτω τῶν
ποδῶν αὐτοῦ. τῷ γὰρ τὰ πάντα ὑπέταξας αὐτῷ, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. νυνὶ δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάν
τα ὑποτεταγμένα. Ὃ δὲ λέγει, τοιοῦτόν ὄστιν. ἐπειδὴ εἶπεν, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
ὑποπόδιον τῶν ποδῶν σου, εἰκὸς ἦν αὐτοὺς ἐπιλανθάνειν. εἶτα μετὰ τοῦτο ὀλίγα τινὰ πα
θοῦσι, ταύτην τοῖς μαρτυρίαν ἐπήγαγε βεβαιοῦσαν ἐκείνοις. ἵνα γὰρ μὴ λέγωσι πῶς τοὺς
ἐχθροὺς ἔθηκεν ὑπὸ τοὺς πόδας αὐτοῦ, τοσαῦτα παθόντων ἡμῶν; ἱκανῶς μὲν καὶ ἐν τῷ
προτέρῳ αὐτὸ ἠνίξατο. τὸ γὰρ ἕως, οὐ τὸ βούλεσθαι δηλοῦν γινόμενον, ἀλλὰ τὸ ἐν χρόνῳ, ἐν-
ταῦθα δὲ αὖ τὸ ἐπερχόμενον. μὴ γὰρ ἐπειδὴ οὐδέπω ὑπετάγησαν φησὶ, νομίσῃς μὴ δὲ ὑ-
ποτάττεσθαι. ὅτι μὲν γὰρ δεῖ ὑποταγῆναι, δῆλον. καὶ γὰρ ἡ προφητεία, διαῤῥήδην εἴρηται.
ἐν τῷ γὰρ ὑποτάξαι αὐτῷ φησι τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. πῶς οὖν οὐ
πάντα ὑπὸ τέτακται; ὅτι μέλλει ὑποτάσσεσθαι. εἰ γὰρ νῦν πάντα μὴ ὑποταγῆναι ὀφείλει.
οὔπω δὲ ὑπότέτακται, μὴ ἀχάλλε, μὴ δὲ θορυβοῦ. εἰ μὴ γὰρ τὸ τέλους παραγενομένου,
καὶ πάντων ὑποταγέντων ταῦτα ἔπαχες, εἰκότως ἤλγεις. νυνὶ δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ
πάντα ὑποτεταγμένα. οὔπω ἐκράτησεν, ὁ βασιλεὺς καθαρῶς. τί τοίνυν θορυβῇ πάσχων
κακῶς; οὔπω πάντων περιγέγονε τὸ κήρυγμα, οὔπω καιρὸς τέλεον ὑποταγῆναι. εἶτα πά-
λιν ἕτερα παρακλήσις. εἰ δὴ ὁ μέλλων πάντας ἔχειν ὑποτεταγμένους, καὶ αὐτὸς ἀπέθανε,
καὶ μυρία πέπονθε. τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν διὰ τοῦ πά-
θήματος τοῦ θανάτου. εἶτα χρηστὰ πάλιν. δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. εἶδες πῶς
αὐτῷ πάντα ἥρμοσε; καὶ γὰρ τὸ βραχύ, τίνι αὖ ἢ αὐτῷ ἁρμόσειε μᾶλλον τῷ τρεῖς ἡμέρας ἐν
ᾅδῃ γενομένῳ μόνος; ἀλλ' οὐχ ἡμῖν τοῖς ἐπὶ πολὺ φθειρομένοις, καὶ τὸ, δόξῃ καὶ τιμῇ. ἐ-
κείνῳ πολλῷ πλέον, ἢ ἡμῖν ἁρμόσει. πάλιν αὖ τοὺς ἀναμιμνήσκει τοῦ ταύρου. δύο ποιῶν,
καὶ τὴν κηδεμονίαν αὐτοῦ δεικνὺς, καὶ πείθων πάντα φέρειν γενναίως, εἰς τὸν διδάσκαλον
ἀφορῶντας. εἰ γὰρ ὁ προσκυνούμενος ὑπ' ἀγγέλων φησὶν ἠνέχετο βραχύ τι παρ' ἀγγέλους
ἔχειν δι' σε, πολλῷ μᾶλλον σὺ ὁ τῶν ἀγγέλων ἐλάττων, πάντα φέρειν ὀφείλεις δι' αὐτόν. εἶ-
τα δείκνυσιν, ὅτι δόξα, καὶ τιμή, ὁ ταῦρός ὄστιν. ὥσπερ οὖν, καὶ αὐτὸς αὐτὸν ἀεὶ καλεῖ λέ-
γων. ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. εἰ οὖν ἐκεῖνος τὰ δι' τοὺς δούλους δόξαν καλεῖ,
πολλῷ μᾶλλον σὺ τὰ δι' τὸν δεσπότην. ὁρᾷς τοῦ ταύρου τὸν καρπὸν ὅσος; φοβήθητι τὸ πρᾶγμα.
σκυθρωπὸν μὲν εἶναι σοι δοκεῖ. μυρία δὲ πίκτει ἀγαθά. δείκνυσιν ἐκ τούτων τοῦ πειρασμοῦ
τὸ ὄφελος. εἶτα φησὶν, ὅπως χάριτι θεοῦ ὑπὲρ παντὸς, γεύσηται θανάτου. Ὅπως φη
σὶ χάριτι θεοῦ. Καὶ κεῖνος μὲν δι' χάριν τοῦ θεοῦ τοῦ εἰς ἡμᾶς, ταῦτα πέπονθεν. ὅσγε
τοῦ ἰδίου γοῦν οὐκ ἐφείσατο φησὶν, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. τίνος ἕνεκεν;
οὐκ ὤφειλε δῶρα ἡμῖν, ἀλλὰ χάριτι πεποίηκε. καὶ πάλιν ἐν τῇ πρὸς ῥωμαίους ἐπιστολῇ

φησί. πολλῷ μᾶλλον ἡ χάρις τ̃ θεοῦ, καὶ ἡ δωρεὰ, ἐν χάριτι τῇ τ̃ ἑνὸς ἀνθρώπου Ἰησοῦ χριστοῦ, εἰς πολλοὺς ἐπερίσσευσεν. ὅπως χάριτι θεοῦ ὑπὲρ παντὸς, γεύσηται θανάτου. οὐχὶ τῶν πιστῶν μόνον, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης. οὗτος μὲν γὰρ ὑπὲρ πάντων ἀπέθανε. τί δὲ εἰ μὴ πάντες ἐπίστευσαν; αὐτὸς τὸ ἑαυτ̃ πεπλήρωκε, καὶ κυρίως εἶπεν ὑπὲρ παντὸς γεύσηται θανάτου. οὐκεῖπεν ἀποθανεῖν. ὡσπερ γὰρ ὄντως γευσάμενος, οὕτω μικρὸν ἑαυτῷ ποιήσας διάφημα, λύθεως ἀνέφη. τὸ μὲν οὖν εἰπεῖν λῦσαι τὸ πάθημα τοῦ θανάτου, τὸν ὄντως θάνατον ἐσήμανε. τὸ δὲ ἀγγέλων κρείττων, τὴν ἀνάστασιν ἐδήλωσε. καθάπερ γὰρ ἰατρὸς οὐκέχων ἀνάγκην τῶν τῷ ἀῤῥώστῳ παρεσκευασμένων σιτίων ἀπογεύσασθαι, λύσας τὴν περὶ ἐκεῖνον κηδεμονίαν πρότερον αὐτὸς ἀπογεύεται, ἵνα πείσῃ τὸν ἀῤῥώστον θαρσοῦντα καταλαμῆσαι τ̃ βρώσεως. οὕτως ἐπειδὴ πάντες ἀνθρωποι τὸν θάνατον ἐδεδίεσαν, πείθων αὐτοὺς καταλαμᾶν τ̃ θανάτου, καὶ αὐτὸς ἀπεγεύσατο αὐτ̃, οὐκέχων ἀνάγκην. ἔρχεται γάρ φησιν ὁ τ̃ κόσμου τούτου ἄρχων, καὶ οὐδὲν ἐμοὶ οὐδὲν, οὕτως καὶ τὸ χάριτι, καὶ τὸ ὑπὲρ παντὸς γεύσηται θανάτου, ὁμοίως σωίφησιν.

» Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. Περὶ τ̃ παντὸς ἐνταῦθα λέγει. ὁρᾷς πῶς πάλιν τὸ δι' οὗ αὐτῷ ἁρμόζει; οὐκοῦν θεὸς ἐποίησεν, εἰγε ἐλαττώσεως ἦν, καὶ τῷ υἱῷ μόνον προσῆκον. ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἀξία φησὶ τῆς φιλανθρωπίας αὐτοῦ πεποίηκε, τὸ τὸν πρωτότοκον λαμπρότερον ἀποδεῖξαι πάντων, καὶ ὡσπερ ἀθλητὴν γενναῖον, καὶ τοὺς ἄλλους ὑπερέχοντα, τοῖς ἑτέροις ὑπόδειγμα εἶναι τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν. τουτέστι τὸν αἴτιον τῆς σωτηρίας. ὁρᾷς ὅσον τὸ μέσον; καὶ οὗτος υἱὸς, καὶ ἡμεῖς υἱοί, ἀλλ' ὁ μὲν, σώζει, ἡμεῖς δὲ σῳζόμεθα. εἶδες πῶς ἡμᾶς σωμάτει, καὶ διίστησι; πολλοὺς φησὶν υἱοὺς εἰς δόξαν ἀγαγόντα. ἐνταῦθα τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, καὶ πάλιν διέστησε. διὰ παθημάτων τελειῶσαι. ἆρα τὰ παθήματα τελείωσις, καὶ αἰτία τῆς σωτηρίας. ὁρᾷς ὅτι τὸ παθεῖν κακῶς, οὐκόδιν ἐγκαταλελειμμένων; ἤδη τούτῳ πρῶτον τετ θεὸς τῷ διὰ παθημάτων αὐτὸν ἀγαγεῖν, καὶ ὄντως τὸ τὸν κόσμον ποιῆσαι, καὶ ἐκμὴ ὄντων παραγαγεῖν, τὸ σάρκα ἀναλαβόντα παθ παθε, πολλῷ μεῖζον ἐστί. καὶ δόξης μὲν οὖν φιλανθρωπίας, ἐκεῖνο δὲ

» πολλῷ πλέον. καὶ δεικνὺς καὶ αὐτὸς δόξης αὐτὸ, φησίν. Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις, τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτ̃, καὶ συνήγειρε, καὶ

» συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν χριστῷ ἰησοῦ. Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. ἔπρεπε γὰρ αὐτῷ φησι τῷ κηδεμόνι, καὶ πάντα εἰς τὸ εἶναι παραγαγόντι, ἐκδοῦναι τὸν υἱὸν ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας, τὸν ἕνα ὑπὲρ τῶν πολλῶν. ἀλλ' οὐκεῖπεν οὕτως, ἀλλὰ διὰ παθημάτων τελειῶσαι. δείκνυσιν ὅτι ὁ παθὼν ὑπέρζηνος, οὐκεκεῖνον ὠφελεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς λαμπρότερος γίνεται, καὶ τελειότερος. καὶ ὁμοίως δὲ πρὸς τοὺς πιστοὺς φησι, παραθαῤῥῶν αὐτούς. καὶ γὰρ ὁ χς τότε ἐδοξάσθη, ὅτε ἔπαθεν. ὅταν δὲ εἴπω ἐδοξάσθη, μὴ νομίσῃς δόξης πρόσληψιν αὐτῷ γίνεσθαι.

» ἐκείνῳ γὰρ τῇ τ̃ φύσεως εἶχεν ἀεί, οὐδὲν προσλαβών. Ὅτε γὰρ ἀγιάζων φησὶ, καὶ οἱ ἁγιαζόμενοι,

» ἀγαπᾷ ξόμενοι, ἐξ ἑνὸς πάντες. δι' ἣν αἰτίαν, οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν. Ἰδοὺ πάλιν, πῶς σωάγει ἑαυτῶν αὐτοὺς, καὶ παραμυθούμενος, καὶ ἀδελφοὺς αὐτοὺς ποιῶν τοῦ χριστοῦ. κατὰ σάρκα τοῦτο ἐξ ἑνός εἰμι. εἶτα πάλιν ἀσφαλιζόμενος, καὶ δεικνὺς, ὅτι κατὰ σάρκα φησὶν, ἐπήγαγεν. ὁ γὰρ ἁγιάζων καὶ, καὶ οἱ ἁγιαζόμενοι ἡμεῖς. ὁρᾷς ὅσον τὸ μέσον; ὁ μὲν γὰρ ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. καὶ ἀνωτέρω τὴν ἀρχὴν τῆς σωτηρίας αὐτῶν ἔφη. εἷς γὰρ θεὸς, ἐξ οὗ τὰ πάντα. δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν. ὁρᾷς πῶς πάλιν δείκνυσι τὴν ὑπεροχήν; τὸ γὰρ εἰπεῖν οὐκ ἐπαισχύνεται, δείκνυσιν οὐ τῆς τοῦ πράγματος φύσεως, ἀλλὰ τῆς φιλοσοργίας τοῦ μὴ ἐπαισχυομένου τὸ πᾶν ὄν, καὶ τῆς ταπεινοφροσύνης τῆς πολλῆς. εἰ γὰρ καὶ ἐξ ἑνός, ἀλλ' ὁ μὲν, ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. πολὺ δὲ τὸ μέσον, καὶ ὁ μὲν, ἐκπαντὸς, ὡς ἰὸς γνήσιος. τοῦτό ἐστιν ἐκ τῆς οὐσίας αὐτοῦ. ἡμεῖς δὲ ὡς κτίσμα. τοῦτό ἐστιν ἐξ οὐκ ὄντων, ὥστε πολὺ τὸ μέσον. διὸ φησὶν, οὐκ » ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων. Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελ » φοῖς μου. Τὴν γὰρ σάρκα ἐνδυσάμενος, ἐνεδύσατο καὶ τὴν ἀδελφότητα, καὶ συνεισῆλθεν ὁμοῦ, καὶ ἡ ἀδελφότης. ἀλλὰ τοῦτο μὲν εἰκότως παράγει, τὸ δὲ ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ, τί βούλεται; καὶ τὸ μεταταῦτα μὲν γὰρ εἰκότως. ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ θεός. ὥσπερ γὰρ ἐν τοῦτο πατέρα δείκνυσιν ἑαυτὸν, ἐκεῖ ἀδελφόν. ἀπαγγελῶ φησι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, καὶ πάλιν τὴν ὑπεροχὴν δείκνυσι, καὶ πο » λὺ τὸ μέσον, λέγε τῶν ἑξῆς. Ἐπεὶ οὖν τὰ παιδία φησὶ κεκοινώνηκεν αἵματος, καὶ σαρ » κός. Ὁρᾷς πῶν φησι τὸ ὅμοιον; κατὰ τὴν σάρκα. Παραπλησίως, καὶ αὐτὸς μετέσχε » τῶν αὐτῶν. Αἰσχυνέθωσαν πάντες οἱ αἱρετικοὶ, ἐγκαλυπτέθωσαν οἱ δοκήσει λέγοντες αὐτὸν παραγεγενῆσθαι, καὶ οὐκ ἀληθείᾳ. οὐ μόνον γὰρ εἶπε μετέσχε τούτων, καὶ ἐσίγησε. καί τοι καὶ εἰ οὕτως εἶπεν, ἱκανὸν ἦν. ἀλλ' ἕτερόν τι μεῖζον ἔδηκε τὸ παραπλησίως, οὐ δοκήσει. ἀλλ' ἀληθείᾳ δεικνὺς τὴν ἀδελφότητα. εἶτα καὶ τὴν αἰτίαν πίθησι τῆς οἰκονομίας. » Ὅπως διὰ τοῦ θανάτου φησὶ καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου. Τοῦτέστι » τὸν διάβολον. ἐν τοῦτο τὸ θαυμαστὸν δείκνυσιν, ὅτι δι' οὗ ἐκράτησεν ὁ διάβολος, διὰ τού » του ἥττηθη, καὶ ὅπερ ἰσχυρὸν ἦν αὐτῷ ὅπλον κατὰ τῆς οἰκουμένης ὁ θάνατος, τοῦτο αὐ » τὸν ἔπληξεν ὁ χριστός. ἐν τοῦτο τὸ πολὺ τῆς δυνάμεως τοῦ νικήσαντος ἐμφαίνει. ὁρᾷς ὅσον » ὁ θάνατος εἰργάσατο κακόν; Καὶ ἀπαλλάξῃ φησὶ τούτους ὅσοι φόβῳ θανάτου διὰ » παντὸς τοῦ ζῆν, ἔνοχοι ἦσαν δουλείας. Τίνος ἕνεκεν φείδεσθε φησὶ, τί δεδοίκατε τὸν κα ταργηθέντα; οὐκέτι φοβερός ἐστιν, ἀλλὰ πεπάτηται, καταπεφρόνηται, οὐτελής ἐστι, καὶ οὐδενὸς ἄξιος. τί δὲ ἐστι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας; τί ἐστιν φησίν; ὅτι ὁ τὸν θάνατον δεδοικὼς, δοῦλος ἐστι, καὶ πάντα ὑφίσταται ὑπὲρ τοῦ μὴ ἀποθανεῖν, ἢ ἐκεῖνο, ὅτι πάντες δοῦλοι ἦσαν τοῦ θανάτου, καὶ τῷ μηδέπω αὐτὸν λελύσθαι, ἐκράτουν τοῦ, ἢ ὅτι φόβῳ διηνεκεῖ συνέχων οἱ ἄνθρωποι, ἀεὶ ἀποτεθνήξεσθαι προσδοκῶντες, καὶ τὸν θάνατον δεδοικότες, οὐδὲ μιαῖς ἡδονῆς αἰσθήσιν λαβεῖν ἠδύναντο, διὰ φόβου τούτου παρόντος αὐτοῖς. ἔνθεν γὰρ ἡνίξατο εἰπὼν διὰ παντὸς τοῦ ζῆν. δείκνυσιν ἐνταῦθα τοὺς θλιβομένους, τοὺς ἐλαυνομένους, τοὺς διωκομένους, τοὺς καὶ παντοίως, καὶ οὐσίαις καὶ τῶν ἄλλων ἁπάντων ἀποστερουμένους, ἥδιον διάγοντας, καὶ ἐλευθεριώτερον ἐκείνων τῶν

ἐν τρυφῇ τ παλαι τυγχανόντων, τῶν μηδὲν τοιούτων παθόντων, τῶν δ' ὑβρυνομένων. εἰγε ἐκεῖνοι μὲν διὰ παντὸς τ ζ ὑπὸ τ φόβῳ τούτῳ ἦσαν, καὶ δοῦλοι. αὐτοὶ δὲ τούτου εἰσὶν ἀπηλλαγμένοι, καὶ γελῶντες ὧν ὅπερ ἐκεῖνοι ὀφείκεσαν. ζαν γὰρ ὄντι νῦν. ὥσπερ γὰρ εἴτις δεσμώτην μέλλοντα τ ιδ θάνατον ἄγεσθαι, καὶ ἀεὶ ὧν προσδοκῶντα λιτοσύνει πολλῇ τῇ τρυφῇ, τοιοῦτόν τι ἰδ τ παλαιὸν ὁ θάνατος. νῦν δὲ ὥσπερ αὖ εἰς τὸν φόβον ἐκεῖνον ἐμβαλὼν μετὰ τ τρυφῆς, ἐπαγγέλλοιτο ἀθλεῖν, καὶ προτιθεὶς τὸν ἀγῶνα, ὡς τε μηκέτι εἰς θάνατον, ἀλλ' εἰς βασιλείαν ἀγαγεῖν, τίνων αὖ ἡδέλησας γενέσθαι; τῶν ἐν τῷ δεσμωτηρίῳ λιτοσυνομένων μετὰ τ καθ' ἑκάστην ἡμέραν τ ιδ ἀποφάσιν προσδοκᾶν, ἢ τῶν ἀθλοφόρων πολλὰ, καὶ πονοφόρων ἑκόντι, ὥστε τὸ διάδημα τῆς βασιλείας ἀναδήσασθαι; ὁρᾶς πῶς αὐτῶν ἦρε τ ιδ ψυχὴν, καὶ μετεώρους εἰργάσατο; δείκνυσι δὲ οὐ τὸν θάνατον μόνον ὑπεροπτεύοντα, ἀλλὰ διὰ τούτου, καὶ ἐκεῖνον τὸν ἀγωνοθέτην πρὸς ἡμᾶς ἀεὶ τὸν πόλεμον ἐπιδεικνύμενον, τὸν διάβολον λέγω, καταργηθέντα. ὁ γὰρ θάνατον μὴ δεδοικὼς, ἔξω τῆς τυραννίδος ἐστὶ τ διαβόλου. εἰ γὰρ δέρμα ὑπὲρ δέρματος, καὶ πάντα δώσειεν ἄνθρωπος ὑπὲρ τῆς ψυχῆς αὐτ, ὅταν καὶ καταφρονεῖν, τίνος ἕνεκα δοῦλος λοιπόν; οὐδένα δέδοικεν, οὐδένα φοβεῖται. πάντων ἐστὶν ἀνωτερος, καὶ πάντων ἐλευθεριώτερος. ὁ γὰρ τῆς ψυχῆς πολλῷ μᾶλλον τῶν ἄλλων. ὅταν δὲ εὕρῃ ψυχὴν τοιαύτην ὁ διάβολος, οὐδὲν ἐργάσασθαι δυνήσεται ἐν αὐτῇ, τῶν αὐτ. τί γὰρ εἰσάξει μοι; χρημάτων ἀτιμάσει, καὶ ἀτιμίαν, καὶ πατρίδος ἐκβαλεῖ; ἀλλὰ ζαῦτα μικρὰ τῶν μὴ δὲ τὴν ψυχὴν τιμὰν τιθεμένων κατὰ τὸν μακάριον παῦλον. ὁρᾶς ὅτι τ θανάτου τ τυραννίδα ἐκβαλὼν, συγκατέλυσε καὶ τ διαβόλου τὴν ἰσχύν; ὁ γὰρ περὶ ἀναστάσεως μυρία φιλοσοφεῖν εἰδὼς, πῶς δέδοικε θάνατον; πῶς φείσεται λοιπόν;

Η' δηνόν.

Μὴ τοίνυν ἀλαζονεύεσθε λέγοντες, διατί τὰ, καὶ τὰ πεπόνθαμεν. οὕτως γὰρ λαμπροτέρα ἡ νίκη γίνεται. καὶ οὐκ ἂν λαμπρὰ εἰ μὴ θανάτῳ τὸν θάνατον ἔλυσε. τὸ δὲ θαυμαστὸν, τοῦτο ἐστὶν, ὅτι διὰ αὐτῶν αὐτὸν ἐνίκησε διὰ ὧν ἥττητο. τὸ δύσπορον αὐτοῦ παντοχοῦ, καὶ δυμήχανον δεικνὺς, μὴ δὴ προδῶμεν τὴν δοθεῖσαν ἡμῖν δωρεάν. οὐ γὰρ ἐλάβομεν φησὶ πνεῦμα δειλίας, ἀλλὰ πνεῦμα δυνάμεως, καὶ ἀγάπης, καὶ σωφρονισμοῦ. τῶμεν οὖν γενναίως, καταγελῶντες τ θανάτου. ἀλλὰ γὰρ ἐπῆλθεμοι τενάξαι πικρόν. ποῦ μὲν ὁ χς ἡμᾶς ἀνήγαγε. ποῦ δὲ ἑαυτοὺς καταγάγομεν. ὅταν γὰρ ἴδω τοὺς κοσμικοὺς τοὺς κατὰ τὴν ἀγοράν, τὰς οἰμωγὰς τῶν τοῖς ἐξερχομένοις τ βίου, τὰς ὀλολυγὰς, τὰς ἀχημοσύνας τὰς ἄλλας, πῶς δύσατε, αἰχμώμαι, καὶ ἕλλησι, καὶ ἰουδαίων, καὶ αἱρετικῶν τοὺς ὁρῶντας, καὶ πάντας ἁπλῶς τοὺς διαζῶντας καταγελῶντας ἡμῶν. ὅσα γὰρ αὖ εἴπω λοιπόν, εἰκῇ ἐρῶ περὶ ἀναστάσεως φιλοσοφῶν. τί δήποτε; ὅτι οὐ τοῖς λεγομένοις παρ' ἐμοῦ προσέχουσιν ἕλλησες, ἀλλὰ τοῖς γινομένοις παρ' ὑμῶν. δικαίως γὰρ ἐροῦσι. πότε τούτων τις καταφρονήσει θανάτου δωμήσεται, μὴ δὲ ἕτερον τεθνεῶτα δωμάμενος ἰδεῖν; καλὰ τὰ εἰρημένα ὑπὸ τ παύλου, καλὰ καὶ τῶν οὐρανῶν ἄξια, καὶ τῆς τ θεοῦ φιλανθρωπίας. τί γὰρ φησι; καὶ ἀπαλλάξει τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν, ἔνοχοι ἦσαν δουλείας, ἀλλ' οὐκ ἀφίετε ταῦτα πιθύεσθαι ὑμᾶς, μαχόμενοι διὰ τῶν ἔργων αὐτοῖς. καίτοι πολλὰ ὑπὲρ τοῦτο ἐχόντων τὸς

λὰ ϗπιτειχίσαντος τῦ θεοῦ γίνεσθαι πρὸς ἐμέ, ἵνα ἀνέλῃ τὴν πονηρὰν ταύτην συνήθειαν. εἰ δὲ χάρμα, τί βούλονται αἱ λαμπάδες αἱ φαιδραί; οὐχ ὡς ἀθλητὰς αὐτοὺς προπέμποντες; τί δὲ οἱ ὕμνοι; οὐχὶ τὸν θεὸν δοξάζομεν; καὶ δυχαριστοῦμεν, ὅτι λοιπὸν ἐτεφανώσε τὸν ἀγωνα θέντα; ὅτι τῶν πόνων ἀπήλλαξεν; ὅτι τῆς δειλίας ἐκβαλὼν ἔχει παρ' ἑαυτῷ; οὐ διὰ ἐμὲ ὕμνοι; οὐ διὰ ἐμὲ ψαλμῳδίαι; ταῦτα πάντα χαιρόντων ἐστίν. βύθυμει γὰρ φησίτις; ψαλλέτω, ἀλλ' οὐ τούτοις προσέχουσιν ἕλλιμνες. μὴ χάρμα φησὶν εἰ ποις τὸν ἐκτὸς τοῦ πάθους φιλοσοφοῦντα. ἐμὲ γὰρ οὐδὲν μέλει, οὐδὲ θαυμαστόν. δείξομεν τὸν ἐν αὐτῷ τῷ πάθει φιλοσοφοῦντα, καὶ τότε πισθύσω τῇ ἀναστάσει. καὶ τὸ μὴν βιωτικὰς γυναῖκας ἐμὲ ποιεῖν, θαυμαστὸν οὐδέν. καὶ Παῦλος καὶ ἐμὲ δεινόν. καὶ γὰρ καὶ αὐταὶ τὴν αὐτὴν ἀσαπτοῦσι φιλοσοφίαν. διὸ καὶ παῦλος φησί. περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδας, οὐχὶ μοναζουσιν ἐγκαφε ταῦτα, οὐδὲ ἀεὶ παρθένοις, ἀλλὰ καὶ κοσμικαῖς. πλὴν ἀλλ' οὐχ οὕτω δεινὸν ἐμὲ ὅταν δέπις, ἢ γυνὴ, ἢ ἀνὴρ ἐσαυρῶσθαι τῷ κόσμῳ λέγων, ὁ μὲν τείχας τίλλῃ, ἡ δὲ κωκυὴ μεγάλα, τί τοῦτον ἀχημονέστερον; πισθύσατέ μοι λέγοντι. εἶγε ὡς ἐχρὴν ἐγίνετο, πολλὴ ἔδει χρόνον τοὺς τοιούτους εἴργεσθαι τῶν οὐδῶν τῆς ἐκκλησίας. οἱ γὰρ οὕτως ἄξιοι πένθους, οὗτοί εἰσιν, οἱ τὸν θάνατον δεδοικότες ἔτι, καὶ φείδοντες, οἱ τῇ ἀναστάσει διαπιστοῦντες. ἀλλ' οὐ τῇ ἀναστάσει διαπιστῶ φησιν, ἀλλὰ τὴν συνήθειαν ϗπιζητῶ. διατὶ οὖν εἰσέρχομαι; ὅταν ἀποδημῇ, καὶ ἀποδημίαν μακρὰν, οὐ τὰ αὐτὰ ποιεῖς; ἀλλὰ κλαίω, καὶ τότε φησὶ, καὶ θρηνῶ ϗπιζητῶσα. ἀλλ' ἐκεῖνο μὲν ὄντως συνήθειαν ϗπιζητοῦντων ἐστί. ἐμὲ δὲ ἀσεβωνοκήσασι τὴν ἐπάνοδον. ἐννόησον τί ψάλλεις κατὰ τὸν καιρὸν ἐκεῖνον. ϗπίσχρεφον ψυχήμου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος δυηργέτησέ σε. καὶ πάλιν, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. καὶ πάλιν. σύμου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με. ἐννόησον τί βούλονται οὗτοι οἱ ψαλμοὶ, ἀλλ' οὐ προσέχεις, ἀλλὰ μεθύεις ἔξω τῦ πένθους. καὶ ἂν ἐν τοῖς ἑτέρων κηδεύμασι κατανόησον ἀκριβῶς, ἵνα ἔχῃς φάρμακον ἐν τοῖς σοῖς. ϗπίσχρεφον ψυχήμου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος δυηργέτησέ σε, λέγεις, καὶ δακρύεις; οὐχὶ συνῳδὴ ταῦτα ἐστίν, οὐχ ὑπόκρισις; εἰ μὲν γὰρ ὄντως πισθύεις οἷς λέγεις, περιττῶς πεν θεῖς. εἰ δὲ παίζεις, καὶ ὑποκρίνῃ, καὶ μύθους αὐτὰ εἶναι νομίζεις, τί καὶ ψάλλεις; τί καὶ ἀνέχῃ τῶν παρανομένων; διατὶ μὴ ἀπελαύνεις τοὺς ψάλλοντας; ἀλλὰ μαινομένων τῦτο φησί. καὶ κεῖνο πολλῷ μᾶλλον. τέως μὲν οὖν παραινῶ. τῦ χρόνου δὲ προϊόντος, σφοδρότερον τῷ πράγματι χρήσομαι. καὶ γὰρ μειζόνως δέδοικα, μὴ τούτῳ τῷ τρόπῳ χαλεπή τις νόσος ἐν τῇ ἐκκλησίᾳ ὑπεισέλθῃ. τὸ μὲν οὖν τῶν κοσμικῶν, οὐδὲν ἐπανορθωσόμεθα. τέως δὲ παραγγέλλω, καὶ λίαν μαρτύρομαι, καὶ πλουσίοις, καὶ πένησι, καὶ γυναιξὶ, καὶ ἀνδράσι. γένοιτο μὲν οὖν πάντας ὑμᾶς ἀπενθήτους τὸν βίον ἐξελθεῖν, καὶ κατὰ νόμον τὸν προσήκοντα, πατέρασ τῶν ὑῶν γεγηρακότας προπέμπεσθαι, καὶ μητέρασ τῶν θυγατέρων, καὶ ἐκγόνων, καὶ μετεκγόνων ἐν λυπαρῷ τῷ γήρᾳ, καὶ μηδαμῦ γενέσθαι ἀώρον θάνατον. γένοιτο μὲν οὖν ἐμὲ, καὶ ἐμὲ εὔχομαι, καὶ τοὺς προέδρους δὲ καὶ πάντας ὑμᾶς, ὑπὲρ ἀλλήλων παρακαλῶ δεηθῆναι τοῦ θεοῦ, καὶ κοινὴν ποιήσασθαι ταύτην εὐχήν. εἰ δὲ, ὅπερ ἀπειλῶ, μὴ δὲ συμβαίη πικρός τις γένοιτο θάνατος. πικρὸς δὲ λέγω οὐ

τῇ φύσει. οὐδὲ γὰρ ὅδι λοιπὸν πικρὸς θάνατος, ὕπνου γὰρ οὐδὲν διενλώοχεν. ἀλλὰ τοι-
κνὸς λέγω πρὸς τὴν ὑμετέραν διάθεσιν εἰ συμβαίη, καίπινες τὰς θρλιούσας ταύτας μι-
θώσαιντο. πεισθύσατέ μοι λέγοντι, οὐκ ἄλλως γὰρ ἐρῶ, ἀλλ' ὡς ἔχω. ὁ βουλόμενος ὀρ-
γιζέσθω, πολλὴ αὐτὴν χρόνον τῆς ἐκκλησίας ἀνειρξόμεν, ὡς τὴν εἰδωλολατρίαν. εἰ γὰρ τὴν
πλεονεκτὴν εἰδωλολατρίαν καλεῖ παῦλος, πολλῷ μᾶλλον τὴν ἐν ὑμῖν πιστοῦ τὰ τῶν εἰδωλο-
λατρῶν ἐπεισφέροντα. τίνος γὰρ ἕνεκεν εἰκῆ μοι πρεσβυτέρους καλεῖς, καὶ τοὺς φαλλον-
τας; οὐχ ὥστε παραμυθήσασθαι, οὐχ ὥστε τιμῆσαι τὸν ἀσθενοῦντα; τί τοίνυν αὐτὸν ὑ-
βρίζεις; τί δὲ παραδειγματίζεις; τί δὲ παίζεις, ὥσπερ ἐν σκιμῇ; ἡμεῖς ἐρχόμεθα τὰ περὶ
ἀναστάσεως φιλοσοφοῦντες, πάντας παιδεύοντες, καὶ τοὺς μηδέπω πεπληγμένους διὰ
τῆς εἰς ἐκεῖνον τιμῆς, εἴ ποτε συμβαίη τι τοιοῦτον, φέρειν γενναίως. σὺ δὲ ἄγεις τοὺς τὰ ἡμέ-
τερα καθαιροῦντας τόγε αὐτῶν μέρος; τί τούτου τὸ γέλωτος, καὶ τῆς χλευασίας χεῖρον;
τί ταύτης τῆς ἀνωμαλίας βαρύτερον; αἰσχύνθητε, καὶ ἐνδράπητε. εἰ δὲ μὴ βούλεσθε,
ἡμεῖς, οὐκ ἀνεχόμεθα ἔθη τοιαῦτα, ὀλέθρια τῇ ἐκκλησίᾳ εἰσαγειν. τοὺς γὰρ ἁμαρ-
τάνοντας φησὶν ἐνώπιον πάντων ἔλεγχε. κἀκείνους δὲ τοὺς ταλαιπώρους, καὶ ἀθλίους δι'
ὑμῶν ἀπαγορεύομεν, μηδέποτε ταῖς τῶν πιστῶν ἐνφοραῖς ἐπεισιέναι, ἵνα μὴ ὄντως τὰ οἰ-
κεῖα αὐτὰς ἀναγκάσωμεν θρλιεῖν κακά, μὴ παιδεύσωμεν μὴ ἐν ἀλλοτρίοις ταῦτα ποιεῖν,
ἀλλὰ τὰς οἰκείας συμφορὰς μᾶλλον ὀδύρεσθαι. καὶ γὰρ, καὶ πατὴρ φιλόστοργος, ὅταν
ἰδὼν ἄτακτον ἔχῃ, οὐκ ἐκείνῳ μόνον παραινεῖ, μὴ πλησιάζειν τοῖς πονηροῖς, ἀλλὰ καὶ ἐκεί-
νους φοβεῖ. ἰδοὺ τοίνυν καὶ ἡμεῖς, καὶ ὑμῖν κἀκείνους δι' ὑμῶν παραινῶ, ὥστε μήτε ὑμᾶς κα
λεῖν τοὺς τοιούτους, μήτε ἐκείνους παραγίνεσθαι. καὶ γένοιτο μὲν τὸν λόγον τι ἐργάσασθαι
πλέον, καὶ τὴν ἀπειλὴν ἰσχύσαι. εἰ δὲ, ὅπερ ἀπείκη, καταφρονηθῶμεν, ἀναγκαζόμεθα
λοιπὸν εἰς ἔργον ἀγαγεῖν τὴν ἀπειλήν. ὑμᾶς μὲν τοῖς νόμοις παιδεύοντες τοῖς ἐκκλησια
στικοῖς, ἐκείνους δὲ ὡς ἐκείνους προσῆκον ἐστίν. εἰ δέτις ἀπαυθαδιαζόμενος καταφρονεῖ,
ἀκουέτω τοῦ χρυσοῦ λέγοντος, καὶ νῦν. ἐὰν ἁμαρτήσῃ εἰς σὲ, ὕπαγε, ἔλεγξον αὐτὸν μετα-
ξὺ σοῦ, καὶ αὐτοῦ μόνου. εἰ δὲ μὴ πείθοιτο, παράλαβε μετὰ σεαυτοῦ ἕνα, ἢ δύο. εἰ δὲ καὶ
οὕτως ἀνυπλέγοι, εἰπὲ τῇ ἐκκλησίᾳ. εἰ δὲ καὶ τῆς ἐκκλησίας παρακούει, ἔστω σοι ὡς ὁ ἐθνι-
κὸς, καὶ ὁ τελώνης. εἰ δὲ τὸν εἰς ἐμὲ ἁμαρτάνοντα, ἐπεὶ δὲν μὴ πείθοιτο, οὕτως ἀποφρέ-
φεσθαι κελεύει, τὸν εἰς ἑαυτὸν ἁμαρτάνοντα, καὶ εἰς τὸν θεὸν, πῶς ἔχειν ὀφείλω, ὑμεῖς κρί-
νατε. ὑμεῖς γὰρ ἡμῶν οὐ καταγινώσκετε, οὕτως μαλακῶς προσφερομένων ὑμῶν. εἰ δέτις κα
ταφρονεῖ τῶν δεσμῶν τῶν παρ' ἡμῶν, πάλιν αὐτὸν ὁ χς παιδευέτω λέγων. ὅσα ἂν δήσητε
ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα
ἐν τῷ οὐρανῷ. εἰ γὰρ καὶ ἡμεῖς ταλαίπωροι, καὶ οὐδαμινοὶ, καὶ τοῦ καταφρονεῖσθαι ἄ-
ξιοι, ὥσπερ οὖν καὶ ἄξιοι, ἀλλ' οὐχ ἑαυτοὺς ἐκδικοῦμεν, οὐδὲ ὀργὴν ἀμυνόμεθα, ἀλ-
λὰ τῆς ὑμετέρας σωτηρίας φροντίζομεν. αἰδέσθητε παρακαλῶ, καὶ ἐνδράπητε. εἰ γὰρ
φίλοντις φέρει, σφοδρότερον τοῦ δέοντος ἐπιφερόμενον τὸν σκοπὸν ἐξετάζων, καὶ ὅτι δυνοϊ-
κῶς, ἀλλ' οὐκ ἀλαζονευόμενος τοῦτο ποιεῖ, πολλῷ μᾶλλον διδάσκαλον ἐπιπλήττοντα,
καὶ διδάσκαλον, οὐδὲ αὐτὸν ἐξ αὐθεντίας ταῦτα λέγοντα, οὐδὲ ὡς ἐντάξει ἄρχοντος,
ἀλλ' ἐντάξει κηδεμόνος. οὐ γὰρ ἐξουσίαν ἐπιδείξασθαι βουλόμενοι ταῦτα λέγομεν. πῶς

γὰρ οἱ

γὰρ οἱ μὴ δὲ εἰς πεῖραν αὐτῶν ἐλθεῖν βυλόμενοι, ἀλλ' ὑπὲρ ὑμῶν ἀλγοῦντες, καὶ κωλόμενοι; σύγγνωτε δή, καὶ μηδεὶς καταφρονείτω τῶν δεσμῶν τῶν ἐκκλησιαστικῶν. οὐ γὰρ ἀνθρωπος ἐστὶν ὁ δεσμῶν, ἀλλ' ὁ χς ὁ τὴν ἐξουσίαν ταύτην ἡμῖν δεδωκὼς, καὶ κυρίους ποιῶν ἀνθρώπους τῆς τοσαύτης τιμῆς. ἡμεῖς μὲν γὰρ εἰς τὸ λύειν βουλόμεθα κατακεχρῆσθαι τῇ ἐξουσίᾳ. μᾶλλον δὲ οὐδὲ τούτου ἀνάγκην ἔχειν βουλόμεθα. οὐδένα γὰρ βουλόμεθα εἶναι δεσμώτην παρ' ἡμῖν, οὐχ οὕτως ἐσμὲν ἄθλιοι, καὶ ταλαίπωροι, εἰ καὶ σφόδρα οὐδαμοί πινες ἐσμέν. εἰ δὲ ἀναγκαθείημεν, σύγγνωτε. οὐ γὰρ ἑκόντες, οὐδὲ βουλόμενοι, ἀλλὰ μᾶλλον ὑμῶν τῶν δεδεμένων ἀλγοῦντες, τὰ δεσμὰ περιβάλλομεν. εἰ δέ τις καταφρονοίη τούτων, ἐπιμήσεται ὁ τῆς κρίσεως καιρὸς ὁ διδάσκων αὐτόν. τὸ δὲ λοιπὸν οὐ βούλομαι εἰπεῖν, ἵνα μὴ πλήξω τὴν διάνοιαν ὑμῶν. ἡμεῖς μὲν γὰρ πρῶτον μὲν οὐκ βύχόμεθα εἰς ἀνάγκην ἐλθεῖν. εἰ δὲ ἐλθοιμεν, τὸ ἑαυτῶν πληροῦμεν. περιβάλλομεν τὰ δεσμά. εἰ δέ τις διαῤῥήξειε ταῦτα, ἐγὼ τὸ ἐμαυτῷ πεποίηκα, καὶ ἀνύβυνός εἰμι λοιπόν. ὁ δὲ λόγος ἔφασσι πρὸς τὸν ἐμοὶ κελεύσαντα δῆσαι. οὐδὲ γὰρ εἰ βασιλέως προκαθημένου, τῶν δορυφόρων τῶν παρεστώτων τις ἐκελεύσθη δῆσαί τινα τῶν ἐν τῇ τάξει, καὶ τὰ δεσμὰ περιβαλεῖν, ἐκεῖνος δὲ οὐ μόνον ἀπώσαιτο τὸν τον, ἀλλὰ καὶ σωφρόνιστειε τὰ δεσμά, ὁ δορυφόρος ἐστὶν ὁ τὴν ὕβριν πεπονθώς; οὐχὶ δὲ ὁ βασιλεὺς πολλῷ μᾶλλον ὁ κελεύσας; εἰ γὰρ τὰ εἰς τοὺς πιστοὺς γινόμενα αὐτὸς οἰκειοῦται, ὅταν ὁ διδάσκειν τεταγμένος ὑβρίζηται, πολλῷ μᾶλλον ὡς αὐτὸς ὑβριζόμενος διακείσεται. ἀλλὰ μὴ γένοιτό τινα τῶν ἐπὶ τῆς ἐκκλησίας ταύτης, εἰς ἀνάγκην τῶν δεσμῶν τούτων ἐλθεῖν. ὥσπερ γὰρ τὸ μὴ ἁμαρτάνειν καλὸν, οὕτως τὸ φέρειν ἐπιτίμησιν, χρήσιμον. φέρωμεν τοίνυν τὴν ἐπίπληξιν, καὶ σωυδάξωμεν τῷ μὴ ἁμαρτάνειν. εἰ δὲ ἁμάρτοιμεν, φέρωμεν τὴν ἐπιτίμησιν. ὥσπερ γὰρ καλὸν μὲν μὴ πλήττεσθαι, εἰ δὲ δεῖ γένοιτο τὸ φάρμακον ἐπιτιθέναι τῇ πληγῇ, οὕτω καὶ συνδεῖσθαι, ἀλλὰ μὴ γένοιτό τινα τῶν τοιούτων δεηθῆναι φαρμάκων. πεποίσμεθα γὰρ περὶ ὑμῶν, τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν. σφοδρότερον δὲ διελέχθημεν ὑπὲρ πλείονος ἀσφαλείας. βέλτιον γὰρ ἐμὲ θρασυνθῆναι, καὶ ἀπηνῆ, καὶ αὐθάδη δηυποληφθῆναι παρ' ὑμῶν, ἢ ὑμᾶς τὰ τῷ θεῷ μὴ δοκοῦντα ποιεῖν. πιστεύομεν δὲ τῷ θεῷ, ὅτι οὐκ ἀνόνητος ὑμῖν αὕτη ἡ ἐπίπληξις ἔσται, ἀλλ' οὕτως μεταβληθήσεσθε, ὡς τούτους τοὺς λόγους εἰς τὰ ὑμέτερα ἐγκώμια ἀναλίσκεσθαι, καὶ εἰς τοὺς ἐπαίνους, ἵνα καταξιωθῶμεν ἅπαντες τυχεῖν τῶν ἀγαθῶν, ὧν ἐπηγγείλατο ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

Λόγος, ε'.

» Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος ἀβραὰμ ἐπιλαμβάνεται,
» ὁθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. Τὴν πολλὴν τοῦ θεοῦ φιλανθρωπίαν ὁ παῦλος δεῖξαι βουλόμενος, καὶ τὴν ἀγάπην, ἣν πρὸς τὸ γένος ἔχει τὸ ἀνθρώπινον, μετὰ τὸ εἰπεῖν, ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος, καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἐπεξέρχεται τούτῳ τῷ χωρίῳ. μὴ γὰρ ἁπλῶς προσοχῆς τῷ λεχθέντι, μηδὲ φιλόνικα μόνον δοκῇ εἶναι νομίσῃς, τὸ τὴν ἐξ ἡμῶν σάρκα αὐτὸν ἀναλαβεῖν. ἀγγέλοις δοκεῖ οὐκ ἐχαρίσατο. οὐ γὰρ δήπου ἀγγέλων φησὶν ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος ἀβραάμ. τί δέ ἐστιν ἐπιλαμβάνεται;

λαμβάνεται; οὐκ ἐκείνης φησὶν ἐδράξατο τῆς φύσεως τῶν ἀγγέλων, ἀλλὰ τῆς ἡμετέρας. διατὶ δὲ οὐκ εἶπεν ἀνέλαβεν; ἀλλὰ ταύτῃ τῇ λέξει ἐχρήσατο τῇ ἐπιλαμβάνεται, ἀπὸ μεταφορᾶς τ δισκόντων τοὺς ἀποχρεφομένους αὐτούς, μὴ πάντα ποιούντων, ὥστε καταλαβεῖν φεύγοντας, καὶ ἐπιλαβέσθαι ἀποπηδώντων. φεύγουσαν γὰρ ἄν τὴν τ ἀνθρώπου φύσιν, μὴ πόρρω φεύγουσαν, ἦμεν γὰρ μακρὰν, καταδιώξας κατέλαβεν. ἔδειξεν ὅτι φιλανθρωπία μόνη, καὶ ἀγάπη, καὶ κηδεμονία ταῦτα ἐποίησεν. ὡσπερ οὖν ὅταν λέγῃ, οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, τὸ περισσοῦ δοκοῦν αὐτῷ τῆς ἀνθρωπίνης φύσεως δείκνυσι, μὴ ὅτι πολὺς τῷ θεῷ ὁ λόγος αὐτῆς, οὕτω καὶ ἐνταῦθα τὸ πολὺ μεῖζον πίθησιν ἀπὸ συγκρίσεως. οὐ γὰρ ἀγγέλων φησὶ ἐπιλαμβάνεται. καὶ γὰρ ὄντως μέγα, μὴ θαυμαστὸν, καὶ ἐκπλήξεως γέμον, τ ἐξ ἡμῶν σάρκα ἀνω καθῆσθαι, καὶ προσκυνεῖσθαι ὑπ' ἀγγέλων, καὶ ἀρχαγγέλων, καὶ τῶν σεραφὶμ, μὴ τῶν χερουβίμ. διὰ πολλάκις εἰς νοῦν ἐλθὼν, ἐξίσταμαι, καὶ μεγάλα περὶ τ ἀνθρώπου γένους φαντάζομαι. μεγάλα γὰρ ὁρῶ, μὴ λαμπρὰ τὰ προοίμια, μὴ πολλῷ τῷ θεῷ ἀνυμνῆσαι ὑπὲρ τῆς φύσεως τῆς ἡμετέρας. καὶ οὐκ εἶπεν ἁπλῶς ἐπιλαμβάνεται, ἀλλὰ βουλόμενος αὐτοὺς ἐπᾶραι, καὶ δεῖξαι μέγα τὸ γένος αὐτῶν, καὶ τίμιον, φησὶν, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. τί ὅτι κατὰ πάντα; ἐτέχθη φησὶν, ἐτράφη, ηὐξήθη, ἔπαθε πάντα ἅπερ ἐχρῆν, τέλος ἀπέθανε. τοῦτο ὅτι κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. ἐπειδὴ γὰρ πολλὰ διελέχθη περὶ τῆς μεγαλειότητος αὐτοῦ, καὶ τῆς ἄνω δόξης, λοιπὸν περὶ τῆς οἰκονομίας λόγον κινεῖ. καὶ θέα μεθ' ὅσης ἀκριβείας, πῶς αὐτὸν δείκνυσι πολλῷ πιθέμενον τὴν ἀνθρωπίνην, ὥστε ἡμῖν ὁμοιωθῆναι, ὅπερ κηδεμονίας ἦν πολλῆς. εἰπὼν γὰρ ἀνωτέρω ὅτι τὰ παιδία κεκοινώνηκεν αἵματος, καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, καὶ ἐνταῦθά φησι. κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. μονονουχὶ λέγων, ὁ οὕτω μέγας, ὁ ὢν ἀπαύγασμα τῆς δόξης, ὁ ὢν χαρακτὴρ τῆς ὑποστάσεως, ὁ τὸν αἰῶνας ποιήσας, ὁ ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενος, οὗτος ἠθέλησε, καὶ ἐπαύδασεν ἀδελφὸς ἡμῶν ἐν ἅπασι γενέσθαι. καὶ διὰ τοῦτο ἀγγέλους ἀφῆκε, καὶ τὰς ἄνω δωρεὰς, καὶ πρὸς ἡμᾶς κατῆλθε, καὶ ἡμῶν ἐπελάβετο, μὴ μυρία εἰργάσατο ἀγαθά. θάνατον ἔλυσε, τὸν διαβόλου τῆς τυραννίδος ἐξέβαλεν ἡμᾶς, δουλείας ἀπήλλαξεν, οὐ τῇ ἀδελφότητι μόνον τετίμηκεν, ἀλλὰ μὴ ἑτέροις μυρίοις.

» καὶ γὰρ ἀρχιερεὺς ἡμῶν γενέσθαι ἠθέλησεν πρὸς τὸν πατέρα. ἐπάγει γάρ. Ἵνα ἐλεήμων
» γένηται, καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν. Διὰ τοῦτο φησὶ τὴν σάρκα ἀνέλαβε τὴν ἡμετέραν, διὰ φιλανθρωπίαν μόνον, ἵνα ἐλεήσῃ ἡμᾶς. οὐδὲ γάρ ἐστιν ἄλλη τις αἰτία τῆς οἰκονομίας, ἢ μόνη αὕτη. εἰ δὲ γὲ καὶ ἐρριμμένους, καὶ ἀπολλομένους, οὕτω τοῦ θανάτου τυραννοῦ
» μένους, καὶ ἠλέησεν. Εἰς τὸ ἱλάσκεσθαι φησὶ τὰς ἁμαρτίας τοῦ λαοῦ, ἵνα ἐλεήμων γέννη-
» ται, καὶ πιστὸς καὶ ἀρχιερεύς. Τί ἐστι πιστός; ἀληθὴς, δωρούμενος. ἀρχιερεὺς γάρ ἐστι πιστὸς ὁ γὰρ δωρούμενος τοὺς, ὧν ἐστιν ἀρχιερεὺς, ἀπαλλάξαι τῶν ἁμαρτημάτων. ἵν' οὖν προσενέγκῃ θυσίαν δωρουμένην ἡμᾶς καθαρίσαι, διὰ τοῦτο γέγονεν ἄνθρωπος. ἐπήγαγε γοῦν τὰ πρὸς τὸν θεὸν, τουτέστι τὰ πρὸς τὸν θεὸν ἐνεγκεῖν. ἐκεῖσε πολεμούμενοι ἦμεν φησὶ τῷ θεῷ, κατεγνωσμένοι, ἠχθρωμένοι. οὐδεὶς γὰρ ὁ προσοίσων ὑπὲρ ἡμῶν θυσίαν. εἰδεν ἡμᾶς ἐν τούτοις ὄντας, μὴ ἠλέη-

σεν, οὐ

σεν, οὐ καταφήσας ἡμῶν ἀρχιερέα, ἀλλ' αὐτὸς γενόμενος ἀρχιερεὺς, πῶς πιστὸς, ἐπήγαγεν, εἰς
» τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθε φησὶν αὐτὸς πειραθεὶς, δύναται
» τοῖς πειραζομένοις βοηθῆσαι. Παύου τοίνυν λέγε, μὴ δυτελές, μὴ ἀνάξιον δυ. ἐν ᾧ γὰρ
πέπονθε φησὶν αὐτὸς, περὶ τοῦ σαρκωθέντος ἐνταῦθα φησι, μὴ πρὸς πληροφορίαν τοῦ ἀκόντος
εἰρηκὼς, μὴ λέγε τοῦτο ἀσθένειαν. τοῦτέστι φησὶ, διὰ αὐτὸ τὸ πείρασιν ὧν ἐπάθομεν, ἵλεως ἡμῖν οὐκ
ἀγνοεῖ τὰ πάθη τὰ ἡμέτερα. οὐχ ὡς δεῖ μόνον οἶδεν, ἀλλὰ μὴ ὡς αὐτὸς ἔγνω διὰ τὸ πείρασ-
θῆς ἐπειράθη. ἔπαθε πολλά, οἶδε συμπάσχειν, καίτοιγε ἀπαθὴς ὢν θεὸς ἐστιν. ἀλλὰ τὸ σαρ-
κώσεως ἐνταῦθα δηλοῖ), ὡς αὖ εἰ ἔλεγε, μὴ αὐτὴ ἡ σὰρξ τοῦ λόγου, πολλὰ δεινὰ ἔπαθεν. οἶδε τί
ἐστι θλῖψις, οἶδε τί ἐστι πειρασμός, τοῦτο πάσχοντος οὐχ ἧττον ἡμῶν, μὴ γὰρ μὴ αὐτὸς ἔπαθε. τί οὖν
ἐστι τὸ δύναται) τοῖς πειραζομένοις βοηθῆσαι; ὡς αὐτὸς εἴποι, μὴ πολλῆς προθυμίας ὀρέξει χεῖ
ρα, συμπαθὴς ἔσται. ἐπειδὴ γὰρ ἐβούλετο μεγάλῃ, μὴ πλέονες ἔχειν τῶν ἐξ ἐθνῶν, δείκνυσιν ἐν
τούτῳ πλέονες ἔχοντας, ἔνθα οὐδὲν κατέβλαπτε τοὺς ἐξ ἐθνῶν. ἐν ποίῳ δὴ τούτῳ; ὅπες ἐξ αὐτοῦ
ἐστιν ἡ σοφία, ὅπι ἐκείνων ἐπελάβετο πρῶτον, ὅπι ἐκεῖθεν ἀνέλαβε σάρκα. οὐ γὰρ ἀγγέλων φησὶ
λαμβάνει), ἀλλὰ σπέρματος Ἀβραὰμ λαμβάνει), τιμᾷ μὴ τὴν παντοκράτορα διὰ τοῦ-
το, μὴ δείκνυσι, μὴ δι' ὅτι σπέρματος Ἀβραάμ; ἀναμιμνήσκει αὐτοὺς τοῦ πρὸς αὐτὸν γενομένης
ἐπαγγελίας τοῦ λεγούσης, σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, διὰ τοῦτο μὴ
δείκνυσι τὴν ἐγγύτητα. τὸ ἐξ ἑνὸς εἶναι πάντας, ἀλλ' οὐ πολλὴ ἐκείνη ἴσως ἡ ἐγγύτης. ἔρχεται πάλιν
ἐπὶ ταύτην, μὴ ἐν διαπρέπει λοιπὸν τῇ οἰκονομίᾳ τῇ κατὰ σάρκα, μὴ φησὶν, ἣν μὲν μὴ αὐτὸ τὸ
θελῆσαι, μὴ γενέσθαι ἄνον, πολλῆς καθέμονίας, μὴ ἀγάπης. νῦν δὲ οὐ διὰ τοῦτο μόνον ἐστὶν, ἀλλὰ τὰ
ἀθάνατα ἀγαθά. τὰ δι' αὐτοῦ ἡμῖν παραχθέντα. εἰς τὸ ἱλάσκεσθαι γάρ φησι τὰς ἁμαρτίας
τοῦ λαοῦ. διατὶ μὴ εἶπε τὴν οἰκουμένης, ἀλλὰ τοῦ λαοῦ. τὰς γὰρ πάντων ἁμαρτίας ἀνήνεγκεν. ὅπ
τέως περὶ αὐτοῦ ἴσως ὁ λόγος αὐτῷ. ἐπεὶ μὴ ὁ ἄγγελος πρὸς τὸν ἰωσὴφ ἔλεγε, καλέσεις τὸ ὄνομα
αὐτοῦ ἰησοῦν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ. διὰ τοῦτο γὰρ, μὴ πρῶτον ἐδεῖ γενέσθαι, μὴ διὰ τοῦτο ἦλθεν,
ὥστε τούτους σῶσαι, μὴ τότε διὰ τούτων ἐκείνους, εἰ μὴ τοὐναντίον γέγονε. διὰ τοῦτο μὴ οἱ ἀπόστολοι
οὕτω θεν ἔλεγον. ὑμῖν ἀνασφήσας τὸν παῖδα αὐτοῦ ἀπέστειλεν εὐλογοῦντα ὑμᾶς. μὴ πάλιν, ὑ-
μῖν ὁ λόγος τοῦ σῶσαι ἀπεστάλη. τὴν λύγένειαν ἐνταῦθα δείκνυσι τὴν ἰδιοποίητον, λέγων. εἰς τὸ ἱλά-
σκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. τέως οὕτως φησὶν, ὅπι γὰρ αὐτός ἐστιν ὁ τὰς ἁμαρτίας πάντων
ἀφιείς, ἐδήλωσε μὴ ἐν τῷ παραλυτικῷ, εἰπών. ἀφέωνταί σου αἱ ἁμαρτίαι, μὴ ἐν τῷ βαπτί-
σματι. φησὶ γὰρ πρὸς τοὺς μαθητὰς, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζον-
τες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πρς, μὴ τοῦ γιοῦ, μὴ τοῦ ἁγίου πνς. ὅταν δὲ τὸ σαρκὸς ἐπιλάβηται) ὁ
παῦλος, πάντα λοιπὸν ταπεινὰ φθέγγεται οὐδὲν δεδοικώς. ὅρα γὰρ λοιπὸν τί φησιν.
» Ὅθεν ἀδελφοὶ ἅγιοι κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον, μὴ ἀρχιερέα
» τῆς ὁμολογίας ἡμῶν ἰησοῦν χν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς μὴ μωϋσῆς ἐν ὅλῳ τῷ οἴ-
» κῳ αὐτοῦ. Μέλλων αὐτὸν προτιθέναι τοῦ μωϋσέος κατὰ σύγκρισιν, εἰς τὸν τῆς ἀρχιερω-
σύνης νόμον ἤγαγε τὸν λόγον. οὐ γὰρ μικρὰν περὶ μωϋσέος δόξαν εἶχον ἅπαντες. καὶ προκα-
ταβάλλεται ἤδη τὰ σπέρματα τῆς ὑπεροχῆς. ἄρχεται μὲν οὖν ἀπὸ τῆς σαρκὸς, ἀνίσει
δὲ εἰς τὴν θεότητα, ἔνθα οὐκέτι σύγκρισις ἦν. ἤρξατο ἀπὸ τῆς σαρκὸς τέως τὸ ἴσον τιθέ-
ναι, μὴ φησὶν. ὡς καὶ μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. μὴ οὐ παρὰ τὴν ἀρχὴν δείκνυσι τὴν ὑ-

περοχὴν,

περοχὴν, ἵνα μὴ ἀποπηδήσῃ ὁ ἀκροατὴς, καὶ βυθεὼς ἐμφράξῃ τὰς ἀκοάς. εἰ γὰρ καὶ πιστοὶ ἦσαν, ἀλλ' ὅμως ἔτι πολὺ τὸ συνειδὸς εἶχον πρὸς μωϋσέα. πιστὸν ὄντα φησὶ τῷ ποιήσαντι αὐτόν. τί ποιήσαντι; ἀπόστολον καὶ ἀρχιερέα. οὐδὲν συντεῦθα περὶ οὐσίας φησὶν, οὐδὲ περὶ τῆς θεότητος, ἀλλὰ τέως περὶ ἀξιωμάτων ἀνθρωπίνων, ὡς καὶ μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τουτέστιν ἐν τῷ λαῷ, ἢ ἐν τῷ ἱερῷ. ἐνταῦθα δὲ τὸ ἐν τῷ οἴκῳ αὐτοῦ φησὶν, ὡς ἂν εἴ τις εἴποι περὶ τῶν ἐν τῇ οἰκίᾳ. καθάπερ τις ἐπίτροπος, καὶ οἰκονόμος οἰκίας, οὕτως ἦν ὁ μωϋσῆς τῷ λαῷ. ὅτι γὰρ οἶκον τὸν λαὸν φησὶν, ἐπήγαγεν. Οὗ οἶκός ἐσμεν ἡμεῖς. τουτέστιν ἐν τῇ κτίσει αὐτοῦ ἐσμέν. εἶτα ὑπεροχή. Μείζονος γὰρ οὗτος δόξης παρὰ μωϋσῆν ἠξίωται. Πάλιν περὶ τῆς σαρκός. καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτὸν, καὶ αὐτός φησι τῆς οἰκίας ἦν. καὶ οὐκ εἶπεν οὗτος μὲν γὰρ δοῦλος, ἐκεῖνος δὲ δεσπότης, ἀλλὰ ἁπλῶς ἅπαν θανόντως ἐνέφηνεν. εἰ οἶκος ἦν ὁ λαὸς, καὶ αὐτὸς δὲ τοῦ λαοῦ ἦν, καὶ αὐτὸς ἄρα τῆς οἰκίας ἦν. οὕτω γὰρ καὶ ἡμῶν ἔθος λέγειν. ὁ δεῖνα τῆς οἰκίας τῆς τοῦ δεῖνός ἐστιν. ἐνταῦθα γὰρ οἶκον οὐ τὸν ναὸν λέγει. οὐ γὰρ ὁ θεὸς αὐτὸς κατεσκεύασεν, ἀλλ' ἄνθρωποι. ὁ δὲ ποιήσας αὐτὸν, ὁ θεός. τὸν μωϋσέα φησὶ, καὶ ὅρα πῶς δείκνυσι τὴν ὑπεροχὴν λαμβάνοντος. πιστὸς φησὶν ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ αὐτὸς ὢν τοῦ οἴκου. τουτέστι τοῦ λαοῦ, πλείονα τιμὴν ἔχει τῶν ἔργων ὁ τεχνίτης, ἀλλὰ καὶ τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. ὁ δὲ τὰ πάντα κατασκευάσας, θεός. ὁρᾷς ὅτι οὐ περὶ τοῦ ναοῦ λέγει, ἀλλὰ περὶ παντὸς τοῦ λαοῦ; καὶ μωϋσῆς μὲν πιστὸς ἦν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων εἰς μαρτύριον τῶν λαληθησομένων. Ἰησοῦς δὲ καὶ ἀλλην ὑπεροχὴν ἔχει παρὰ τοὺς υἱούς, καὶ τῶν δούλων. ὁρᾷς ὅτι γνησιότητα μᾶλλον τῆς τοῦ υἱοῦ προσηγορίας αὐνίττεται; ὡς δὲ υἱὸς ἦν τὸν οἶκον αὐτοῦ. Εἰ δὲς πῶς ποιήματα, καὶ ποιητὴν διήγησαι; πῶς δοῦλον, καὶ υἱόν; καὶ ἐκεῖνος μὲν εἰς τὰ παρῳχηκότα, ὡς υἱὸς εἰσέρχεται, οὗτος δὲ ὡς δοῦλος. Οὗ οἶκός ἐσμεν τοῦ θεοῦ ἡμεῖς, ἐὰν περ τὴν παῤῥησίαν, καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν. Ἐνταῦθα πάλιν αὐτοὺς προτρέπεται ἑστάναι γενναίως, καὶ μὴ καταπίπτειν. οἶκος γάρ φησιν ἐσόμεθα τοῦ θεοῦ, ὅπερ ἦν μωϋσῆς, ἐὰν περ τὴν παῤῥησίαν, καὶ τὸ καύχημα μέχρι τέλους βεβαίαν κατάσχωμεν. ὁ μέντοι ἀλλαχοῦ φησιν ἐν τοῖς πειρασμοῖς, καὶ καταπίπτων, οὐ καυχᾶται. ὁ αἰχμωτόμενος ὁ κρυπτόμενος, παῤῥησίαν οὐκ ἔχει. ὁ ἀλύων, οὐ καυχᾶται. εἶτα καὶ ἐγκωμιάζει αὐτοὺς λέγων. ἐὰν περ τὴν παῤῥησίαν, καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν. δείκνυς ὅτι καὶ ἦρξαντο. δεῖ δὲ τοῦ τέλους, καὶ οὐχ ἁπλῶς ἑστάναι, ἀλλὰ βεβαίαν ἔχειν τὴν ἐλπίδα ἐν πληροφορίᾳ πίστεως, μὴ παρασαλευομένους ὑπὸ τῶν πειρασμῶν. Εἰ γὰρ περὶ τοῦ παντὸς τοῦ μὴ σαρκωθέντος φησὶν ἡ γραφὴ, ἐκ τοῦ οὐρανοῦ δέκυψεν ὁ κύριος, καὶ εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. τουτέστιν ἀκριβῶς πάντα κατέμαθε. καὶ πάλιν, καταβὰς ὀψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται. καὶ πάλιν, οὐ δύναται φέρειν ὁ θεὸς τὰς καινίας τῶν ἀνθρώπων. Τὸ πολὺ τῆς ὀργῆς ἐνδεικνυμένη ἡ θεία γραφὴ, πολλῷ μᾶλλον περὶ τοῦ χυ, τοῦ καὶ παθόντος ἐν σαρκὶ λέγεται ταῦτα. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων, τὴν θεῖαν πάντων εἶναι πιστοτέραν νομίζουσι πρὸς γνῶσιν, βούλεται δεῖξαι, ὅτι ὁ παθὼν, οἵδε τί πάσχει ἡ ἀνθρωπίνη φύσις. ὅθεν ἀδελφοὶ ἅγιοι. τὸ ὅθεν, ἀντὶ τοῦ διὰ τοῦτο φησί.

το φησί. κλήσεως ἐπουρανίου μέτοχοι. μηδὲν οὖν ταῦτα ζητῆτε εἰ ἐκεῖ κέκληνται, ἐκεῖ ὁ μισθός, ἐκεῖ ἡ ἀνταπόδοσις. τί οὖν κατανόησατε τὸν ἀπόστολον, καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν χριστόν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τί ὅτι πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν; τουτέστι, προνοϊκόν, προϊστάμενον τῶν αὐτοῦ, οὐκ ἐῶντα φέρεσθαι ἁπλῶς, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τουτέστι γνῶτε τίς ἐστιν ὁ ἀρχιερεύς, καὶ ποταπός, καὶ οὐ δείσετε παραμυθίας ἑτέρας, οὐδὲ παρακλήσεως. ἀπόστολον δὲ αὐτὸν λέγει, ἀφ' ὧν ἀπεστάλθαι, καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, τουτέστι τῆς πίστεως. καὶ οὐ τὸς λαὸν ἐγκεχείρισται, καθάπερ ἐκεῖνος προστασίαν λαοῦ, ἀλλὰ μείζονα, καὶ ὅσῳ μείζοσιν. εἰς μαρτύριον τῶν λαληθησομένων. τί λέγεις; μαρτυρίαν ἀνθρώπου λαμβάνει ὁ θεός; καὶ πάνυ. εἰ γὰρ οὐρανὸν μαρτύρεται, καὶ γῆν, καὶ βουνούς, λέγων ἀφ' τῶ προφήτου. ἄκουε οὐρανέ, καὶ ἐνωτίζου ἡ γῆ, ὅτι κύριος ἐλάλησε, καὶ ἀκούσατε φάραγγες θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, πολλῷ μᾶλλον ἀνθρώπους. τουτέστιν, ἵνα ὦσι μάρτυρες, ὅταν ἀναισχυντῶσιν αὐτοί. ἦ δὲ ὡς γός. ὁ μὲν γὰρ ἀλλοτρίων κήδεται, οὗτος δὲ τῶν αὐτοῦ. καὶ τὸ καύχημα τῆς ἐλπίδος. καλῶς εἶπε τῆς ἐλπίδος, ἐπειδὴ πάντα ἐν ἐλπίσιν ἦν τὰ ἀγαθά. οὕτω δὲ αὐτὴν δεῖ κατέχειν, ὡς ἤδη κεκτῆσθαι, ὡς ἤδη γεγενημένοις. διαβέβαιος φησὶ τὸ καύχημα τῆς ἐλπίδος, καὶ ἑπάγει. μέχρι τέλους βεβαίαν κατάσχωμεν. τῇ γὰρ ἐλπίδι ἐσώθημεν, καὶ δι' ὑπομονῆς ἀπεκδεχόμεθα. μὴ ἀφ' ἁλλωμεν ἤδη τοῖς παροῦσι. μὴ δὲ ἤδη ζητῶμεν τὰ μεταξὺ τὰ ἐπαγγελθέντα. ἐλπὶς γὰρ φησι βλεπομένη, οὐκ ἔστιν ἐλπίς. ἐπειδὴ γὰρ μεγάλα ἐστὶ τὰ ἀγαθά, ἐν τῷ δὲ ταῦτα λαβεῖν οὐ δυνάμεθα αὐτὰ ἐν τῷ ἐπικήρῳ τούτῳ βίῳ. τίνος οὖν ἕνεκεν, καὶ προεῖπεν ἡμῖν, οὐ μέλλων αὐτὰ ἐντεῦθεν δίδωσιν; ἵνα τῇ ἐπαγγελίᾳ τὰς ψυχὰς ἀνακτήσηται, ἵνα τῇ ὑποσχέσει ῥώσῃ τὴν προθυμίαν, ἵνα ἀλείψῃ, καὶ διεγείρῃ τὴν ἡμετέραν διάνοιαν, ἵνα δὴ πάντα τοῦτα γένηται.

Η' Δικόν.

Μὴ τίνων θορυβώμεθα, μηδεὶς ὁρῶν πονηροὺς εὐπραγοῦντας θορυβείσθω. οὐκ ἔστιν ἐντεῦθεν ἡ ἀνταπόδοσις, οὔτε τῆς πονηρίας, οὔτε τῆς ἀρετῆς. εἰ δέ που γίνεται, καὶ τῆς πονηρίας, καὶ τῆς ἀρετῆς, ἀλλ' οὐχὶ καταξίαν, ἀλλ' ἁπλῶς ὡσανεὶ γεῦμα τῆς κρίσεως, ἵνα οἱ τὴν ἀναστάσει διαπιστοῦντες, κἂν ἐντεῦθεν σωφρονίζωνται. ὅταν οὖν ἴδωμεν πονηρὸν πλουτοῦντα, μὴ καταπίπτωμεν. ὅταν ἴδωμεν ἀγαθὸν κακῶς πάσχοντα, μὴ θορυβώμεθα. ἐκεῖ γὰρ οἱ στέφανοι, ἐκεῖ αἱ κολάσεις. καὶ ἄλλως δὲ οὐκ ἔστιν, οὔτε κακὸν, πάντη εἶναι κακὸν, ἀλλ' ὅτι τινὰ ἔχειν αὐτὸν καὶ ἀγαθά, οὔτε ἀγαθὸν πάντη ἀγαθὸν, ἀλλ' ἔχειν τινὰ καὶ ἁμαρτήματα. ὅταν οὖν δύπραγῇ ὁ πονηρὸς, ἐπὶ κακῷ τῆς αὐτοῦ κεφαλῆς. ἵνα γὰρ ἐκείνων τῶν ὀλίγων ἀγαθῶν ἀνταπόδοσιν ἐντεῦθεν λάβῃ, ἐκεῖ λοιπὸν τέλεον κολάζηται, τούτου χάριν ἐντεῦθεν ἀπολαμβάνει. καὶ ὁ μακάριος ἐκεῖνος μάλιστά ἐστιν ὁ ἐντεῦθεν κολαζόμενος, ἵνα πάντα ἀποθέμενος τὰ ἁμαρτήματα, εὐδόκιμος καὶ καθαρὸς ἀπῇ, καὶ ἀνυβύθυνος. καὶ οὗτος διδάσκων ἡμᾶς ὁ παῦλος φησίν. διαβέβαιον ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. καὶ πάλιν, παρέδωκα τὸν τοιοῦτον τῷ σατανᾷ. καὶ ὁ προφήτης φησίν, ὅτι ἐδέξατο ἐκ χειρὸς κυρίου διπλᾶ τὰ

ἁμαρτήματα

ἁμαρτήματα. καὶ πάλιν ὁ δαβίδ. ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν ὑπὲρ ἐμέ, καὶ μῖσος ἄδικον ἐμίσησάν με, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. καὶ πάλιν ἕτερος. κύριε ὁ θεὸς ἡμῶν ἐρρύσω δὸς ἡμῖν. πάντα γὰρ ἀπέδωκας ἡμῖν. ἀλλὰ ταῦτα μὲν δείκνυσι τοὺς ἐπὶ τοὺς καλοὺς τὰς ὑπὲρ τῶν ἁμαρτημάτων δίκας ἐν ζωῇ δα ἀπολαμβάνοντας. ποῦ δὲ τὰ γαθὰ πονηροὶ ἀπολαμβάνοντες ἐν ταῦθα, ἐκεῖ τέλεον κολάζονται, ἄκουε τοῦ ἀβραὰμ λέγοντος πρὸς τὸν πλούσιον. ἀπέλαβες τὰ ἀγαθά σου, καὶ λάζαρος τὰ κακά. ποῖα ἀγαθά; ἐν ζωῇ θα γὰρ τὸ ἀπέλαβες, ἀλλὰ μὴ ἔλαβες εἰπών, δείκνυσι κατὰ ὀφειλὴν ἑκατέρους παθόντας, καὶ τὸν μὲν, ἐν δυπραγίᾳ, τὸν δὲ ἐν δυσπραγίᾳ γενόμενον, καὶ φησί. διαῤῥήδην οὕτος ἐν ζωῇ θα παρακαλεῖται. ὁρᾷς γὰρ αὐτὸν καθαρὸν ἁμαρτημάτων, καὶ σὺ ὁδυνᾶσαι. μὴ τοίνυν ἀλύωμεν, ὅταν δυπαθοῦντας ὁρῶμεν ἐν ταῦθα τοὺς ἁμαρτωλούς, ἀλλ' ὅταν κακῶς πάχωμεν αὐτοὶ, χαίρωμεν. ἁμαρτιῶν γάρ ἐστι πρᾶγμα ἔκπτωσις, μὴ ζητῶμεν αἴτιον. θλίψιν γὰρ ἐπηγγείλατο τοῖς αὐτοῦ μαθηταῖς ὁ χς. καὶ φησὶν ὁ παῦλος. πάντες οἱ θέλοντες ζῆν δυσεβῶς ἐν χριστῷ ἰησοῦ διωχθήσονται. οὐδεὶς γενναῖος ἀθλητὴς ἐν τῷ σκάμματι λουτρὰ ἐπιζητεῖ, καὶ πράτεξαν πλήθουσαν σιτίοις, καὶ οἴνῳ. ἔδιε οὐκ ἔστιν ἀθλητοῦ, ἀλλὰ βλακός. ὁ γὰρ ἀθλητὴς μάχεται πόνει, ἐλαίῳ, ἀκτῖνος δυρμότητι, ἱδρῶτι πολλῷ, θλίψει, καὶ γενοχωρίᾳ ἀγῶνος. οὕτος ἐστὶ, καὶ τοῦ ωυκτεύειν ὁ καιρός. οὐκοῦν καὶ τοῦ πραύματα λαμβάνειν, καὶ αἱμάτεσθαι, καὶ ἀλγεῖν. ἄκουσον τί φησιν ὁ μακάριος παῦλος. οὕτως ωυκτεύω, ὡς οὐκ ἀέρα δαίρων. πάντα τὸν βίον ἀγαγώνιον εἶναι νομίσωμεν, καὶ οὐδέποτε ἀνάπαυσιν ζητήσωμεν, οὐδέποτε θλιβόμενοι ξενοπαθήσομεν. εἰ πέρ μὴ δὲ ωύκτης, ὅτε ἐν ἀγῶνί ἐστιν, ξενοπαθεῖ. ἕτερος ἐστὶν ὁ τῆς ἀνέσεως καιρός. ἀλλὰ θλίψεως ἡμᾶς τελειωθῆναι δεῖ. εἰ καὶ μὴ διωγμός ὅτι, μὴ δὲ θλῖψις, ἀλλ εἰσὶν ἕτεραι θλίψεις, αἱ καθ' ἑκάστην ἡμέραν ἡμῖν συμπίπτουσαι. εἰ δὲ ταῦτα οὐ φέρομεν, σχολῆγε ἐκείνας ἀνέγκωμεν αὖ. πειρασμὸς ὑμᾶς οὐκεἴληφε φησὶν, εἰ μὴ ἀνθρώπινος. δυχώμεθα μὲν οὖν τὸν θεὸν, μὴ εἰσελθεῖν εἰς πειρασμόν. εἰσελθόντες δὲ φέρωμεν γενναίως. ἐκεῖνο μὲν γὰρ σωφρόνων ἀνδρῶν, τὸ μὴ κινδύνοις ἐπιῤῥίπτειν ἑαυτούς, δῆλον δὲ γενναίων, καὶ φιλοσόφων. μήτε οὖν ἐπιῤῥίπτωμεν ἑαυτοὺς ἁπλῶς, θρασύτητος γαρ, μήτε ἀγόμενοι, καὶ τῶν πραγμάτων καλούντων ἀναδιδῶμεν, δειλίας γαρ, ἀλλ' ἐὰν μὲν τὸ κήρυγμα καλῇ, μὴ παραιτώμεθα. ἁπλῶς δὲ αἰτίας μὴ οὔσης, μήτε χρείας, μήτε ἀναγκης τῆς κατὰ θεοσέβειαν καλούσης, μὴ ἐπιτρέχωμεν. ἐπίδειξις γάρ ὅτι τὸ πρᾶγμα, καὶ φιλοτιμία περιττή. ἐὰν δέ τι τῶν τὴν δυσέβειαν παραβλαπτόντων γίνηται, κἂν μυρίους ὦσι θῆναι δέῃ θανάτους, μηδὲν παραιτώμεθα. μὴ προσκαλοῦ τοὺς πειρασμούς, ὅταν σοι τὰ κατὰ τὴν δυσέβειαν προχωρῇ ὡς ποθεῖς. τί περιττοὺς ἐπιῶσάσαι κινδύνους οὐδὲν κέρδος ἔχοντας; ζαῦτα λέγω, βουλόμενος ὑμᾶς φυλάττειν τοὺς νόμους τοῦ χριστοῦ. κελδύοντος δὲ χεῶδε μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ κελδύοντος τὸν ταυρὸν λαβόντας, ἀκολουθεῖν αὐτῷ. ζαῦτα μὲν γαρ οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα συμφάδοντα. σὺ μὲν γαρ οὕτω παρεσκδύασας, ὡς θρασύτητος γενναῖος, ἐν ζοῖς ὅπλοις ἔσο δίκαιος, νήφων ἐγρηγορὼς, ἀεὶ τὸν πολέμιον προσδοκῶν. πολέμους μέντοι, μὴ τίκτε. δεῖ γαρ οὐκ ἔστιν θρασύτητος, ἀλλὰ θασαστοῦ. ἐὰν δὲ ἡ τῆς δυσεβείας

σάλπιγξ

σάλπιγξ καλῇ, οὐ θέως ἐξιθι, καὶ καταφρόνησον τῆς ψυχῆς, καὶ ἐμβιβάσθητι μετὰ πολλῆς τῆς προθυμίας εἰς τοὺς ἀγῶνας, ῥῆξον τὴν φάλαγγα τῶν ἐναντίων. σύγκοψον τὸ πρόσωπον τοῦ διαβόλου. φῆσον τὸ πρόβατον. ἐὰν δὲ μηδὲν ἡ δυσέβεια παραβλάπτηται, μήτε πορθῇς τὰ ἡμέτερα δόγματα, κατὰ τὴν ψυχὴν λέγω, μὴ δὲ ἀναγκάζῃ τί ποιεῖν τῶν μὴ δοκούντων τῷ θεῷ, μὴ περιπίπτωμεν. αἱμάτων δεῖ γέμειν τὸν χριστιανοῦ βίον, αἱμάτων, οὐκ ἐν τῷ τὰ ἀλλότρια ἐκχεῖν, ἀλλ' ἐν τῷ ἕτοιμον εἶναι τὸ ἑαυτοῦ ἐκχεῖν. μετὰ τοσαύτης τοίνυν προθυμίας τὸ ἴδιον αἷμα ἐκχέωμεν, ὅταν ὑπὲρ τοῦ χριστοῦ δέῃ, μεθ' ὅσης καὶ ὕδωρ τις ἐκχέῃ. καὶ γὰρ ὕδωρ ἐστὶ τὸ αἷμα περιῤῥέον τὸ σῶμα, καὶ μετὰ τοσαύτης δυκολίας τὴν σάρκα ἀποδυώμεθα, μεθ' ὅσης καὶ τὸ ἱμάτιον. δεῖ δὲ ἕτοιμοι ἐὰν μὴ χρήμασιν ὦμεν προσδεδεμένοι, καὶ μὴ οἰκίαις, καὶ μὴ προσπαθείᾳ, καὶ μὴ πάντων ὦμεν ἀπηρτημένοι. εἰ γὰρ οἱ τὸν φρατωτικὸν δεῖ βίον ζῶντες πᾶσιν ὑποτάσσονται, καὶ ἔνθα καὶ ὁ πόλεμος καλῇ, ἐκεῖ παραγίνονται, καὶ ὁδοιποροῦσι, καὶ πάντα μετὰ προθυμίας ὑπομένουσι, πολλῷ μᾶλλον ἡμᾶς τοὺς τοῦ χριστοῦ φρατώτας οὕτω παρεσκευάσθαι χρὴ, καὶ παρατάττεσθαι πρὸς τὸν πόλεμον τῶν παθῶν. οὐκ ὄθεν διωγμὸς νῦν, μὴ δὲ γένοιτο γενέσθαι ποτὲ, ἀλλ' ἕτερος πόλεμός ἐστιν ὁ τῆς τῶν χρημάτων ἐπιθυμίας, ὁ τῆς βασκανίας, ὁ τῶν παθῶν. δεῖ τὸν πόλεμον διηγούμενος ὁ παῦλος φῇ. οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα, καὶ σάρκα. ἀεὶ οὗτος ὁ πόλεμος ἐνέστηκε. διὰ τοῦτο ἀεὶ ὡπλισμένους ἡμᾶς ἑφάνα βούλεται. φῆτε οὖν φησι τε ζωσάμενοι, ὅπερ καὶ αὐτὸς ἐνεφῶνησεν ἐπὶ καιροῦ, καὶ ἐνέφηνεν, ὅτι ἀεὶ δεῖ ὁπλίζεσθαι. πολὺς γὰρ ὁ πόλεμος δεῖ γλώσσης, πολὺς δ' ὀφθαλμῶν. δεῖ τοίνυν κατέχωμεν. πολὺς ὁ τῶν ἐπιθυμιῶν. διὰ τοῦτο ἐκεῖθεν ἄρχεται καθοπλίζειν τὸν φρατιώτην τοῦ χριστοῦ. φῆτε γάρφησι περιζωσάμενοι τὴν ὀσφῦν ὑμῶν, καὶ ἐπήγαγεν. ἐν ἀληθείᾳ, διατὶ ἐν ἀληθείᾳ; ἐμπαιγμὸς γάρ ἐστι, καὶ ψεῦδος ἡ ἐπιθυμία. διὸ φησὶν ὁ προφήτης. αἱ ψυαμοὶ ἐπλήθυναν ἐμπαιγμάτων. οὐκ ἔστιν ἡδονὴ τὸ πρᾶγμα, ἀλλὰ πικρὰ ἡδονῆς. περιζωσάμενοι φησὶ τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ. τουτέστιν τῇ ἀληθινῇ ἡδονῇ, τῇ σωφροσύνῃ, τῇ κοσμιότητι. διὰ τοῦτο παραινεῖ, εἰ δοὺς τῆς ἁμαρτίας τὴν ἀπόπαιν, καὶ βουλόμενος ἡμῶν τὰ μέλη πάντα περιτεφράχθαι. θυμὸς γάρφησιν ἄδικος οὐκ ἀθωωθήσεται. καὶ θώρακα καὶ ἡμᾶς περικεῖσθαι βούλεται, καὶ ἀσπίδα. θηρίον γάρ ἐστιν δυπόλως ἐμπηδῶν ὁ θυμὸς, καὶ μυρίων πραγμάτων ἡμῖν δέησει, πρὸς τὸ περιγενέσθαι, καὶ κατασχεῖν. καὶ διὰ τοῦτο μάλιστα ἡμῖν δεῖ τὸ μέρος ὡς περ ἔκπινων λίθων τῶν ὀστέων ᾠκοδόμησεν ὁ θεὸς ἔρεισμα αὐτῷ περιθεὶς, ὥστε μὴ διαῤῥῆξαντα ποτὲ, μὴ δὲ διατεμόντα δυπόλως τὸν λιμναθαι ζῶον. ὦρε γάρ ἐστι φησὶ, καὶ ξάλη μεγάλη, καὶ οὐκ ἄν ἕτερον μέλος ταύτην τὴν βίαν ἀνάσχοιτο. λέγουσι δὲ καὶ ἰατρῶν παῖδες τούτου χάειν ὑστερῆσθαι τὸν πυθμένα τῆς καρδίας, ὥστε εἰς ἅπαλὸν αὐτὴν οὖσαν καθάπερ εἴς τινα ἀγγεῖον ἀναλομένην διανα πύεσθαι τὴν καρδίαν, ἀλλὰ μὴ εἰς τὸ ἀντίτυπον, καὶ σκληρὸν τὸ τόρνον καταβλάπτεσθαι τῇ ῥύμῃ τῶν αἱμάτων. δεῖ τοίνυν ὑμῶν θώρακος ἰσχυροῦ, ὥστε διαπαντὸς ἐν ἡσυχίᾳ δεῖ τὸ θηρίον διατρῖβειν. δεῖ δὲ ἡμῶν, καὶ περικεφαλαίας. ἐπειδὴ γὰρ ἐκεῖ τὸ λογιστικὸν τυγχάνει, καὶ ἀπὸ τούτου ἡ σωθῆναι δυνατὸν, ὅταν τὰ δέοντα γίγνωνται, ἢ ἀπολέσθαι ἔνι, διὰ τοῦτο φησὶ, καὶ περικεφαλαίαν

σωτηρίου.

σωτηρίου. ὁ γὰρ ἐγκέφαλος, φύσει μέν ἐστιν ἀπαλός. διὸ καὶ αὐτὸς καθάπερ τινὶ ὀχυράκῳ, τῷ βρέγματι καλύπτεται αὐτόθεν. πάντων δὲ ἡμῖν αὐτὸς γίνεται τῶν ἀγαθῶν, καὶ τῶν καλῶν, εἴτε τὰ δέοντα γνοὺς, εἴτε τὰ μὴ τοιαῦτα. καὶ οἱ πόδες δὲ καὶ αἱ χεῖρες, ὅπλων ἡμῖν δέονται. οὐχ αὗται αἱ χεῖρες, οὐδὲ οὗτοι οἱ πόδες, ἀλλὰ πάλιν οἱ τῆς ψυχῆς. αἱ μὲν μελετῶσαι τὰ δέοντα, οἱ δὲ, ἵνα πορεύωνται ἔνθα χρή. καθοπλίσωμεν τοίνυν ἑαυτοὺς οὕτω καὶ διανιστώμεθα περιγενέσθαι τῶν πολεμίων, καὶ λαβεῖν στέφανον ἀναδήσασθαι ὃν χρι-
στῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

Λόγος, ς'.

» Διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον. σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύ-
» νητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ
» ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσα-
» ράκοντα ἔτη. προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον ἀεὶ πλανῶνται τῇ καρδίᾳ. αὐτοὶ δὲ
» οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν
» μου. Διαλεχθεὶς περὶ ἐλπίδος ὁ παῦλος, καὶ εἰπὼν, ὅτι οἶκος αὐτοῦ ἐσμὲν ἐὰν περ
τὴν παῤῥησίαν, καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν, δείκνυσι
λοιπὸν, ὅτι βεβαίως χρὴ προσδοκᾶν, καὶ ὅθεν πιστοῦται ἀπὸ τῶν γραφῶν. προσέχετε δέ. δυσπολώτερον γάρ πως αὐτὸ ἔφρασε, καὶ δυσκαταληπτότερον. διὸ χρὴ τὰ παρ' ἡμῶν εἰ-
πόντας, καὶ σωτόμως τὴν πᾶσαν ὑμᾶς ὑπόθεσιν διδάξαντας, οὕτως ἐπαφεῖναι τὸν λό-
γον τοῖς γεγραμμένοις. οὐκέτι γὰρ ἡμῶν δεηθήσεσθε, ἐὰν τὸν σκοπὸν μάθητε τὸν ἀποστολι-
κόν. περὶ ἐλπίδος λοιπὸν αὐτῷ ὁ λόγος, καὶ ὅτι χρὴ ἐλπίζειν τὰ μέλλοντα, καὶ ὅτι ἕνεκα τοῖς
ἐνζεῦθεν πονήσασι μισθός τις, καὶ καρπὸς, καὶ αὐάπαυσις. θέλει οὖν ἀπὸ τῆς προφήτου
δείκνυσι, καὶ τί φησί; διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον. σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ
ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέ-
ραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον
τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον ἀεὶ πλανῶν-
ται τῇ καρδίᾳ. αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου εἰ εἰσελεύ-
σονται εἰς τὴν κατάπαυσίν μου. τρεῖς φησι καταπαύσεις εἶναι. μίαν τὴν τοῦ σαββάτου, ἐν
ᾗ ὁ θεὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ. δευτέραν τῆς παλαιστίνης, εἰς ἣν εἰσελθόν-
τες οἱ ἰουδαῖοι ἔμελλον ἀναπαύεσθαι ἀπὸ τῆς ταλαιπωρίας τῆς πολλῆς, καὶ τῶν πόνων.
τρίτην τὴν ὄντως ἀνάπαυσιν, τὴν βασιλείαν τῶν οὐρανῶν, ἧς οἱ τυχόντες ἀναπαύονται
ὄντως τῶν πόνων, καὶ τῶν μόχθων. τῶν τριῶν τούτων ἐνζεῦθεν μέμνηται. καὶ τίνος ἕνεκεν
περὶ τῆς μιᾶς διαλεγόμενος, τῶν τριῶν ἐμνημόνευσεν; ἵνα δείξῃ τὸν προφήτην περὶ τούτης
λέγοντα. περὶ μὲν γὰρ τῆς πρώτης, οὐκ εἶπε φησί. πῶς γὰρ τῆς πάλαι γεγενημένης; ἀλλ'
οὐδὲ περὶ τῆς δευτέρας τῆς ἐν παλαιστίνῃ. πῶς γάρ; οὐ γὰρ εἰσελεύσονται φησὶν εἰς τὴν
κατάπαυσίν μου. λείπεται δὴ τὴν τρίτην εἶναι ταύτην λοιπόν. ἀναγκαῖον δὲ καὶ τὴν ἱστορίαν
ἀναπτύξαι, ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον. ἐπειδὴ γὰρ ἀπὸ τῆς αἰγύπτου ἐξελθόν-
τες, καὶ πολλὴν ὁδὸν διανύσαντες, καὶ μυρία τῆς τοῦ θεοῦ δυνάμεως λαβόντες τεκμήρια,
ἔν τε τῇ αἰγύπτῳ, ἔν τε τῇ ἐρυθρᾷ θαλάττῃ, ἔν τε τῇ ἐρήμῳ, ἠβουλήθησαν πέμψαι κατα-

σκόπους

σκόπους τοὺς διασπερῳομένους τὴν φύσιν τῆς γῆς. οἱ δὲ ἀπελθόντες, ἐπανῆλθον, τὴν μὲν χώραν θαυμάζοντες, καὶ γενναίων καρπῶν βύθορον εἶναι λέγοντες. ἀνθρώπων μέντοι ἀκαταμαχήτων εἶναι κατὰ τὴν χώραν, καὶ ἰσχυρῶν. οἱ δὲ ἀγνώμονες Ἰουδαῖοι, καὶ ἀναίσθητοι, δέον αὐτοὺς τῶν προτέρων εὐεργεσιῶν μνησθῆναι, καὶ πῶς αὐτοὺς εἰς μέσον ἀπειλημμένους φρατοπέδων τοσούτων αἰγυπτιακῶν, ἐξήρπασε τῶν κινδύνων, καὶ τῶν λαφύρων αὐτῶν ἐποίησε κυρίους. καὶ πάλιν ἐν τῇ ἐρήμῳ πέτραν ἔρρηξε, καὶ τῶν ὑδάτων τὴν ἀφθονίαν ἐχαρίσατο, καὶ τὸ μάννα παρέσχε, καὶ τὰ ἄλλα θαυμάσια ἀπεργάσατο. καὶ πρὸς τοῦτο τῷ θεῷ, τούτων μὲν οὐδὲν ἐνενόησαν, ἅτε δὴ ὡς μηδενὸς γενομένου, οὕτω καταπλαγέντες, πάλιν εἰς αἰγυπτον φασὶν εἰσιέναι βουλόμεθα. ἐξήγαγε γάρφησιν ὧδε ὁ θεός, ὥστε ἀνελεῖν ἡμᾶς μετὰ παίδων, καὶ γυναικῶν. ὁ τοίνυν θεὸς ὀργιζόμενος, ὅπου οὕτω ταχέως ἐξέβαλον τὴν γενομένων μνήμην, ὤμοσε μὴ εἰσελθεῖν τὴν γενεὰν ἐκείνην τὴν τοσοῦτα εἰρηκυῖαν εἰς τὴν κατάπαυσιν, καὶ πάντες ἀπώλοντο ἐν τῇ ἐρήμῳ. ὅτε ὁ Δαβὶδ φησιν ὕστερον, καὶ μεταταῦτα, καὶ μετὰ τὴν γενεὰν τὴν ἐκείνων διαλεγόμενος ἔλεγεν, ὅπ σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ; τίς οὖν ἐστιν ἄλλη κατάπαυσις, ἀλλ' ἢ ἡ βασιλεία τῶν οὐρανῶν, ἧς εἰκών, καὶ τύπος ἐστὶ τὸ σάββατον; εἶτα θεὶς τὴν μαρτυρίαν πᾶσαν. αὖτι δέ ἐστι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν. ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον ἀεὶ πλανῶνται τῇ καρδίᾳ. αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου, τότε ἐπάγει. Βλέπετε μήποτε ἔσται ἐν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος. Ἀπὸ γὰρ σκληρότητος ἡ ἀπιστία γίνεται. καὶ καθάπερ τὰ σεσηπότα τῶν σωμάτων, καὶ σκληρὰ, οὐκ εἴκει ταῖς ἰατρῶν χερσὶν, οὕτω καὶ αἱ ψυχαὶ αἱ σκληρυνθεῖσαι, οὐκ εἴκουσι τῷ λόγῳ τοῦ θεοῦ. εἰκὸς γάρ ἐστιν, καὶ ἀπιστεῖν λοιπὸν, ὡς οὐκ ὄντων ἀληθῶν τῶν γενομένων. διαβάλλει φησί. βλέπετε μήποτε ἔσται ἐν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος. ἐπειδὴ γὰρ ὁ τῶν μελλόντων λόγος οὐκ ἔστιν οὕτω πιθανὸς, ὡς ὁ τῶν παρελθόντων, ἀναμιμνήσκει αὐτοὺς ἱστορίας, ἐν ᾗ πίστεως ἐδείχθησαν. εἰ γὰρ οἱ πατέρες ὑμῶν ἐπειδὴ οὐκ ἤλπισαν, ὥσπερ ἐχρῆν ἐλπίσαι, ταῦτα ἔπαθον, πολλῷ μᾶλλον ὑμεῖς. καὶ γὰρ πρὸς αὐτοὺς οὗτος ἐστὶν ὁ λόγος. τὸ γὰρ σήμερον φησὶν ἀεί ἐστιν, ἕως οὗ συνεστήκει ὁ κόσμος. Διὸ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον λέγεται. Τουτέστιν οἰκοδομεῖτε ἀλλήλους. ἀνορθώσατε ἑαυτοὺς, ἵνα μὴ τὰ αὐτὰ γένηται. Ἵνα μὴ σκληρυνθῇς ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. Ὁρᾷς ὅτι τὴν ἀπιστίαν ἡ ἁμαρτία ποιεῖ; ὥσπερ γὰρ ἡ ἀπιστία βίον πίκτει πονηρὸν, οὕτω καὶ ἡ ψυχὴ, ὅταν εἰς βάθος ἔλθῃ κακῶν, καταφρονεῖ κατα-

φρονήσασα

φρονήσασα δὲ οὐδὲ πιστεύειν ἀνέχεται, ὥστε ἀπαλλάξαι φόβου ἑαυτήν. εἶτε γὰρ οὐκ ἔστι κύριος, οὐδὲ σωήσει ὁ θεὸς Ἰακώβ. καὶ πάλιν τὰ χείλη ἡμῶν, παρ' ἡμᾶς ἐστι. τίς ἡμῶν κύριος ἐστί; καὶ πάλιν. ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν θεόν; καὶ πάλιν. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι θεός. διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν. οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν, ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ. τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι. καὶ ὁ κς δὲ αὐτὸς φησί. πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. εἶτα ἐπάγει. Μέτοχοι γὰρ γεγόναμεν τοῦ χριστοῦ. Τί ἔστι μέτοχοι γεγόναμεν τοῦ χριστοῦ; μετέχομεν αὐτοῦ φησιν. ἐν ἐγενόμεθα ἡμεῖς, καὶ αὐτός. εἴπερ αὐτὸς μὲν κεφαλή. σῶμα δὲ ἡμεῖς, συγκληρονόμοι, καὶ σύσσωμοι, ἐν σῶμα ἐσμὲν ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. Ἐὰν περ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν. Τί ἔστιν ἀρχὴν τῆς ὑποστάσεως; τὴν πίστιν. δι' ἧς ὑπεστήμεν, καὶ γεγενήμεθα, καὶ σωουσιώθημεν. ὡς ἄν τις εἴποι. φοβηθῶμεν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκεῖ τις ἐξ ὑμῶν ὑστερηκέναι. καὶ γὰρ ἐσμὲν εὐηγγελισμένοι ὥσπερ κἀκεῖνοι, ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκερασμένης τῇ πίστει τοῖς ἀκούσασι. πῶς οὐκ ὠφέλησεν; εἶτα βουλόμενος αὐτοὺς φοβῆσαι, δείκνυσιν αὐτὸ ῥητῶς, δι' ὧν φησι. Τινὲς γὰρ ἀκούσαντες, παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ μωϋσέως. τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε, μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπαθήσασι, καὶ βλέπομεν, ὅτι οὐκ ἐδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν; Εἰπὼν πάλιν τὴν μαρτυρίαν, καὶ τὴν ἐρώτησιν ἐπάγει. ὅπερ ποιεῖ τὸν λόγον σαφῆ. εἶτε γάρ φησι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. τίνων μέμνηται φησὶ σκληρυνθέντων; τίνων δὲ ἀπειθησάντων; οὐ τῶν Ἰουδαίων; ὁ δὲ λέγει. τοιοῦτόν ἐστιν, ἤκουσαν κἀκεῖνοι ὡς περ ἡμεῖς ἀκούομεν, ἀλλ' οὐδὲν ὄφελος αὐτοῖς γέγονε. μὴ τοίνυν νομίσητε, ὅτι ἀπὸ τοῦ ἀκούειν τοῦ κηρύγματος ὠφεληθήσεσθε. ἐπεὶ κἀκεῖνοι ἤκουσαν, ἀλλ' οὐδὲν ἀπώναντο, ἐπειδὴ μὴ ἐπίστευσαν. οἱ οὖν περὶ χάλεβ, καὶ ἰησοῦ ἐπειδὴ μὴ συνεφώνησαν τοῖς ἀπιστήσασι, διέφυγον τὴν κατ' ἐκείνων ἐξενεχθεῖσαν τιμωρίαν. καὶ ὅρα πῶς θαυμαστῶς, οὐκ εἶπεν οὐ συνεφώνησαν, ἀλλ' οὐ συνεκράθησαν, τοῦτέστιν ἀσταστάστως διέστησαν, ἐκείνων πάντων μίαν, καὶ τὴν αὐτὴν γνώμην ἐχόντων. ἐν τούτῳ θαυμοι δοκεῖ, καὶ φασιν αἰνίττεσθαι. εἰσελευσόμεθα γάρ φησιν εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες. πόθεν δῆλον ῥητῶς, ἐπήγαγε. καθὼς εἴρηκεν, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων. καὶ μὴν ῥητῶς οὐ τὸ ἡμᾶς εἰσελεύσεσθαι δηλωτικόν ἐστιν, ἀλλὰ τὸ ἐκείνους μὴ εἰσελευθέναι. τί οὖν κωλύει δεῖξαι τέως ὅτι; ὥς περ ἡ κατάπαυσις ἐκείνη οὐ κωλύει ἑτέραν κατάπαυσιν λέγεσθαι, οὕτως οὐδὲ αὕτη τ νῦν. τέως οὖν θέλει δεῖξαι, ὅτι οὐκ ἔτυχον ἐκεῖνοι τ καταπαύσεως. ὅτι γὰρ ῥητῶς λέγει, φησί.

Κεφ.δ'. Εἴρηκε γάρ που περὶ τ ἑβδόμης οὕτως, καὶ κατέπαυσεν ὁ θς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ παντὸς τ ἔργων αὐτοῦ. καὶ ἐν τούτῳ πάλιν, εἰ εἰσελεύσονται εἰς τ κατάπαυσίν μου. Ὁρᾷς πῶς

οὐ κωλύει

» οὐ κωλύει ἐκείνη ταύτην εἶναι κατάπαυσιν; Ἐπεὶ οὖν ἀπολείπεται φησὶ τινὰς εἰσελθεῖν εἰς
» αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν, πάλιν τινὰ ὁρίζει ἡμέ-
» ραν σήμερον ἐν Δαβὶδ λέγων, μετὰ τοσοῦτον χρόνον, καθὼς προείρηται. Τί δέ ἐστιν ὃ
φησιν; Ἐπεὶ οὖν ὀφείλουσι φησίπινες εἰσελθεῖν, πάντες ἐκεῖνοι οὐκ εἰσῆλθον, ὅτι δὲ εἰσελθεῖν
χρὴ, καὶ δι' ἣν τινὰς εἰσελθεῖν, ἀκούσωμεν πόθεν δῆλον. ὅτι μετὰ τοσαῦτα ἔτη φησι,
λέγει πάλιν Δαβὶδ, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας
ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλά-
λει μετὰ ταῦτα ἡμέρας, δηλονότι ὡς μελλόντων τινῶν τεύξεσθαι τινὸς ἀμοιβῆς, ταῦτα φη
» σίν. Ἄρα ἀπολείπεται Σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. Πόθεν; ἐκ τοῦ παραγγέλ-
λειν, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. οὐ γὰρ ἂν εἰ μὴ ἦν Σαββατισμός, ταῦτα παρήγ-
γελλοντο, οὐδὲ ἐκελεύοντο μὴ τὰ αὐτὰ ποιεῖν, ἵνα μὴ τὰ αὐτὰ πάθωσιν, εἰ μὴ ἔμελλον
τὰ αὐτὰ πείσεσθαι. πῶς δὲ ἔμελλον τὰ αὐτὰ πείσεσθαι οἱ τὴν παλαιὰν οἰκίαν ἔχοντες, εἰ
μὴ ἑτέρας ἦν κατάπαυσις; καὶ καλῶς συνεπέρανε τὸν λόγον. οὐ γὰρ εἶπε κατάπαυσις,
ἀλλὰ Σαββατισμός, τὸ οἰκεῖον ὄνομα, καὶ ᾧ ἔχαιρον, καὶ ἐπέτρεχον. Σαββατισμὸν τὴν
βασιλείαν καλῶν, ὥσπερ γὰρ ἐν τῷ Σαββάτῳ πάντων μὲν τῶν πονηρῶν ἀπέχεσθαι κελεύει.
ἐκείνας δὲ μόνας γίνεσθαι τὰς πρὸς λατρείαν Θεοῦ, ἅπερ οἱ ἱερεῖς ἐπετέλουν, καὶ ὅσα ψυ-
χὴν ὠφελεῖ, καὶ μηδὲν ἕτερον, οὕτω καὶ τότε, ἀλλ' οὐδὲ οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς;
» Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ
» ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. Ὥσπερ ὁ Θεὸς κατέπαυσε φησὶν ἀπὸ τῶν ἔργων αὐτοῦ,
οὕτως ὁ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ. Ἐπειδὴ γὰρ περὶ ἀναπαύσεως αὐτοῖς ὁ λόγος
ἦν, καὶ δῆλον ἐπεθύμουν ἀκοῦσαι πότε ἔσται, εἰς δῆλον τὸν λόγον κατέκλεισε. τὸ δὲ σήμερον,
ὥστε μὴ ἀπελπίζειν αὐτούς. παρακαλεῖτε φησὶν ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν. ταύτῃ καὶ ἂν
τις ἡμαρτηκὼς ᾖ, ἕως οὗ ἡ τὸ σήμερον, ἐλπίδας ἔχει. μηδεὶς τοίνυν ἀπογινωσκέτω ἕως οὗ
ζῇ. μάλιστα μὲν δεῖ φησι, μὴ δὲ ἕτω καρδίαν πονηρὰν ἀπιστίας. εἰ δὲ καὶ γένοιτο, μηδεὶς
ἀπογινωσκέτω, ἀλλὰ ἀναλαμβανέτω ἑαυτόν. ἕως γὰρ ἐσμὲν ἐν τῷδε τῷ κόσμῳ, τὸ σή-
μερον ἔχει καιρόν. ἐνταῦθα δὲ οὐ τὴν ἀπιστίαν μόνον λέγει, ἀλλὰ καὶ τοὺς γογγυσμούς.
ὧν τὰ κῶλα φησὶν ἔπεσεν ἐν τῇ ἐρήμῳ. εἶτα ἵνα μὴ νομίσῃς, ὅτι ἁπλῶς τῆς ἀναπαύσεως
» ἀποστερηθήσονται μόνον, ἐπάγει καὶ κόλασιν εἰπών. Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐ-
» νεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ
» ψυχῆς, καὶ πνεύματος ἁρμῶντε, καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων, καὶ ἐννοιῶν καρ
» δίας. Ἐνταῦθα περὶ τῆς γεέννης διαλέγεται, καὶ περὶ τῆς κολάσεως, εἰς τὰ κρυπτὰ δὲ
φησι διϊκνεῖται τῆς καρδίας τῆς ἡμετέρας, καὶ διατέμνει τὴν ψυχήν. οὐ κῶλα ἐπιτρέπειν
ἐνταῦθα, οὐδὲ γῆς ἀποστερηθῆναι καθάπερ ἐκεῖ, ἀλλὰ βασιλείας οὐρανῶν, καὶ γεέν
» νῃ παραδοθῆναι αἰωνίῳ, καὶ κολάσει ἀθανάτῳ, καὶ τιμωρίᾳ. Ἀλλὰ πα-
» ρακαλεῖτε ἑαυτούς. Ὅρα τὸ ἥμερον, καὶ προσηνές. οὐκ εἶπεν ἐπιζημιοῦτε, ἀλ-
λὰ παρακαλεῖτε. οὕτως ἡμᾶς χρὴ τοῖς ἀπὸ θλίψεως γενοχωρουμένοις προσφέρε-
σθαι. δῆλον καὶ Θεσσαλονικεῦσι γράφων φησί. νουθετεῖτε τοὺς ἀτάκτους. παραμυθεῖ-
τε τοὺς ὀλιγοψύχους, οὐχ οὕτως, ἀλλὰ τί; παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέ-

χεσθε τῶν ἀσθενῶν. μακροθυμεῖτε πρὸς πάντας, τουτέστι μὴ ἀπελπίσητε, μὴ ἀπογνῶτε. τὸν γὰρ ἀπὸ θλίψεως τενοχωρούμενον ὁ μὴ παρακαλῶν, σκληρότερον ποιεῖ. ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις φησὶν ἀπάτῃ τῆς ἁμαρτίας, ἤτοι τὴν ἀπάτην τοῦ διαβόλου φησίν. ἀπάτη γάρ ἐστιν ὄντως τὸ μηδὲν περὶ τῶν μελλόντων προσδοκᾶν, τὸ νομίζειν, ὅτι ἀνδύνατα ἔσται τὰ ἡμέτερα, καὶ ὅτι τῶν πεπραγμένων ἡμῖν ἐν τῷ βίῳ τούτῳ οὐ δώσομεν δίκας, οὐδὲ ἔσται ἀνάστασις, ἢ ἕτερός τις ἀπάτη ἐστίν, ἢ ἀναλγησία, ἢ ἀπόγνωσις. τὸ γὰρ λέγειν τί λοιπόν, ἄπαξ ἥμαρτον, οὐκέχω ἐλπίδα τοῦ ἀνακτήσασθαι ἑαυτόν, ἀπάτη ἐστίν. εἶτα ἐλπίδας αὐτοῖς ἐντίθησι λέγων. μέτοχοι γεγόναμεν τοῦ χριστοῦ, μονονουχὶ λέγων. ὁ οὕτως ἡμᾶς ἀγαπήσας. ὁ τοσοῦτον καταξιώσας, ὥστε αὐτοῦ σῶμα ποιῆσαι, οὐ περιόψεται ἀπολλυμένους. ἐννοήσωμέν φησι τίνων κατηξιώθημεν. ἡμεῖς καὶ ὁ χς, ἓν ἐσμέν. μὴ δίκαιον ἀπιστῶμεν αὐτῷ, καὶ πάλιν ἐκεῖνο αἰνίττεται τὸ εἰρημένον ἑτέρωθι, ὅτι εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. δῆλον γάρ ὅτι μέτοχος γεγόναμεν, τῶν αὐτῶν μετέχομεν ὧν ὁ χς. προετρέψατο ἀπὸ τῶν χρηστῶν. μέτοχοι γὰρ ἐσμέν φησι τοῦ χριστοῦ. εἶτα πάλιν ἀπὸ τῶν συνθρωπῶν, φοβηθῶμεν μήποτε καταλειπομένης ἀπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. ἐκεῖνο γὰρ δῆλον, καὶ ὡμολογημένον ἐστίν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. ὁρᾷς ὅτι οὐ δεῖ τὸν θεὸν ἀπαιτεῖν δύνασθαι, ἀλλ' αὖτε προῖσται, αὖτε μὴ, πιστεύειν αὐτῷ; ἐκείνοις γοῦν ἐγκαλεῖ νῦν, ὅτι ἐπείρασαν τὸν θεόν. ὁ γὰρ βουλόμενος ἀποδείξεις λαβεῖν, ἢ τῆς δωρεᾶς, ἢ τῆς προνοίας, ἢ τῆς κηδεμονίας αὐτοῦ, οὐ πιστεύει, οὔτε δωρεὰν αὐτὸν εἶναι, οὔτε φιλάνθρωπον. δῆλον καὶ πρὸς τούτους γράφων αἰνίττεται. βουλόμενος ἴσως ἤδη τῆς δωρεᾶς αὐτοῦ, καὶ τῆς ὑπὲρ αὐτῶν προνοίας τὴν ἐξέτασιν, καὶ τὸν ἔλεγχον λαβεῖν ἐν τοῖς πειρασμοῖς. ὁρᾷς ὅτι ἀπὸ ἀπιστίας παντοῦ ὁ παροξυσμὸς, καὶ ὁ παροργισμός; τί οὖν φησιν; ἆρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ θεοῦ. ὅρα δὲ πῶς ὅλον τὸν λόγον σωρηδὸν συνελογίσατο. ὥμοσε φησὶ τοῖς προτέροις μὴ εἰσελθεῖν αὐτοὺς εἰς τὴν κατάπαυσιν, καὶ οὐκ εἰσῆλθον. εἶτα μετ' ἐκείνους χρόνῳ πολλῷ ὕστερον διαλεγόμενος τοῖς ἰουδαίοις, φησί. μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς οἱ πατέρες ὑμῶν. δηλονότι ἐστὶν ἄλλη ἀνάπαυσις. περὶ μὲν γὰρ τῆς παλαιστίνης οὐκέχομεν εἰπεῖν. εἶχον γὰρ αὐτήν. περὶ δὲ τῆς ἑβδόμης οὐκ ὄφελον εἰπεῖν. οὐ γὰρ δήπου περὶ ταύτης διελέγετο τῆς πάλαι γεγενημένης. ἆρα ἑτέραν τινὰ αἰνίττεται τὴν ὄντως ἀνάπαυσιν.

Ἡ ἀπόν.

Ὄντως γὰρ ἐκείνη ἐστὶν ἀνάπαυσις, ἐν ᾗ οὐκ ἔστιν ὀδύνη, λύπη, καὶ στεναγμὸς, ἐν ᾗ οὐδὲ φροντίδες, οὐδὲ πόνοι, οὔτε ἀγωνία, οὔτε φόβος καταπλήττων, καὶ σείων τὴν ψυχὴν, ἀλλὰ μόνος ὁ τοῦ θεοῦ φόβος ἡδονῆς πλήρης ὤν. οὐκ ὄντιν ἐκεῖ, ἐν ᾗ δρῶσι τοὺς προσώπους φαγεῖν τὸν ἄρτον σου, οὐδὲ ἄκανθαι, καὶ τρίβολοι. οὐκέτι ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποφορά σου, καὶ αὐτός σου κυριεύσει. πάντα εἰρήνη, χαρὰ, εὐφροσύνη, ἡδονὴ, ἀγαθωσύνη, πραότης. οὐκ ὄντιν ἐκεῖ ξηλοτυπία, βασκανία, οὐ νόσος, οὐ θάνατος οὗτος ὁ τοῦ σώματος, οὐκ ἐκεῖνος ὁ τῆς ψυχῆς, οὐκ ὄντι σκότος, οὔτε νύξ. πάντα ἡμέρα, πάντα φῶς, πάντα ἡμέρα, λαμπρά. οὐκ ὄντι λαβεῖν, οὐκ ὄντι κόρον λαβεῖν, ἀεὶ ἐν ἐπιθυμίᾳ τῶν ἀγαθῶν διατελέσομεν, βούλεσθε δῶρα, καὶ εἰκόνα ὑμῖν τῆς ἐκεῖ καταστάσεως; οὐκ ὄντι δωρατόν.

πλὴν ἀλλ' ὅμως

πλὴν ἀλλ' ὅμως, ὡς ἐλωα τὸν, πειράσομαι ὑμῖν δοῦναί τινα εἰκόνα. ἀναβλέψωμεν εἰς τὸν οὐρανὸν, ὅταν μηδενὸς ἀνοχλοῦντος νέφους φαίνῃ τὸν ἑαυτοῦ στέφανον, εἶτα πρὸς τὸ κάλλος τῆς ὄψεως αὐτοῦ πολλὰ διαπετάσαντες χρόνον, ἐννοήσωμεν ὅτι καὶ ἐδαφος ἐξομεν οὐ τοιοῦτον μὴν ὂν, ἀλλὰ τοσοῦτῳ γινόμενον κάλλιον, ὅσῳ τῶν πηλίνων ὀρόφων ὁ χρυσοῦς. καὶ τὸν μετ' ἐκεῖνον πάλιν τὸν ἀνώτερον ὄροφον, εἶτα τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τοὺς ἀοιδίμους τῶν ἀσωμάτων ἑλωάμεων, αὐτὰ τοῦ θεοῦ τὰ βασίλεια, τὸν θρόνον τὸν παντοκράτορικὸν, ἀλλ' οὐκ ἀχνέι ὅπερ ἔφλω ὁ λόγος παρασῆσαι τὸ πᾶν. πείρασι χρέα, καὶ τῆς μὲν πείρασι γνώσεως. πῶς οἴεσθε εὐπέμοι τὸν ἀδὰμ εἶναι ἐν τῷ παραδείσῳ, πολὺ βελτίων ἐστὶν ἐκείνης αὖ πι ἡ διαγωγὴ, ὅσῳ τῆς γῆς ὁ οὐρανός. πλὴν ἀλλὰ καὶ ἑτέραν εἰκόνα ἐπιζητήσωμεν. εἰσωέρι τὸν βασιλεύοντα νεῶ, πάσης τῆς οἰκουμένης κρατῆσαι, εἶτα μήτε ὕδωρ πολέμων, μήτε ὕδωρ φροντίδων ἀνοχλεῖσθαι, ἀλλὰ πηδᾶσθαι μόνον, καὶ τρυφᾶν, καὶ πολλοὺς μὲν ἔχειν φόρους, πάντοθεν δὲ τὸ χρυσίον αὐτῷ ἐπιρρεῖν καὶ ἀπόβλεπτον εἶναι, ποίαν οἴεσθε ἔχειν αὐτὸν ψυχήν, εἰ τοὺς πολέμους τοὺς πανταχοῦ τῆς γῆς, πεπαυμένους ἑώρας; τοιοῦτον ζῷον ἔφαμ. μᾶλλον δὲ οὔπω καὶ τῆς εἰκόνος ἐφικόμην ἐκείνης. διὸ χρὴ καὶ ἑτέραν ἐπιζητῆσαι, ἐννόησον δήμοι. ὥσπερ γὰρ παιδίον βασιλικὸν, ἕως μὲν αὖ ἐν τῇ μήτρᾳ ᾖ, οὐδενὸς ἐπαναθάνεται, εἰ δὲ συμβαίη ἄφνω ἐξελθόντα ἐκεῖθεν ἵππον τὸν θρόνον ἀνελθεῖν τὸν βασιλικὸν, μὴ πρέμα, ἀλλ' ἀθρόον πάντα προσλαβεῖν, οὕτως ἐστὶν ἡ κατάστασις αὕτη κἀκείνη. εἴτις δεσμώτης μυρίας παθὼν κακὰ, ἀθρόον ἵππον τὸν βασιλικὸν ἁρπαγῇ θρόνον, ἀλλ' οὐδὲ οὕτως ἀφικόμην ἀκριβῶς τῆς εἰκόνος. ἐν τοῦτο μὲν γὰρ ἂν αὖτις ἐπιτύχῃ καλῶν, κἂν αὐτὸν εἰ ποις τὸν βασιλείαν, παρὰ τὸν πρώτην ἡμέραν ἀκμάζοντα ἔχει τὸν πόδον, καὶ παρὰ τὸν δευτέραν, καὶ τὸν τρίτην, χρόνου δὲ προϊόντος, μένει μὲν ἐν ἡδονῇ, οὐ τοσαύτῃ δέ. λήγει γὰρ ὕδωρ τῆς σωτηρίας ἀεὶ οἵα αὖ ἦ, ἐκεῖ δὲ οὐ μόνον οὐ μειοῦται, ἀλλὰ καὶ ἐπιδίδωσιν. ἐννόησον γὰρ ὅσον ἐπὶ ψυχῶν ἀπελθοῦσαν ἐκεῖ, μηκέτι τέλος προσδοκᾶν τῶν ἀγαθῶν ἐκείνων μεταβολῶν, ἀλλὰ ἐπίδοσιν, καὶ ζωὴν τέλος οὐκ ἔχουσαν, πάντες μὲν κινδύνου πάσης δὲ ἀδυμίας, καὶ φροντίδος ἀπηλλαγμένην, μέσην δ' ἀδυμίας, καὶ μυρίων ἀγαθῶν. εἰ γὰρ εἰς πεδίον ἐξιόντες, ἔνθα σκιὰς ὁρῶμεν ἐραζιωτῶν ἐκπαρασκευασμάτων πεπυκνωμένας, καὶ δένδρα, καὶ κρανία, καὶ ὀμφαλοὺς ἀπίδων λάμποντας, μετέωροι γινόμεθα τῷ θαύματι. εἰ δὲ τὸν βασιλέα συμβαίη μέσον ἰδεῖν πρέχοντα, ἢ καὶ ἵππον ἐλαύνοντα μετὰ ὅπλων χρυσῶν, τὸ πᾶν ἔχειν νομίζομεν, τί οἴει ὅταν τῶν ἁγίων τὰς σκιὰς τὰς αἰωνίους ἐν τῷ οὐνῷ πεπηγάσι, δέξονται γὰρ ὑμᾶς φησιν εἰς τὰς αἰωνίους αὐτῶν σκιάς, ὅταν αὖτ' ἔκαστον ὑπὲρ τὰς ἀκτῖνας τὰς ἡλιακὰς λάμποντα ἴδοις, οὐκ ἀπὸ χαλκοῦ, καὶ σιδήρου, ἀλλ' ἀπὸ τῆς δόξης ἐκείνης, ἧς τὰς μαρμαρυγὰς ἀνίνος ὀφθαλμὸς οὐ δύναται ἰδεῖν. καὶ ζῶντα μὲν τὰ ἀνὼ. τί δ' αὖ πις εἴποι τὰς χιλιάδας τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν χερουβὶμ, τῶν σεραφὶμ, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, ὧν τὸ κάλλος ἀμήχανον πάντα νοῦν ὑπερβαίνον; ἀλλὰ γὰρ μέχρι τίνος οὐ παύσομαι διώκων ἀνίχνητα; οὔτε γὰρ ὀφθαλμὸς εἶδε φησιν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. οὐκοῦν οὐδὲν ἐλεεινότερον τοῦ ἀποτυγχάνοντος, οὔτε μακαριώτερον τοῦ ἐπιτυγχάνοντος. γενώμεθα δὴ τοῦ μακαρίων ἡμεῖς, ἵνα ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν ἐν χῷ ἰῦ τῷ κῷ ἡμῶν.

Λόγος, ζ'.

» Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγ
» ματι πέσῃ τῆς ἀπειθείας. ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶ
» σαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς, καὶ πνεύματος, ἁρμῶν τε, καὶ
» μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων, καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον
» αὐτοῦ. πάντα δὲ γυμνὰ, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

Μέγα πίστις καὶ σεῖον, καὶ ζαύπις αὖθυ οὐκέτι σωθῆναι ποτέ. ἀλλ' οὐκ ἀρκεῖ καθ' ἑαυτὴν τὸ
το ἐργάσασθαι, ἀλλὰ δεῖ καὶ πολιτεύασθαι ὀρθῶς. ὅθεν διαζώσας, καὶ παῦλος τοῖς ἤδη τῶν
μυστηρίων καταξιωθεῖσι παραινεῖ λέγων. σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατά-
παυσιν. σπουδάσωμεν φησὶν, ὡς οὐκ ἀρκούσης τῆς πίστεως, ἀλλ' ὀφείλοντος προστεθῆναι καὶ
τὸν βίον, καὶ πολλῆς τῆς σπουδῆς γίνεσθαι. δεῖ γὰρ ὄντως καὶ πολλῆς σπουδῆς, ὥστε ἀνελ
θεῖν εἰς τὸν οὐρανόν· εἰ γὰρ γῆς οὐκ ἠξιώθησαν οἱ τοσαῦτα ταλαιπωρηθέντες ἐν τῇ ἐρήμῳ, καὶ
γῆς τυχεῖν οὐκ ἠδυνήθησαν· ἐπειδὴ ἐγόγγυσαν, καὶ ἐπειδὴ ἐπόρνευσαν· πῶς τῶν οὐρανῶν
ἡμεῖς καταξιωθησόμεθα ἀδιαφόρως ζῶντες, καὶ ῥᾳθύμως; δεῖ τοίνυν ἡμῖν πολλῆς σπου-
δῆς. καὶ ὅρα οὐ μέχρι τούτου τὴν ζημίαν μόνον μέχρι τοῦ μὴ εἰσελθεῖν. οὐ γὰρ εἶπε σπου
δάσωμεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν, ἵνα μὴ ἐκπέσωμεν τοσούτων ἀγαθῶν· ἀλλ' ὁ μά-
λιστα τοὺς ἀνοήτους διεγείρει, τοῦτο προσέθηκε. ποῖον δὴ τοῦτο; ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδεί
γματι πέσῃ τῆς ἀπειθείας. τί ὅτι τοῦτο; τουτέστιν ἵνα τὸν νοῦν ἔχωμεν ἐκεῖ, τὴν ἐλπίδα, τὴν
προσδοκίαν, ἵνα μὴ ὁμοίως ἐκπέσωμεν. ὅπερ γὰρ ἐκπεσούμεθα, τὸ ὑπόδειγμα δηλοῖ, μὴ ἐν
τῷ αὐτῷ φησιν. εἶτα ἵνα μὴ ἀκούων ἐν τῷ αὐτῷ, τὴν αὐτὴν εἶναι νομίσῃς ζημίαν, ἄκου
σον τί ἐπάγει. ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δί
στομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε, καὶ πνεύματος, ἁρμῶν τε, καὶ μυελῶν, καὶ κριτι
κὸς ἐνθυμήσεων, καὶ ἐννοιῶν καρδίας. δείκνυσι καὶ ζῶν θαι, ὅτι καὶ ἐκείνα αὐτὸς εἰργάσατο
ὁ τοῦ θεοῦ λόγος, καὶ ζῇ, καὶ οὐκ ἐξέβεσθη. μὴ τοίνυν ἐπειδὴ λόγον ἤκουσας, ἁπλῶς νομίσῃς.
μάχαιράσ γάρ ὅτι φησὶ τομώτερος. ὅρα τὴν συγκατάβασιν, καὶ ἐντεῦθεν σκόπει, τίνος ἕνε
κεν ἐδείσθησαν καὶ οἱ προφῆται εἰπεῖν μάχαιραν, καὶ τόξον, καὶ ῥομφαίαν. ἐὰν μὴ ἐπι-
γράφῃτε φησὶ, τὴν ῥομφαίαν αὐτοῦ σιλβώσει. τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό.
εἰ γὰρ νῦν μὴ τοσοῦτον χρόνον, καὶ τελείωσιν, οὐ δύναται τῷ τοῦ λόγου ὀνόματι καταπλῆ-
ξαι μόνον, ἀλλὰ δεῖται τούτων τῶν ῥητῶν, ἵνα δείξῃ τὴν ὑπερβολὴν τῆς συγκρίσεως, πολ
λῷ μᾶλλον τότε. διϊκνούμενος φησὶν ἄχρι μερισμοῦ ψυχῆς, καὶ πνεύματος. τί ὅτι τοῦτο; φοβερώτερόν τι
ἡνίξατο, ἢ ὅτι τὸ πνεῦμα διαιρεῖ ἀπὸ τῆς ψυχῆς, ἢ ὅτι καὶ αὐτῶν τῶν ἀσωμάτων διϊκνεῖται.
οὐ καθὼς ἡ μάχαιρα μόνον τῶν σωμάτων. δείκνυσιν ἐνζωῦσα, ὅτι καὶ ψυχὴ κολάζεται, μὴ
ὅτι τὰ ἐνδότατα διερευνᾶται, ὅλον δι' ὅλου διϊκνουμένη τὸν ἄνθρωπον, καὶ κριτικὸς ἐνθυμήσεων,
καὶ ἐννοιῶν καρδίας. καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. ἐνζωῦσα αὐτὸς μάλιστα
ἐφόβησε. μὴ γὰρ εἴ ἔπι φησὶν ἐν τῇ πίστει ἑστήκατε, μὴ μὴ πληροφορίασθε, αὐτὸς τὰ
ἐν καρδίᾳ κρίνει. ἐκεῖ γὰρ διαβαίνει, καὶ κολάζων, καὶ ἐξετάζων. μὴ τί λέγω περὶ ἀνθρώπων φησὶ;
κἂν γὰρ ἀγγέλους εἴποις, κἂν ἀρχαγγέλους, κἂν τὰ χερουβὶμ, κἂν τὰ σεραφὶμ, κἂν οἱανδήποτε κτίσιν, πάντα ἐκκεκάλυπται τῷ ὀφθαλμῷ ἐκείνῳ, πάντα δῆλα ἐστὶ, καὶ φανερά.

οὐδὲν ὅτι

οὐδὲν ὅτι τὸ λαθεῖν αὐτὸν δυνατόν. πάντα γυμνὰ, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. τί δέ ὅτι τετραχηλισμένα; ἀπὸ μεταφορᾶς τῶν δερμάτων τῶν ἀπὸ ἱερείων ἐξελκομένων, ὥσπερ ἐκεῖνα ἐπειδὰν σφάξασιν ἀπὸ τῆς σαρκὸς παρελκύσῃ τὸ δέρμα, πάντα τὰ ἔνδον ἀποκαλύπτεται, καὶ δῆλα ποιεῖ τοῖς ἡμετέροις ὀφθαλμοῖς, οὕτω καὶ τῷ θεῷ δῆλα πρόκειται πάντα. σὺ δέμοι θέα, πῶς ἀεὶ τῶν σωματικῶν εἰκόνων δεῖται, ὅπερ ἰῶ τῆς ἀσθενείας τῶν ἀκουόντων. ὅτι γὰρ ἀσθενεῖς ἦσαν, ἐδήλωσεν εἰπὼν νωθροὺς αὐτοὺς εἶναι χρείαν ἔχοντας γάλακτος, οὐ τροφῆς πρεφῆς. πάντα γυμνά φησι, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. τί δέ ἐστιν ἐν τῷ αὐτῦ ὑποδείγματι τῆς ἀσθενείας; ὡς αὖ τις εἴποι. διατὶ οὐκεῖσθεν ἐκεῖνοι τὴν γῆν; ἔλαβον ἀρραβῶνα τῆς τῦ θεοῦ δυνάμεως, δέον τῷ φόβῳ πιστεῦσαι, πλέον ἐνδόντες, καὶ μὴ δὲν μέγα περὶ τῦ θεοῦ φαντασθέντες, καὶ ὀλιγοψυχήσαντες, οὕτως ἀπώλοντο. ὅτι δὲ δὲ καὶ ἕτερόν τι εἰπεῖν. οἷόν τι πλέον ἀνύσαντες τῆς ὁδοῦ, ὅτε πρὸς αὐταῖς ταῖς θύραις ἐγένοντο, πρὸς αὐτῷ τῷ λιμένι, κατεπονήθησαν. διὸ καὶ περὶ ὑμῶν δέδοικα φησί. τουτέστιν ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀσθενείας. ὅτι γὰρ καὶ οὗτοι πολλὰ ἔπαθον, ὕστερον αὐτοῖς μαρτυρεῖ λέγων. ἀναμνήσθητε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. μηδεὶς οὖν ὀλιγοψυχείτω, μηδὲ πρὸς τὸ τέλος ἀπαρρησιάζηται καταπαλαίετω. εἰσὶ γὰρ εἰσὶν οἱ παρὰ τὴν ἀρχὴν μὲν μὴ ἀνεμαζούσης προθυμίας προσβάλλουσιν, ὕστερον δὲ μικρὸν τῷ πάντι προσθεῖναι μὴ βουληθέντες, τὸ πᾶν ἀπώλεσαν. ἵνα οἱ πρόγονοι ταυσθεῦσαι ὑμᾶς μὴ τοῖς αὐτοῖς πταῖσαι, μήτε αὐτά παθεῖν, ἅπερ ἔπαθον. διὸ ὅτι ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀσθενείας. μὴ ἐκλυώμεθα φησίν. ὁ καὶ πρὸς τῷ τέλει λέγει, τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι φῇ πταῖσαι. διὸ γὰρ πταῖσαι ὄντως ἐστίν. εἶτα ἵνα μὴ ἀκούσας, ὅτι ἐν τῷ αὐτῷ τις ὑποδείγματι πταίσῃ, τὸν αὐτὸν θάνατον ὑπολάβῃς, ὃν περ κἀκεῖνοι ὑπέμειναν, ὅρα τί φῇ. ζῶν γὰρ ὁ λόγος τῦ θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. πάσης γὰρ μαχαίρας χαλεπώτερον εἰς τὰς ζύτων ἐμπίπτει ψυχὰς ὁ λόγος, πληγὰς ἐργαζόμενος χαλεπὰς, καὶ καιρίας δίδωσι τομάς. καὶ τούτων τὴν ἀπόδειξιν οὐδεῖται παρασχεῖν, οὐδὲ κατασκευάσαι, ἔχων οὕτω τὴν δίηγησιν φοβερὰν. ποῖος γὰρ πόλεμος ἐκείνους ἀπώλεσε φῇ; ποία μάχαιρα; καὶ οὐχ ἁπλῶς αὐτόματοι κατέπεσον. μὴ δὲ γὰρ ἐπειδὴ μὴ ἐπάθομεν τὰ αὐτὰ, ἀμελήσωμεν, μέχρις οὗ τὸ σήμερον λέγεται, ἔξεστιν ἡμῖν ἀνακτήσασθαι. ἵνα γὰρ μὴ τὰ τῆς ψυχῆς ἀκούσαντες ῥᾳθυμήσωμεν, προστίθησι, καὶ τὰ τῦ σώματος. τότε γὰρ οὕτω γίνεται, καθάπερ τις βασιλεὺς ἄρχοντας ἁμαρτόντας μεγάλα, πρότερον ἀπογυμνοῖ οἷον τῆς φρατείας, καὶ τὴν ζώνην ἀφελόμενος, καὶ τὸ ἀξίωμα, καὶ τὸν κήρυκα, τότε κολάζει, οὕτω καὶ ἐνταῦθα τῦ πνεύματος ἡ μάχαιρα ἐργάζεται. εἶτα περὶ τῦ γοῦν διαλέγεται, πρὸς ὃν ἡμῖν ὁ λόγος φῇ. τί ὅτι πρὸς ὃν ἡμῖν ὁ λόγος; ᾧ φησιν ἔχομεν δοῦναι λύθησασθαι τῶν πεπραγμένων; ναί. πῶς οὖν; ἵνα μὴ πέσωμεν, μὴ δὲ ὀλιγοψυχήσωμεν, ἱκανὰ μὲν οὖν καὶ κεῖνα ταυσθεῦσαι φησίν.

» Ἔχομεν δὲ μὴ ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν υἱὸν τῦ θεοῦ. Οὐ γὰρ
» διαζῦξε προσέθηκεν, ἐπήγαγεν. Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς

» ἀσθενείαις ἡμῶν. Διὰ δὲ τοῦτο ἀνωτέρω ἔλεγεν. ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. ὅρα τοίνυν πῶς καὶ ἐνταῦθα τὸ αὐτὸ ποιεῖ, ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἦλθε φησὶν ὁδόν, ἵνα καὶ ἡμεῖς νικῶμεν, μάθωμεν δὲ καὶ πραχυτέραν. πάντων γὰρ ἔλαβε τὴν ἀνθρωπίνων πεῖραν. εἰ γὰρ ἐκεῖ οὐ κρίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, τιμὴ θεότητα αἰνιττόμενος. εἶτα ἐπειδὴ τῆς σαρκὸς ἐπελάβετο, συγκαταβατικώτερον πάλιν διαλέγεται λέγων. ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς. καὶ μείζονα δείκνυσι τὴν κηδεμονίαν, καὶ ὅτι ὥσπερ οἰκείων προΐσταται, καὶ οὐ θέλει αὐτοὺς ἐκπεσεῖν. μικρᾶς μὲν γάρ φησιν οὐκ εἰσῆλθεν εἰς τὴν κατάπαυσιν, αὐτὸς δὲ εἰσῆλθε. καὶ πῶς αὐτὸ οὐδαμοῦ τέθεικε, θαυμαστόν. ἵνα μὴ δόξωσιν ἀπολογίαν δυρίσκειν, συμπεριέλαβε δὲ αὐτόν. καὶ ἵνα μὴ δόξῃ κατηγορεῖν τοῦ ἀνδρός, φανερῶς αὐτὸ οὐκ εἶπεν. εἰ γὰρ οὐδενὸς τούτων λεχθέντων ταῦτα προέφερον, λέγοντες, κατὰ τὸν μωϋσέως, καὶ κατὰ τὸν νόμον, εἰρήκασιν αὐτός. πολλῷ μᾶλλον εἰ εἶπεν οὐκ ὄντι παλαιφάτῳ, ἀλλ' οὐρανοῦ, μείζονα αὖ τούτων εἶπον. ἀλλ' οὐ πᾶν τῷ ἱερεῖ δίδωσιν, ἀλλὰ καὶ τὰ παρ' ἡμῶν ζητεῖ, λέγω δὴ τὴν ὁμολογίαν. ἔχοντες γάρ
» φησιν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανοὺς ἵν' τὴν γόνυ τοῦ δῦ. Κρατῶμεν τῆς ὁμολο
» γίας. Ποίαν ὁμολογίαν λέγει; ὅτι ἀνάστασίς ἐστιν, ὅτι ἀνταπόδοσις, ὅτι μυρία ἀγαθά, ὅτι ὁ Χριστὸς θεός ἐστιν, ὅτι ἡ πίστις ὀρθή. ταῦτα ὁμολογήσωμεν, ταῦτα κατέχωμεν. ὅτι δὲ ταῦτα ἀληθῆ, δῆλον ἐκ τοῦ τὸν ἀρχιερέα ἐνδυνεῖναι. οὐκ ἐξεπέσομεν, ὁμολογήσωμεν. εἰ καὶ μὴ πάρεστι τὰ πράγματα, ἀλλ' ἡμεῖς ὁμολογήσωμεν. εἰ ἄρτι παρῆν, ψεῦδος ἦν. ὥστε καὶ τὸ ἀληθὲς τὸ ὑπερπίπτεσθαι. καὶ γὰρ ὁ ἀρχιερεὺς ἡμῶν μέγας. οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυναμένον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν. οὐκέτι φησὶν ἀγνοῶν τὰ ἡμέτερα, ὡς πολλοὶ τῶν ἀρχιερέων, οἳ τοὺς ἁμαρτάνοντας οὐκ ἔασαν οὐδὲ ὁπωστοῦν ἐᾶσαι θλίψις. ἦν γὰρ ἀνθρώπων, δυνάμενον εἰς δέησιν τιμὴν κάκωσιν τοῦ κακουμένου τὸν μὴ πεῖραν λαβόντα, καὶ διὰ τῶν αὐθαιτῶν ἐλθόντα. πάντα γὰρ ὑπέσχηται ὁ ἀρχιερεὺς ὁ ἡμέτερος. διὰ γὰρ δοῦναι πρῶτον
» ὑπέσχηται, καὶ τότε αἰτεῖν, ἵνα δυνώμεθα συμπαθεῖν. Πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁ
» μοιότητα χωρὶς ἁμαρτίας. Ὅρα πῶς καὶ ἄνω τὸ παραπλήσιον εἶπε, καὶ ἐνταῦθα τὸ καθ' ὁμοιότητα. τουτέστιν ἐδιώχθη, ἐνεπτύσθη, κατηγορήθη, ἐσκώφθη, ἐσυκοφαντήθη, ἀπηλάθη, τὸ τέλος, ἐσταυρώθη. καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. ἐνταῦθα καὶ ἄλλο αἰνίττεται, ὅτι δυνατὸν χωρὶς ἁμαρτίας, καὶ ἐνθλίψεσιν ὄντα διενεγκεῖν. ὥστε καὶ ὅταν λέγῃ ἐν ὁμοιώματι σαρκός, οὐ δόξῃ φησὶν ὅτι ὁμοίωμα σαρκός, ἀλλ' ὅτι σάρκα εἰλήφει. διατί οὖν εἶπεν ἐν ὁμοιώματι; ὅτι περὶ ἁμαρτωλοῦ σαρκὸς ἔλεγεν. ὁμοία γὰρ ἐστὶ τῇ σαρκὶ τῇ ἡμετέρᾳ, τῇ μὲν γὰρ φύσει ἡ αὐτὴ ἐστὶν ἡμῖν, τῇ δὲ ἁμαρτίᾳ, οὐκέτι ἡ αὐτή.
» Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος αὐτοῦ, ἵνα λάβωμεν ἔλεον,
» καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. Θρόνον χάριτος, τίνα φησὶ τὸν θρόνον τὸν βασιλικόν, περὶ οὗ φησιν, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν μου. τί δέ ἐστι προσερχώμεθα μετὰ παῤῥησίας; ὅτι ἀναμάρτητον ἔχομεν ἀρχιερέα, καταγωνιζόμενον τὸν οἰκουμένην. θαρσεῖτε γάρ φησιν, ἐγὼ νενίκηκα τὸν κόσμον. τὸ γὰρ πάντα παθεῖν, καθαρὸν δὲ εἶναι ἁμαρτημάτων, δῆλόν ἐστιν. εἰ καὶ ἡμεῖς νῦν ἁμαρτίας ἐσμέν φησιν, ἀλλ' οὐκ ἀναμάρτητος. πῶς προσερχώμεθα μετὰ παῤῥησίας, θρόνος χάριτός ἐστιν, οὐ θρόνος κρίσεως νῦν. διὰ

δόξαν μή

δῶν μὴ παῤῥησίασ. ἵνα λάβωμεν ἔλεον, καὶ οἷον ξητῶμεν. φιλοζημία γὰῤ τὸ πρᾶγμα ἐστὶ, δωρεὰ βασιλική. καὶ χάριν δῦρωμεν εἰς εὔκαιρον βοήθειαν. καλῶς εἴρηκεν εἰς εὔκαιρον βοήθειαν, αὖ νῦν προσέλθῃς φῶ, λήψῃ καὶ χάριν, καὶ ἔλεον, εὐκαίρως γὰῤ προσέρχῃ, αὖ δὲ τότε προσέλθῃς, οὐκέτι. ἄκαιρος γὰῤ τότε ἡ πρόσοδος. οὐ γὰῤ ὅτι τότε θρόνος χάριτος, ἕως τότε κάθηται χαριζόμενος. ὅταν δὲ ἡ σωτέλεια, τότε ἐγείρεται εἰς κρίσιν. ἀνάστα γὰῤ φησὶν ὁ θεὸς, κρῖνον τὴν γῆν. προσερχώμεθα μετὰ παῤῥησίασ. ἢ πάλιν ἐκεῖνο φησί. μηδὲν ἔχοντες σωνειδὸς πονηρὸν, τουτέστι μὴ διαζόντες. οὐ γὰῤ δύναται μετὰ παῤῥησίασ ὁ τοιοῦτος προσελθεῖν. διαζῶν λέγει. καιρῷ δεκτῷ ἐπήκουσάσου, καὶ ἐν ἡμέρᾳ σωτηρίασ ἐβοήθησάσοι, ἕωσει καὶ νῦν τὸ μετὰ τὸ λουτρὸν ἁμαρτάνοντας δύρίσκειν μετάνοιαν, χάριτός ὅτιν. ἵνα δὲ μὴ ἀκούων ἀρχιερέα νομίσῃς ἑστάναι αὐτὸν, δύθεὸς ὧδὶ τὸν θρόνον ἄγει. ὁ δὲ ἱερεὺς οὐ κάθηται, ἀλλ' ἕστηκεν. ὁρᾷς ὅτι τὸ γενέσθαι ἀρχιερέα οὐ φύσεως ἐστὶν, ἀλλὰ χάριτος, καὶ συγκαταβάσεως, καὶ κενώσεως; διὸ καὶ ἡμῖν δύκαιρον εἰσῆλθεῖν νῦν, προσερχώμεθα μὴ παῤῥησίασ αὐτοὶ ὦντες. μόνον πίστιν προσάγωμεν, καὶ πάντα δίδωσι. νῦν ὁ τῆς δωρεᾶς ὅτι καιρὸς, μηδεὶς ἑαυτὸν ἀπογνωσκέτω. τότε τῆς ἀπογνώσεως ὁ καιρὸς ὅταν ὁ νυμφὼν κλείηται, ὅταν εἰσέλθῃ ὁ βασιλεὺς τοὺς ἀνακειμένους ἰδεῖν, ὅταν ἀπολάβωσι τοὺς πόλπους τῦ πατριάρχου οἱ μέλλοντες τούτων ἀξιοῦσθαι, νῦν δὲ οὔπω. ἐπὶ γὰῤ τὸ θέατρον σωέστηκεν, ἐπὶ ὁ ἀγὼν ἀνέστηκεν, ἐπὶ τὸ βραβεῖον μετέωρον.

Η' θεόν.

Σ πουδάσωμεν οὖν, καὶ γὰῤ παῦλος φησὶν, οὕτω τρέχω ὡς οὐκ ἀδήλως. δρόμω χρεία, καὶ δρόμω σφοδρῦ. ὁ τρέχων, οὐδένα τῶν ἁπάντων ὁρᾷ, κἂν μικρὸν λειμώνων, κἂν δι' αὐχμηρῶν τόπων ὁδεύῃ, ὁ τρέχων οὐ πρὸς τοὺς θεατὰς ὁρᾷ, ἀλλὰ πρὸς τὸ βραβεῖον, κἂν πλούσιοι, κἂν πένητες ὦσι, κἂν σκώπτηται, κἂν ἐπαινῇ, κἂν ὑβρίζῃ, κἂν λίθοις βάλλῃ, κἂν τὴν οἰκίαν διαρπάζῃ, κἂν παῖδας ἴδῃ, κἂν γυναῖκα, κἂν ὀζοῦν, ἑνὸς γίνεται μόνου τῦ τρέχειν, τῦ λαβεῖν τὸ βραβεῖον. ὁ τρέχων, οὐδαμῦ ἵσταται, ἐπεὶ κἂν μικρὸν ῥαθυμήσῃ, τὸ πᾶν ἀπώλεσεν. ὁ τρέχων, οὐ μόνον οὐδὲν ὑφαιρεῖ πρὸ τῦ τέλους, ἀλλὰ καὶ τότε μάλιστα ἐπιτείνει τὸν δρόμον. διὸ καὶ εἴρηται πρὸς τοὺς λέγοντας ἀννεότητι ἠσκήσαμεν, ἀν νεότητι ἀνηστεύσαμεν, γεγηράκαμεν. νῦν μάλιστα τὴν δύλάβειαν ἐπιτείνειν χρεών. μήποτε τὰ παλαιὰ ἀρίθμει κατορθώματα, νέαξε καὶ ἀνακαίνισον. μάλιστα μὲν γὰῤ τὸν σωματικὸν δεῖ τρέχων δρόμον. εἰκότως, ἐπεὶ δὲν ἡ πολιὰ καταλάβῃ, οὐχ ὁμοίως τρέχειν δύναται. ἐν γὰῤ τῷ σώματι τὸ πᾶν τῦ ἀγῶνος ἐστὶ, σὺ δὲ τίνος ἕνεκεν ἐλαττοῖς τὸν δρόμον; ψυχῆς γὰῤ ἐν ζωῇ δεῖ χρεία, ψυχῆς διεγηγερμένης. ἡ δὲ ψυχὴ, ἐν γήρᾳ ῥώννυται, μᾶλλον τότε ἀκμάζει, τότε γαυροῦται. καθάπερ γὰῤ σῶμα ἕως μὲν αὖ νωρετοῖς σωέχηται ἀλλεπαλλήλοις νοσήμασι, κἂν ἰσχυρὸν ᾖ, τεταλαιπώρηται, ἐπεὶ δὲν ἀπαλλαγῇ τῆς πολιορκίασ ἐκείνης ἀνακτᾶται τὴν οἰκείαν δύναμιν. οὕτω καὶ ἡ ψυχὴ ἀννεότητι νωρέπει, καὶ δόξης αὐτὴν ἔρως κατέχει μάλιστα, καὶ τρυφῆς, καὶ ἀφροδισίων, καὶ πολλῶν ἄλλων φαντασιῶν, τὸ δὲ γῆ

ρασ ἐωελθὸν, πάντα ζῶντα ἀωελαύνει τὰ σωματικὰ, τὰ μὲν, ἀϱὸς τὸν κόρον, τὰ δὲ, ἀϱὸς τὴν φιλοσοφίαν. τοὺς γὰϱ τόνους χαλάσαν τῦ σώματος τὸ γῆρασ, οὐδὲ βουλομένῳ αὐτοῖς χϱᾶσθαι ἀφίησι τὴν ψυχὴν. ἀλλ' ὥσπεϱ πολεμίους παντοδαποὺς καταφεύγων, ἐν καθαϱῷ δοϱύβων χωϱίῳ καθίησιν αὐτὴν, καὶ πολλὴν ἐϱγάζεται τὴν γαλήνην, καὶ τὸν φόβον ἐωεισάγει πλείονα. εἰ γὰϱ μηδεὶς ἕτεϱος φησὶν, ἀλλ' οἱ γεγηϱακότες ἴσασιν, ὅτι τελευτῶσιν, καὶ ὅτι πάντως ἐγγὺς ἐφήκασι τῦ θανάτου. ὅταν οὖν αἱ μὲν ἐπιθυμίαι ἐξιφῶνται αἱ βιωτικαὶ, ἡ δὲ τῦ δικαστηϱίου προσδοκία ἐωεισέϱχηται τὸ δυσωδεὶς αὐτῆς μαλάττουσα, οὐχὶ μᾶλλῃ προσεκτικωτέϱα γίνεται, ἐὰν θέλῃ; τί οὖν φησιν, ὅταν ἴδωμεν τῶν νέων χαλεπωτέϱους τοὺς γέϱοντας; ὑπεϱβολὴν μοι λέγεις κακίασ. καὶ γὰϱ ἔστι τῶν μανομένων οὐδενὸς ὠθοῦντος, ὁϱῶμεν αὐτοὺς κατὰ κϱημνῶν χωϱοῦντας. ὅταν οὖν καὶ γέϱων τὰ νέων νοσῇ, ὑπεϱβολὴ κακίασ ἐστὶ, καὶ οὐδὲ ἐν νεότητι ὁ τοιοῦτος ἀπολογίαν ἔχει. οὐ γὰϱ δύναται λέγειν, ἁμαϱτίασ νεότητόσμυ, καὶ ἀγνοίασμυ μὴ μνησθῇς. ὁ γὰϱ ἐν γήϱᾳ μένων ὁ αὐτὸς, δείκνυσιν ὅτι καὶ ἐν νεότητι οὐ δι' ἄγνοιαν, οὐδὲ δι' ἀπειϱίαν, οὐδὲ ἀϱὸς τὴν ἡλικίαν τοιοῦτος ἦν, ἀλλὰ ἀϱὸς ῥᾳθυμίαν. ἐκεῖνος γὰϱ δύναται λέγειν ἁμαϱτίασ νεότητός μυ, καὶ ἀγνοίασμυ μὴ μνησθῇς, ὁ τὰ τῷ γέϱοντι προσήκοντα ποιῶν, ὁ ἐν τῷ γήϱᾳ μεταβαλλόμενος. εἰ δὲ καὶ ἐν γήϱᾳ τὰ αὐτὰ ἀχθομενεῖ, πῶς ἄξιον, γέϱοντα τὸν τοιοῦτον ὀνομάζεσθαι; οὐδὲ τὴν ἡλικίαν αἰδούμενον. ὁ γὰϱ λέγων ἁμαϱτίασ νεότητός μυ, καὶ ἀγνοίασμυ μὴ μνησθῇς, ὡς ἐν τῷ γήϱᾳ κατοϱθῶν, ζῶντα φῇ. μὴ τοίνυν ἀϱὸς τῶν ἐν τῷ γήϱᾳ γινομένων, ἀποτϱήσῃς σαυτὸν, καὶ τῆς τῶν ὧν νεότητι ἁμαϱτημάτων συγγνώμης. πῶς γὰϱ οὐκ ἄτοπον, καὶ συγγνώμης ἐωέκεινα τὸ γινόμενον; γέϱων ἐν κακοπλείοις καθέζεται, γέϱων ἐν ἱπποδϱομίᾳ καθίζει, γέϱων εἰς θέατϱον ἀναβαίνει, καθάπεϱ τὰ παιδία πϱέχων μὲν τὸ πλήθους. ὄντως αἰσχύνη, καὶ γέλως τῇ μὲν πολιᾷ κοσμεῖσθαι ἔξωθεν, ἔνδοθεν δὲ παιδὸς φϱόνημα ἔχειν. κἂν μὲν ὑβϱίσθῃς νέος, δι' ἡδέως ϖϱοβάλλεται τὰς πολιάς. σὺ αὐτὰς αἰδεῖσθαι ϖϱῶτος, εἰ δὲ σὺ τὰς ἑαυτῦ οὐκ αἰδῇ, καὶ ζῶντα γέϱων ὤν; πῶς ἂν νέον τὰς σὰς αἰδεῖσθαι ἀξιοῖς; οὐκ αἰδῇ τὰς πολιὰς, ἀλλ' αἰσχύνεις αὐτάς; ὁ θεὸς σε ἐτίμησεν ἐν τῇ λευκότητι τῶν τϱιχῶν, ἔδωκέσοι ϖϱοεδϱίαν πολλήν. τί ϖϱοδίδως τὴν τιμήν; πῶς σε αἰδεσθήσεται νέος, ὅταν αὐτὸς πλέον ἀσελγαίνῃς; ἡ μὲν πολιὰ, τότε αἰδέσιμος, ὅταν τὰ τῆς πολιᾶς ϖϱάττῃ, ὅταν δὲ νεωτεϱίζῃ τῶν νέων καταγελαστότεϱος ἔσται. πῶς οὖν δυνήσεσθε τῷ νέῳ ζῶντα παϱαινεῖν ὑμεῖς οἱ γέϱοντες μεθύοντες ὑπὸ τῆς ἀταξίασ; οὐ τῶν γεϱόντων καὶ τηγοϱῶν ζῶντα λέγω, ἀλλὰ τῶν νέων. οἱ γὰϱ ταῦτα ϖϱάττοντες, ἐμοὶ καὶ νεῖς ἑκατοντάν ἐλθωσιν ἔτος, νέοι εἰσί. καθάπεϱ οἱ νέοι καὶν παιδία μικϱὰ ὦσι, σωφϱονοῦσι δὲ, γεϱόντων εἰσὶν ἀμείνους. καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλὰ καὶ ἡ γϱαφὴ ζῶντα οἶδε τὴν διάκϱισιν. γῆϱασ γὰϱ φησιν οὐ τὸ πολυχϱόνιον, καὶ ἡλικία γήϱως, βίος ἀκηλίδωτος. καὶ γὰϱ τὴν πολιὰν τιμῶμεν, οὐκ ἐπειδὴ τὸ λευκὸν χϱῶμα τῦ μέλανος ϖϱοτιμῶμεν, ἀλλ' ὅτι τεκμήϱιον ἐστὶ τῆς ἐναϱέτου ζωῆς. καὶ ὁϱῶντες ἀϖὸ τούτου ϖοχαζόμεθα τὴν ἔνδον πολιάν. οὗ δὲ τἀναντία τῇ πολιᾷ διαϖϱάττωνται, καταγέλασοι γενήσονται διαζῶντα μᾶλλῃ, ἐπειδὴ καὶ τὸν βασιλέα τιμῶμεν, καὶ τὴν ἀλουϱγίδα, καὶ τὸ διάδημα, ἐπειδὴ σύμβολά ἐστι τῆς ἀϱχῆς.

ἐὰν δὲ ἴδωμεν

λειν, καὶ ὑπλίους ἐργάσασθαι. τὸν γὰρ νωθρὸν ὁ πλήττων, νωθρότερον ἐργάζεται. οὔτε οὖν πάντη κολακεύει, ὥστε μὴ ὑπλιωτέρους ποιῆσαι. οὔτε πάντη πλήττει, ἀλλ' ὀλίγον ἐμβάλλων τὸ πληκτικόν, πολὺ τὸ θρασυντικὸν προσφέρει διὰ τῶν ἐπαγομένων. τί γάρ φησιν; οὐχ ὡς κατεγνωκότες ὑμῶν ταῦτα λέγομεν. οὐδὲ ὡς νομίζοντες ὑμᾶς ἀκηκοότων πλήρεις, ἀλλὰ δεδοικότες μὴ οὔπω γένηθε. βέλτιον γὰρ ὑμᾶς τοῖς ῥήμασι φοβῆσαι, ἵνα μὴ τοῖς πράγμασιν ἀλγήσητε. μὴ οὖν τῆς σωτέρας παύλου μάλιστα, μὴ οὐκείως νομίζομεν, οὐδὲ τοιαῦτα
» οὐδὲ προσδοκῶμεν, οὐδὲ ἐλπίζομεν, ἀλλὰ τί; Πεπείσμεθα γὰρ περὶ ὑμῶν ἀγαπητὰ τὰ
» κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν. Ὃ καὶ γαλάτας μεθφων ἔλεγεν. ὥστοι θα δὲ εἰς ὑμᾶς ἐν κῷ, ὅτι οὐδὲν ἄλλο φρονήσετε. οὐκείως φρονεῖτε, ἀλλὰ φρονήσετε. ἐν ζωῇ θα δὲ ἀπὸ τῶν παρόντων. πεπείσμεθα δὲ περὶ ὑμῶν ἀγαπητὰ τὰ κρείττω, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν. καὶ ἐπειδὴ ἀπὸ τῶν παρόντων, οὐ ζῶσαῦτα εἶχεν εἰπεῖν, ἀπὸ τῶν παρελθόντων κατασκευάζει τὴν παραμυθίαν, καὶ φησί.
» Οὐ γὰρ ἄδικος ὁ θς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ. διακονήσαντες τοῖς ἁγίοις, καὶ διακονοῦντες. Βαβαὶ πῶς αὐτῶν ἀνεκτήσατο τὴν ψυχήν, καὶ ἀνέῤῥωσε, τῶν παλαιῶν ἀναμνήσας πραγμάτων, καὶ εἰς ἀνάγκην καταστήσας τοῦ μὴ προσδοκᾶν ἐπιλελῆσθαι τὸν θεόν. ἀνάγκη γὰρ ἐκεῖνον ἁμαρτάνειν τὸν μὴ πεπληροφορημένον περὶ τῆς ἐλπίδος, καὶ λέγειν ὅτι ἄδικος ὁ θς, ὥστε συννάγκασεν αὐτὸς πάντως προσδοκᾶν, ἐκεῖνα τὰ μέλλοντα. τὸν γὰρ ἀπογνωκότα ἀπὸ τῶν παρόντων, μὴ ἀπαῤῥύσαντα, ἀπὸ τῶν μελλόντων ἀναῤῥῶσαι δυνήσεταί τις. ὡς μὴ αὐτὸς γαλάτας μεθφων ἔλεγεν. ἐτρέχετε καλῶς. καὶ πάλιν. ἐπάθετε εἰκῆ, εἴγε καὶ εἰκῆ. ὥσπερ δὲ ἐνταῦθα μετὰ ἐπιπλήξεως τίθησι τὸ ἐγκώμιον λέγων. ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, οὕτω καὶ ἐκεῖ. θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε. μετ' ἐκπλήξεως τὸ ἐγκώμιον. πεπὶ μὲν γὰρ μεγάλων, ὅταν ἐκπέσωσι, θαυμάζομεν. ὁρᾷς ἐγκεκρυμμένον τὸν ἔπαινον τῇ κατηγορίᾳ, καὶ τῇ διαβολῇ; καὶ οὐ περὶ ἑαυτοῦ θς μόνον φῇ. ἀλλὰ καὶ περὶ πάντων. οὐ γὰρ εἰπε πεπείσμαι, ἀλλὰ πεπείσμεθα περὶ ὑμῶν τὰ κρείττονα, μὴ χρησάφησι. ἤτοι περὶ πολιτείας, ἢ ἀνδρείας ζῶντα φησί. εἶτα εἰπὼν ἀνωτέρω, ὅτι ἀδύνατος, καὶ κατάρας ἐγγύς, καὶ ὅτι εἰς καῦσιν ἔφαυ. οὐ πάντως φῇ περὶ ὑμῶν θς λέγομεν. οὐ γὰρ ἄδικος ὁ θς ἐ-
» πιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τῆς ἀγάπης. τίνος οὖν ἕνεκεν ζῶντα εἴπομεν; Ἐπιθυ-
» μοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλ-
» πίδος ἄχρι τέλους, ἵνα μὴ νωθροτεροι γένησθε. μιμηταὶ δὲ τῶν διὰ πίστεως, καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας. Ἐπιθυμοῦμεν φῇ, οὐκαῤῥα σπουδάζομεν μόνον, οὐδὲ μέχρι ῥημάτων θς βουλόμεθα, ἀλλὰ τί; Ἐπιθυμοῦμεν τῆς ἀρετῆς ὑμᾶς ἔχεσθαι, οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες φῇ, ἀλλ' ὑπὲρ τῶν μελλόντων δεδοικότες. καὶ οὐκείως, ὅτι οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, ἀλλὰ τῶν παρόντων. ἐξελύθητε γὰρ, ἐρᾷ θυμότεροι γεγόνατε. ἀλλ' ὅρα πῶς προσηνῶς ἐνέφλισε, καὶ οὐκέπληξε. τί γάρ φησι; Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν σπουδὴν ἐπιδείκνυσθαι ἄχρι τέλους. θς γὰρ τὸ θαυμαστόν ὅτι τῆς παύλου σωτέρας, ὅτι οὐκ ἐνδείκνυται, ὅτι οὐκ ἐνέδωκαν, ὅτι καθυφῆκαν. τὸ γὰρ εἰπεῖν ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν θς ὅτι ν, ὡς αὖ εἰποιζις θέλωσε σπουδά-

ζειν ἀεί, καὶ οἷος ἦς πρότερον, τοιοῦτον εἶναι, καὶ νῦν, καὶ εἰς τὸ μέλλον. ὅθεν γὲ τὸν ἔλεγχον προσωτέρω φέρων, καὶ δύσκολον εἰργάζετο. καὶ οὐκ εἰπὼν θέλω, ὅπερ ἐν διδασκαλικῆς αὐθεντίας, ἀλλ' ὁ περὶ κῆς ἐν φιλοτιμίας τὸ πλέον τὸ θέλειν ἐπιθυμῶμεν, μονονουχὶ λέγων. σὺ γνώτε κἂν φορτικόν τι φθέγξωμαι. ἐπιθυμῶμεν ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ὑμῶν ἄχρι τέλους. ἡ ἐλπὶς φησὶ διαβαστάζει. αὕτη ἀνακτᾶται πάλιν, μὴ σκυλθῆτε, μὴ ἀπελπίσητε, ἵνα μὴ περιτμηθῇ ὑμῶν ἡ ἐλπὶς ᾖ. ὁ γὲ ἀγαθὰ ἐργαζόμενος, καὶ ἀγαθὰ ἐλπίζει, κἀ οὐ δέ ποτε ἀπελπίζει ἑαυτόν. ἵνα μὴ νωθρότεροι γένησθε. ἀκμὴν γένησθε, καὶ μὴν ἀνωτέρω ἔλεγεν, ἐστὲ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. ἀλλ' ὅρα πῶς μέχρι τῆς ἀκοῆς τὴν νωθρότητα ἔφησεν. ἐνταῦθα δὲ τὸ αὐτὸ δὴ θέλει αἰνίττεται ἀντὶ τοῦ μὴ ἐναπομείνητε φῇ, ἀλλὰ πάλιν αὖ τὸ εἰς τὸν μέλλοντα ἐξάγει καιρὸν τὸν ἀνδύθωνον. εἰπὼν ἵνα μὴ νωθρότεροι γένησθε, ἐκείνου γὲ τοῦ μήπως παρόντος, οὐκ ἂν εἴημεν ὑστερούμενοι. ὁ μὲν γὲ εἰς τὸ παρὸν παρακαλούμενος σπουδάζειν, ὡς ἐξ ὑμῶν ἴσως, μὴ ὀκνηρότερος ἔσται. ὁ δὲ εἰς τὸ μέλλον, οὐχ οὕτως. ἐπιθυμῶμεν δέ φησιν ἕκαστον ὑμῶν. πολλὴ ἡ φιλοτιμία, καὶ μεγάλων, καὶ μικρῶν ὁμοίως κήδεται, καὶ πάντας οἶδε, καὶ οὐδένα παροράᾳ, ἀλλὰ τὴν αὐτὴν περὶ ἕκαστον κηδεμονίαν ἐπιδείκνυται, καὶ τὴν ἰσοτιμίαν πρὸς πάντας, ὅθεν καὶ μᾶλλόν ἐστιν ἃ δὲ ἔξεστι τὸ φορτικὸν τῶν ῥημάτων. ἵνα μὴ νωθρότεροι γένησθε φῇ. καθάπερ γὲ ἡ ἀργία τὸ σῶμα βλάπτει, οὕτω καὶ τὴν ψυχὴν ἡ ἀργία τῶν ἀγαθῶν ἀσθενεστέραν ἐργάζεται, καὶ ἀδυνατωτέραν. μιμηταὶ δέ φησι τῶν διὰ πίστεως, καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας. καὶ τίνες οὗτοί εἰσιν, ἐξῆς λέγει. πρότερον εἰρηκε. μιμήσασθε τὰ πρότερα ὑμῶν κατορθώματα, εἶτα ἵνα μὴ λέγωσι ποῖα, αὐτοὺς ἀναγει ἐπὶ τὴν πρώτην ἀρχήν, τῶν μὲν κατορθωμάτων οἰκοθεν αὐτοῖς φέρων τὰ ὑποδείγματα, τὸ δὲ νομίζειν ἐγκαταλελεῖφθαι, ἀπὸ τοῦ πατριάρχου, ἵνα μὴ νομίσωσιν ὡς οὐδενὸς ἀξίοι λόγου καταφρονηθέντες ἐγκατελείφθησαν, ἀλλ' εἰδέναι ἔχωσιν ὅτι τῶν μάλιστα γενναίων ἀνδρῶν ἐστιν ἔργον, τὸ διὰ πίστεως καὶ μακροθυμίας κληρονομεῖν τὰς ἐπαγγελίας. καὶ τίνες οὗτοί εἰσιν, ἐξῆς λέγει. πρότερον εἰρηκε. μιμήσασθε τὰ πρότερα ὑμῶν κατορθώματα, εἶτα ἵνα μὴ λέγωσι ποῖα, αὐτοὺς ἀνά

Η' ἠθικόν.

Ταῦτα ἀκούοντες, παρακαλῶ διακονῶμεν τοῖς ἁγίοις. πᾶς γὰρ πιστὸς ἅγιος, καὶ διὰ τοῦτο πιστός ἐστι. κἂν κοσμικὸς ᾖ τις, ἅγιός ἐστιν. ἡγίασται γὰρ φησιν ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί. ὅρα πῶς τὸν ἀγιασμὸν ἡ πίστις ποιεῖ. κἂν κοσμικὸν τοίνυν ἴδωμεν ἐν τῳ εἰσιέναι, ὀρέγωμεν χεῖρα, μὴ πρὸς τοὺς ἐν ὄρεσι μόνον καθημένους ὦμεν εὐσεβεῖς. ἅγιοι μὲν γὰρ ἐκεῖνοι, καὶ βίῳ, καὶ πίστει, ἅγιοι δὲ καὶ οὗτοι τῇ πίστει, πολλοὶ δὲ καὶ βίῳ. μὴ, ἐὰν ἴδωμεν μοναχὸν εἰς φυλακὴν τότε εἰσέλθωμεν. ἐὰν δὲ κοσμικὸν, μὴ εἰσέλθωμεν. ἅγιος ἐστι, καὶ οὗτος, καὶ ἀδελφός. τί οὖν φησιν ἐὰν ᾖ ἀκάθαρτος, καὶ μιαρός; ἄκουε τοῦ χῦ λέγοντος, μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. σὺ δὲ τὸν θεὸν ποίησον. καὶ τί λέγω; κἂν ἕλλιμα ἴδωμεν ἐν περιστάσει, δεῖ ποιεῖν δεῖ, καὶ ἁπλῶς πάντα ἀνθρώπου ἐν περιστάσεσιν ὄντα, πολλῷ δὲ μᾶλλον πιστὸν κοσμικόν. ἄκουε παύλου λέγοντος. ὅπι τὸ καλὸν ποιεῖτε πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. ἀλλ' οὐκ οἶδα πόθεν ἔθος εἰσενήνεκται, καὶ πόθεν αὕτη κεκράτηκεν ἡ σωφροσύνη. ὁ γὰρ τοὺς μοναζόντας μόνον σπουδαίους, κἀκείνους δεῖ ποιεῖν θέλων, καὶ ἐκείνους δὲ πάλιν περιεργαζόμενος, μὴ ἐλεῶν, ἐὰν μὴ ᾖ ἄξιος, ἐὰν μὴ ᾖ δίκαιος, ἐὰν μὴ σημεῖα ποιῇ, οὐκ ὀρέγων χεῖρα, τὸ πλέον τῆς ἐλεημοσύνης ἐξέλιπε, μὴ ἔθος δὲ αὐτὸ τῷ χρόνῳ πάλιν ἀναιρήσει. καίτοιγε ἐλεημοσύνη ἐκείνη ἐστὶν, ἡ εἰς τοὺς ἁμαρτωλοὺς, ἡ εἰς τοὺς ψευδύνους. ἐλεημοσύνη γὰρ ἔθος ἐστὶν οὐ τὸ τοὺς κατωρθωκότας, ἀλλὰ τὸ τοὺς πεπλημμεληκότας ἐλεεῖν, καὶ ἵνα μάθῃς, ἄκουε τῆς παραβολῆς. κατιέναι φησὶ Ἰὰς ἀπὸ ἱεροσολύμων εἰς ἱεριχὼ, μὴ λῃσαῖς περιέπεσε, μὴ τυπτήσαντες αὐτὸν, εἰάσαν παρὰ τὴν ὁδὸν ἡμιθανῆ κατελθόντες. ἦλθε δέ τις λευίτης, καὶ ἰδὼν αὐτὸν παρῆλθεν. ἦλθε δὲ Ἰὰς σαμαρείτης, καὶ πολλῷ τῷ κινδύνῳ ἐποιήσατο, ἐπέδησε τὰ τραύματα, ἐπέχεεν ἔλαιον, ἐθηκεν ἐπὶ τὸν ὄνον, ἤγαγεν αὐτὸν εἰς τὸ πανδοχεῖον, εἶτε τῷ πανδοχεῖ, δόξαν ἔσχεν αὐτὸν. καὶ ὅρα τὴν φιλοπμίαν τὴν πολλήν. καὶ ἐγώσοι δώσω φησὶν, ὅσον ἂν ἀναλώσῃς. τίς οὖν ἐστιν ὁ πλησίον αὐτοῦ; ὁ ποιήσας φησὶν τὸ ἔλεος. μετ' αὐτοῦ πορεύου οὖν φησι, καὶ σὺ, καὶ ποίει ὁμοίως. καὶ θέα ποίαν εἶπε παραβολήν. οὐκ εἶπεν ὅπι ἰουδαῖος εἰς σαμαρείτην ἐποίησεν, ἀλλ' ὅπι σαμαρείτης τὴν φιλοτιμίαν ἐκείνην ἅπασαν ἐνεδείξατο. ταῦτα τοίνυν ἅπαντα ἀκούσαντες, μὴ τῶν οἰκείων τῆς πίστεως μόνον φροντίζωμεν, τῶν δὲ ἄλλων ἀμελῶμεν. οὕτω τοίνυν καὶ σὺ, ἐὰν ἴδῃς τινὰ κακῶς πάσχοντα, μηδὲν περιεργάσου λοιπὸν. ἔχει τὸ δικαίωμα τῆς βοηθείας, τὸ κακῶς παθεῖν αὐτόν. εἰ γὰρ ὄνον ὃν ἐὰν ἴδῃς ἀγχόμενον ἐγείρεις αὐτὸν, καὶ οὐ περιεργάζῃ, τίνος ἐστὶ, πολλῷ μᾶλλον οὐ δεῖ περιεργάζεσθαι τίνος ἐστὶ. τὸ δὲ ὅτι, κἂν ἕλλιμα ᾖ, κἂν ἰουδαῖος, ἀλλὰ βοηθείας δεῖται. εἰ μὲ γὰρ ἐξετάζειν, καὶ κρίνειν ἐστὶ πράπησοι, καλῶς ταῦτα ἔλεγες, νυνὶ δὲ ἡ συμφορὰ ταῦτα οὐκ ἀφίησί σε ἐξετάζειν. εἰ γὰρ οὐδὲ ὑγιαίνοντας περιεργάζεσθαι χρὴ, οὐδὲ τὰ ἑτέρων πολυπραγμονεῖν, πολλῷ μᾶλλον τοὺς κακῶς πάσχοντας. ἄλλως δὲ πῶς εἰδὲς δυνησόμενον αὐτὸν, δυσωπήσαντα, ἵνα εἴπῃς ὅπι πονηρός ἐστι φανῶλος. εἰ δὲ κακῶς πάσχοντα ὁρᾷς, μὴ λέγε ὅπι πονηρός ἐστιν. ὅταν μὲν γὰρ δυσωπῇ, καλῶς ταῦτα λέγομεν. ὅταν δὲ ἐν συμφορᾷ ᾖ, μὴ βοηθείας δεῖται, οὐ χρὴ λέγειν, ὅπι πονηρός ἐστιν. ὠμότης γὰρ ἔσχε, καὶ ἀπανθρωπίας, καὶ ἀλαζονείας. τί τῶν ἰουδαίων ἀνομώτερον γέγονεν εἰπέμοι; ἀλλ' ὅμως ἐκόλασεν αὐτοὺς ὁ θς, καὶ δικαίως, καὶ γὰρ δίκαια. καὶ ὅμως τοὺς μὲν σωαλγοῦντας αὐτοῖς ἀπεδέξατο,

τοὺς δὲ ἐφιαδέντας ἐκόλασεν. οὐκ ἔπαχον γάρ φησιν οὐδὲν ὠφελήσει τὴν σωτηρίαν ἰωσὴφ. καὶ πάλιν φῆ. ἐκπρίου κτεινομένους, μὴ φείσῃ. οὐκ εἶτε περιεργάσαι, καὶ μάθετε τίς ὅδι. καίτοι ὡς τὰ πολλὰ πονηροὶ οἱ ἁπαγόμενοι. ὅδε γάρ ὅδι μάλιστα ἐλεημοσυνῶν. ὁ μὲν γὰρ φίλον δῦ ποιῶν, οὐ διὰ τὸν θεὸν πάντως ποιεῖ. ὁ δὲ τὸν ἀγωνῶτα, οὗτος καθαρῶς διὰ τὸν θεὸν ἐργάζεται, μὴ φείσῃ χρημάτων, κἂν πάντα δέοι κενῶσαι, δός. ἡμεῖς δὲ ἀγχομένους ὁρῶντες ἀποδυρομένους μυρίων θανάτων χαλεπώτερα πάσχοντας, καὶ ἀδίκως πολλάκις, φειδόμεθα τῶν χρημάτων, καὶ ἀφειδοῦμεν τῶν ἀδελφῶν. τῶν ἀψύχων μὲν κηδόμεθα, ψυχῆς δὲ ἀμελοῦμεν. καίτοιγε παῦλος φῆ ἐν πράξαπη παιδεύειν τοὺς ἀνιαζιαζιαζ

κεῖ, ἀλλὰ διπλῶ ποιεῖται τὴν παράκλησιν, ἐπηγγείλατο τῷ ἀβραάμ. καὶ τὰ μὲν ἐν τοῦ-
τοις, μετὰ μακρὸν χρόνον ἔδωκε, τὰ δὲ ἐκεῖ, οὐδέπω. καὶ οὕτω μακροθυμήσας, ἐπέτυχε
τῆς ἐπαγγελίας. ὁρᾷς ὅτι οὐχ ἡ ἐπαγγελία μόνη τὸ πᾶν εἰργάσατο ἀλλὰ, καὶ ἡ μακροθυ-
μία; ἐν τούτοις δὲ φοβεῖ αὐτούς, δεικνὺς ὅτι πολλάκις ἐγκόπτεται ἐπαγγελίαι διὰ ὀλιγοψυ-
χίαν. καὶ διὰ τοῦτο ἔδειξε μὲν διὰ τὸ λαοῦ. ἐπειδὴ γὰρ ὠλιγοψύχησαν, διὰ τοῦτο τῆς ἐπαγγε-
λίας ἐπέτυχον οὐδαμῶς. τὸ δὲ ἀναπόδεικτον δείκνυσι διὰ τὸν ἀβραάμ. εἶτα πρὸς τῷ τέλει, καὶ
πλεῖόν τι ποιεῖ. ὅτι καὶ μακροθυμήσαντες, οὐκ ἐπέτυχον, καὶ οὐδὲ οὕτως ἀφ' ἑαυτῶν.
θρωποι μὲν γὰρ κατὰ τὸ μείζονος ὀμνύουσι, μὴ πάσης αὐτοῖς ἀνταπολογίας πέρας εἰς βεβαίω-
σιν ὅρκος. ὁ δὲ θεὸς ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ. καλῶς, τίς
οὖν ἐστιν ὁ ὀμόσας τῷ ἀβραάμ, οὐχὶ ὁ υἱός; οὔ φησι, μάλιστα μὲν αὐτὸς, ἀλλ' οὐκ ἀμφισβη-
τῶ. ὅταν οὖν αὐτὸς ὀμνύῃ. ἀμὴν ἀμὴν λέγω ὑμῖν, τὸν αὐτὸν ὅρκον, οὐ δηλονότι ἐκ τοῦ μὴ
ἔχειν κατὰ μείζονος ὀμόσαι; ὥσπερ γὰρ ὁ πατὴρ ὤμοσεν, οὕτω καὶ ὁ υἱὸς ὀμνύει καθ' ἑαυτοῦ λέ-
γων. ἀμὴν ἀμὴν λέγω ὑμῖν. ἐν τούτοις δὲ αὐτὸς ἀναμιμνήσκει, καὶ τῶν ὅρκων τοῦ χῦ, ὧν συ-
νεχῶς ἔλεγεν. ἀμὴν ἀμὴν λέγω σοι, ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. τί ἐστι
καὶ πάσης αὐτοῖς ἀνταπολογίας πέρας εἰς βεβαίωσιν ὅρκος; ἀντὶ τοῦ ἐκ τούτου λύεται πάσης
ἀνταπολογίας ἀμφισβήτησις. οὐ τῆσδε, ἢ τῆσδε, ἀλλὰ πάσης. ἔδει μὲν οὖν καὶ χωρεῖς ὅρ-
» κου πιστεύεσθαι τὸν θεόν, Ἐν ᾧ περισσότερον βουλόμενος ὁ θεὸς φησὶν ἐπιδεῖξαι τοῖς
» κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ.
Ἐν τούτοις δὲ, καὶ τοὺς πιστοὺς περιλαμβάνει. διὰ τοῦτο καὶ τούτοις τῆς ἐπαγγελίας μέμνηται,
τ προτέρας κοινῶς γενομένης, ἐμεσίτευσε φησὶν ὅρκῳ. πάλιν ἐν τούτοις δὲ τὸν υἱὸν φησι μεταξὺ
» ἀνθρώπων, καὶ θεοῦ μεσίτην γεγονέναι. Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς
» ἀδύνατον ψεύσασθαι τὸν θεόν. Ποίου, καὶ ποίου τοῦτε εἰπεῖν, καὶ ὑποπέσθαι, τοῦτε ὅρ-
κον προσθεῖναι τῇ ὑποπτεύσει. ἐπειδὴ γὰρ παρὰ ἀνθρώποις δοκεῖ πιστότερον εἶναι τὸ τοῦ
ὅρκου, διὰ τοῦτο καὶ αὐτὸ προσέθηκεν. ὁρᾷς ὅτι οὐ τὴν ἀξίαν τὴν ἑαυτοῦ σκοπεῖ, ἀλλ' ὅ-
πως τοὺς ἀνθρώπους πείσῃ, καὶ ἀνάξια περὶ ἑαυτοῦ ἀνέχεται λέγεσθαι; τουτέστι πληροφο
ρῆσαι θέλων. καὶ διὰ μὲν τοῦ ἀβραάμ, δείκνυσι τοῦ θεοῦ ὂν τὸ πᾶν οὐ τῆς μακροθυμίας
ἐκείνου, εἴγε καὶ ὅρκον ἠνέσχετο προσθεῖναι, εἰ καθ' οὗ ὀμνύουσιν ἄνθρωποι, καὶ ὁ θεὸς κα-
τ' αὐτοῦ ὤμοσε, τουτέστι καθ' ἑαυτοῦ. ἀλλ' ἐκεῖνοι μὲν ὡς μείζονος, οὗτος δὲ οὐχ ὡς μείζονος,
καὶ ὅμως ἐποίησεν. οὐ γὰρ ἴσον, ἄνθρωπον καθ' ἑαυτοῦ ὀμόσαι, καὶ θεόν. ὁ γὰρ ἄνθρωπος ἐξ
ὧν ἑαυτοῦ οὐκ ἔχει. ὁρᾷς τοίνυν ὅτι οὐ πρὸς τὸν ἀβραὰμ μόνον, ἢ πρὸς ἡμᾶς διὰ τοῦτο εἴρηται.
» Ἰσχυρὰν φησὶ παράκλησιν ἔχομεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος.
Καὶ ἐν τούτοις δὲ πάλιν μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας, νῦν φησι, καὶ οὐκέτι τὸν
ἐπειδὴ ὤμοσεν. ὅρκος δέ τίς ἐστιν, ἐδήλωσεν εἰπών, τὸ κατὰ τοῦ μείζονος ὀμόσαι. ἀλλ' ἐ-
πειδὴ ἀπιστόν ἐστι τὸ τῶν ἀνθρώπων γένος, συγκάτεισιν εἰς τὰ αὐτὰ ἡμῖν. ὥσπερ οὖν ὁμνυ
σι δι' ἡμᾶς, καίτοι ἀνάξιον αὐτοῦ τὸ μὴ πιστεύεσθαι, οὕτω καὶ τὸ ἐμαθητεύθην ἐξῶνε ἐπαθητεύθην εἰρη
κεν. ἐπειδὴ οἱ ἄνθρωποι οὕτω νομίζουσι μᾶλλον εἶναι ἀξιοπιστότερον τὸ διὰ τῆς πείρας ἐλθεῖν.
τί ἐστι τῆς προκειμένης ἐλπίδος; ἀπὸ τούτων τὰ μέλλοντα φῶ τοιαζόμεθα. εἰ γὰρ τοῦ

τα μετὰ τοσοῦτον ἐξέβη χρόνον, πάντως κἀκεῖνα. ὥστε τὰ πρὸς τὸν ἀβραὰμ γεγενημένα, πρ
» φητεύεται ἡμᾶς καὶ περὶ τῶν μελλόντων. Ἵν' οὖν ἀσφάλειαν ἔχωμεν τῆς ψυχῆς ἀσφαλῆτε,
» καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ
» ἡμῶν εἰσῆλθεν Ἰησοῦς κατὰ τὴν τάξιν μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

Ἐν τῷ κόσμῳ ἐπόντας, καὶ οὐδέπω μεταστάντας τοῦ βίου, δείκνυσιν ἤδη ὄντας ἐν τοῖς ἐπηγγελμένοις, διὰ γὰρ τῆς ἐλπίδος ἤδη ἐν τῷ οὐρανῷ ἐσμέν. εἴωθεν ἀναμένειν. πάντως γὰρ ἔσται. εἶτα πληροφορῶν λέγει, μᾶλλον δὲ τῇ ἐλπίδι. καὶ οὐκ εἴωθεν ἡμεῖς ἐσμεν ἔνδον, ἀλλ' αὐτὴ εἰσῆλθεν ἔνδον. ὅπερ ἀληθέστερον ἴσως, καὶ πιθανώτερον. ὡσπερ δὲ ἡ ἄγκυρα ἐξαρτηθεῖσα τοῦ πλοίου, οὐκ ἀφίησιν αὐτὸ περιφέρεσθαι, κἂν μυρίοι παρασαλεύωσιν αὐτό, ἀλλ' ἐξαρτηθεῖσα ἑδραῖον ποιεῖ, οὕτω καὶ ἡ ἐλπίς. καὶ ὅρα τί σφόδρα ἁρμόδιον εὗρεν εἰκόνα. οὐ γὰρ εἴωθε θεμέλιον, ὅπερ ἄνωθέν ἐστιν, ἀλλὰ ἄγκυραν. τὸ γὰρ ἐν σάλῳ ὄν, καὶ οὐ σφόδρα δοκοῦν ἑδράζεσθαι τῆς ὑγρᾶς, ὡς γῆς ἔφυκε, καὶ σαλεύεται, καὶ οὐ σαλεύεται. πολὺ μὲν γὰρ τῶν σφόδρα τολμηρῶν, καὶ φιλοσόφων, εἰκότως ἐκεῖνο τέθεικεν ὁ λέγων, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ τὴν πέτραν, πολὺ δὲ τῶν ἀπαγορευόντων, καὶ ὀφειλόντων διὰ τῆς ἐλπίδος διαβαστάζεσθαι, οἰκείως δὲ τέθεικεν ὁ παῦλος. ἡ μὲν γὰρ ἄλη, καὶ ὁ πολὺς χειμὼν σαλεύει τὸ στάσφος. ἡ δὲ ἐλπὶς, οὐκ ἀφίησι περιφέρεσθαι, κἂν μυρίοι παρασαλεύωσιν αὐτὸ. ὥστε εἰ γε μὴ ταύτην εἴχομεν, πάλαι ἂν κατεποντίσθημεν. οὐκ ἐν τοῖς πνευματικοῖς δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς βιωτικοῖς, πολλὴν ταύτης εὕροις ἂν τὴν ἰσχύν. οἷον πολὺ ἐμπορίας, πολὺ γεωργίας, πολὺ στρατείας, ἐὰν μὴ ταύτην εὐθέως προθῆται, οὐδ' ἂν ἄψαιτο ἔργου. ἄγκυραν δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλ' ἀσφαλῆτε, καὶ βεβαίαν, οὐ σαλευομένην, εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος. ἀντὶ τοῦ διϊκνουμένην εἰς τὸν οὐρανόν. εἶτα μὴ τὴν πίστιν ἐπήγαγεν, ἵνα μὴ μόνον ἐλπὶς ᾖ, ἀλλὰ μὴ ἀληθὴς σφόδρα. μυεῖ γὰρ τὸν ὅρκον, καὶ ἑτέραν πίστωσι τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν, ὅτι πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς. ὁ δὲ πρόδρομος, πινῶν ὅτι πρόδρομος, ὡσπερ Ἰωάννης τοῦ Χυ. καὶ οὐκέτι ἁπλῶς εἰσῆλθεν, ἀλλ' ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν, ὡς καὶ ἡμῶν ὀφειλόντων καταλαβεῖν. οὐ πολὺ γὰρ τοῦ προδρόμου, καὶ τῶν ἑπομένων τὸ μέσον, ἕτοιμοι οὐδ' ἂν εἶεν πρόδρομος. τὸν γὰρ πρόδρομον, καὶ τοὺς ἑπομένους ἐν τῇ αὐτῇ χρὴ εἶναι ὁδῷ, καὶ ἐπικαταλαμβάνειν. κατὰ τὴν τάξιν φησὶ μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα. ἰδοὺ καὶ ἄλλη παράκλησις. εἶγε αὖθις ὁ ἀρχιερεὺς ἡμῶν, καὶ πολὺ βελτίων τῶν παρὰ Ἰουδαίοις, οὐ τῷ τρόπῳ μόνον, ἀλλὰ καὶ τῷ τόπῳ, καὶ τῇ σκηνῇ, καὶ τῇ διαθήκῃ, καὶ τῷ προσώπῳ, καὶ πάντα δὲ εἰς τὸ κατὰ σάρκα εἴρηται.

Χρὴ τοίνυν

Η' Ἠθικόν.

Χρὴ τοίνυν, ἡμᾶς τοὺς ὧν ὄντιν ἱερεῖς, σφόδρα εἶναι βελτίους, ἢ ὥστε πολὺ τὸ μέσον ἀπολείπειν, ἢ τῶν Ἰουδαίων, τοσοῦτον ἡμῶν, ἢ Ἰουδαίων τὸ μέσον. ὅρα γάρ, αὖθις ἐχόμενα τὸ ἱερεῖον, αὖθις τὸν ἱερέα, αὖθις τὴν θυσίαν. τοιαύτας ἀναφέρωμεν θυσίας τὰς ἐν ἐκείνῳ δυναμένας προσφέρεσθαι τῷ θυσιαστηρίῳ, οὐκέτι πρόβατα, ἢ βόας, οὐκέτι αἷμα, ἢ κνίσαν. πάντα ταῦτα λέλυται, καὶ ἀντεισενήνεκται ἀντὶ τούτων ἡ λογικὴ λατρεία. τί δέ ὄντιν λογικὴ λατρεία; τὰ ἀπὸ ψυχῆς, τὰ ἀπὸ πνεύματος. πνεῦμα φησὶν ὁ θεὸς. καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ χρὴ προσκυνεῖν, ὅσα μὴ δεῖται σώματος, ὅσα μὴ δεῖται ὀργάνων, μηδὲ τόπων, ὧν αὐτὸς. τί ὄντιν ἱερεῖα; οἷον ἐπιείκεια, σωφροσύνη, ἐλεημοσύνη, ἀνεξικακία, μακροθυμία, ταπεινοφροσύνη, τὰ θύματα. ταῦτα ἢ ἐν τῇ παλαιᾷ ἴδοις ἂν ἄνωθεν προδιαπεπτυπωμένα. θύσατε φῶς τῷ θεῷ θυσίαν δικαιοσύνης, θύσατε θυσίαν αἰνέσεως, ἢ θυσία αἰνέσεως δοξάσει με, ἢ θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον. ἢ τί κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τὸ ἀκούειν αὐτοῦ; ὁλοκαυτώματα, ἢ περὶ ἁμαρτίας οὐκ ἠθέλησας. τότε εἶπον ἰδοὺ ἥκω τοῦ ποιῆσαι ὁ θεός τὸ θέλημά σου. ἢ πάλιν. ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρετε; ἀπόσμησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι. ἀλλ' ἀντὶ τούτων, ἔλεον θέλω, καὶ οὐ θυσίαν. ὁρᾷς οἵαις θυσίαις διαρεθεῖται ὁ θεός; ὁρᾷς καὶ πάνυ θεν ἤδη τὰς μὲν, ἐκκεχωρηκυίας; τὰς δὲ, ἀντεισελθούσας; ταύτας τοίνυν προσάγωμεν. ἐκείναις μὲν γὰρ πλούτου, καὶ τῶν ἐχόντων εἰσὶν, αὗται δὲ ἀρετῆς, ἐκείναις ἔξωθεν, αὗται ἔνδοθεν. ἐκείνας καὶ ὁ τυχὼν ἐργάσασθαι δύναται· αὐτὰς, ταύτας δὲ ὀλίγοι. ὅσῳ γὰρ προβάτου κρείττων ὁ ἄνθρωπος, τοσούτῳ καὶ ἐκείνης ἡ θυσία. σὺ ταῦτα γὰρ τῷ ψυχικῷ σου ἀναφέρεις θύματι. ὅθεν καὶ ἄμωμα θύματα τὰ ὄντως ὁλοκαυτώματα τὰ τῶν μαρτύρων σώματα. ἐκεῖ, καὶ ψυχὴ, καὶ σῶμα. ἐκεῖνα σωματικῷ δυνάμενα ἔχει μεγάλῳ. δύνασαι καὶ σὺ ἐὰν θέλῃς, τοιαύτην θυσίαν ἀναγαγεῖν. τί γάρ ἐὰν μὴ τῷ πυρὶ καύσῃς τὸ σῶμα; ἀλλ' ἑτέρῳ πυρὶ δύνασαι. οἷον τῷ τῆς πενίας τοῦ ἑκουσίου, τῷ τῆς θλίψεως. τὸ γὰρ ἐξεῖναι μὴ πλουτεῖν, καὶ πολυτελίας διάγειν, τὸν δὲ ἐπιμοχθεῖν, καὶ πικρὸν ἀναιρεῖσθαι βίον, καὶ σῶμα νεκρῶσαι, οὐχὶ ὁλοκαύτωσις ἐστί; νέκρωσον σου τὸ σῶμα, καὶ φλόγωσον, καὶ λίμνη καὶ σὰρξ τοῦ μαρτυρίου τούτου τὸν στέφανον. ὅπερ γὰρ ἐκεῖ τὸ ξίφος ἐργάζεται, τοῦτο ἐνταῦθα ἡ προθυμία ποιείτω. μὴ καιέτω, μὴ δὲ κατεχέτω χρημάτων ἔρως, ἀλλὰ κατακαιέσθω, καὶ κατασβεννύσθω ἡ ἐπιθυμία αὐτοῦ ἡ ἄτοπος τῷ πυρὶ τοῦ πνεύματος. κατακοπτέσθω τῇ μαχαίρᾳ τοῦ πνεύματος. αὕτη θυσία καλή. κἂν τῷ μὲν ἐπιτελουμένη, αὖθις δὲ θεὸς ἀναλαμβανομένη. οὐχὶ θαυμάζομεν ὅτι τὸ παλαιὸν πῦρ κατὸν ἅπαντα ἀνήλισεν; ἔξεστι καὶ νῦν πῦρ κατελθεῖν πολὺ θαυμαστότερον ἐκείνου, καὶ πάντα ἀναλῶσαι τὰ προκείμενα. μὴν δὲ οὐκ ἀναλῶσαι ἀλλ' ἀναγαγεῖν εἰς τὸν οὐρανόν. οὐ γὰρ τέφραν αὐτὰ ποιεῖ, ἀλλὰ δῶρα προσφέρει τῷ θεῷ, τοιοῦτα ἦσαν οἷα τοῦ κορνηλίου προσευχαί. αἱ δὲ χάσου γάρ φησι, καὶ αἱ ἐλεημοσύναισου ἀνέβη-

σαν εἰς μνημόσυνον ἔμπροσθεν τοῦ θεοῦ. ὁρᾷς συζυγίαν ἀρίστην; τότε ἀκουόμεθα, ὅταν μὴ αὐτοὶ ἀκούωμεν τῶν προσιόντων πενήτων. ὃς ἀποφράσει φησὶ τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ θεός. μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν, καὶ πένητα. ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κς. ποία δὲ πονηρὰ, ἀλλ' ἢ ἡ ἡμέρα ἐκείνη τοῖς ἁμαρτωλοῖς. τί ὅτιν ὁ συνιὼν; ὁ νοῶν τί ὅτι πένης, ὁ τὴν θλῖψιν αὐτοῦ κατανοῶν. ὁ γὰρ μαθὼν αὐτοῦ τὴν θλῖψιν, πάντως καὶ δι' θεὸς αὐτὸν ἐλεήσει. ὅταν ἴδῃς πένητα, μὴ παρασράμῃς, ἀλλὰ δι' θεὸς ἐννόησον τίς αὖ ἦς, εἰ σὺ ἦς ἐκεῖνος. τί οὖν ἂν ἤθελησας πάντας ποιεῖν; ὁ συνιὼν φησὶν, ἐννόησον ὅτι ὁμοίως σοὶ ἐλεύθερος ἐστὶ, καὶ τῆς αὐτῆς σοι κοινωνίας, καὶ πάντα σοι κοινὰ κέκτηται. καὶ οὐδὲ τῶν κυνῶν πολλάκις ἴσος ἐστὶ τῶν σῶν. ἀλλ' οἱ μὲν, κορέννυνται οὗτος δὲ πολλάκις ἐκοιμήθη πεινῶν. καὶ τῶν δούλων τῶν σῶν ὁ ἐλεύθερος ἀζημότερος γέγονεν. ἀλλ' ἐκείνοισι χρέαν πληροῦσι; ποίαν δὴ ταύτην; δουλεύουσί σοι καλῶς; ἐὰν οὖν δείξω καὶ σὲ ὄντα χρέαν σοι πληροῦντα πολλῷ μείζονα ἐκείνων; παραστήσεται γάρ σοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ ἐξαιρήσεταί σε τοῦ πυρός. τί τοιοῦτον οἱ δοῦλοι ποιοῦσι πάντες; ὅτε ἢ ταβιθᾶ ἐτελεύτησε, τίς ἀνέστησεν αὐτήν; δοῦλοι περιστάντες, ἢ πτωχοί; σὺ δὲ οὐδὲ τῶν δούλων τὸν ἐλεύθερον ἐν ἴσῳ ποιεῖν ἐθέλεις. πολύς ὅτιν ὁ κρυμὸς, καὶ ἔρριπται ῥακία ἔχων ὁ πένης, ἀποτεθνηκὼς, κροτῶν τοὺς ὀδόντας, καὶ τῇ ὄψει, καὶ τῷ χείματι κάνὸς παρακαλέσαι, σὺ δὲ δεξιούμενος, καὶ μεθύων παρέρχῃ. καὶ πῶς ἀξιοῖς τὸν θεὸν ἐν συμφορᾷ σε ὄντα ἐλεεῖσθαι; πολλάκις δὲ καὶ ἐρεῖς λέγεις, ἐγὼ εἰ ἤμην, καὶ ἔλαβον πολλὰ ἁμαρτόντα τινά, ἀφῆκα αὐ αὐτόν, καὶ ὁ θεὸς οὐκ ἀφίησιν. μὴ ἐρεῖς εἴπῃς. οὐδένα ἁμαρτόντα εἰς σὲ οὐ δύνασαι ἀπαλλάξαι. ἐρεῖς γε εἰρορᾷς, καὶ πῶς σε τὸν ἁμαρτάνοντα εἰς αὐτὸν ἀφίσει. ἆρα οὐχὶ γεέννης ἄξια ταῦτα; καὶ τί θαυμαστόν; σῶμα μὲν πολλάκις νεκρὸν ἀναίσθητον οὐκέτι τῆς τιμῆς αἰσθανόμενον, μύροις, καὶ ποικίλοις, καὶ διαχρύσοις ἱματίοις περιστέλλεις, τὸ δὲ ἀληθῶς, καὶ κατακοσμούμενον, καὶ βασανιζόμενον, καὶ κατατεινόμενον ὑπὸ λιμοῦ, καὶ κρυμοῦ, περιορᾷς, καὶ πλέον τῆς κενοδοξίας χαρίζῃ, ἢ τῷ φόβῳ τοῦ θεοῦ. καὶ εἰ δὲ μέχρι τούτου. ἀλλὰ δι' θεὸς κατηγορίαν κατὰ τοῦ προσιόντος. τί γὰρ οὐ περιεργάζεται φῇς; τί δὲ ἀργῶν τρέφεται, εἰ τέμοι; σὺ δὲ ἐργαζόμενος ἔχεις ἃ ἔχεις; οὐχὶ κλῆρον πρῶον παραλαβών; εἰ δὲ καὶ ἐργάζῃ, διαζεύξ ὀνειδίζεις ἑτέρῳ. οὐκ ἀκούεις παύλου λέγοντος; μετὰ γὰρ τὸ εἰπεῖν ὅτι ὁ μὴ ἐργαζόμενος μὴ δὲ ἐσθιέτω, φησὶν, ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐγκακήσητε. ἀλλὰ τί φησὶν; ἐπιδέτης ἐστὶ. τί φῂς ἄνθρωπε; ἄρτου ἑνὸς ἕνεκεν, καὶ ἱματίου ἐπιδέτην καλεῖς; ἀλλὰ δι' θεὸς πωλεῖ αὐτὸ φῇ. σὺ δὲ πάντα τὰ σαυτοῦ καλῶς διοικεῖς; τί δὲ πάντες ἀπὸ ἀργίας πένονται; οὐδεὶς ἀπὸ ναυαγίων, οὐδεὶς ἀπὸ δικαστηρίων; οὐδεὶς ἀπὸ κλοπῆς; οὐδεὶς ἀπὸ κανδύνων; οὐδεὶς ἀπὸ νόσων; οὐδεὶς ἀπὸ ἄλλης περιστάσεως; ἀλλ' αὖ ἀκούσωμεν τινὸς τοιαῦτα ἀποδυρομένου, καὶ μεγάλα βοῶντος, καὶ γυμνοῦ ἀναβλέποντος εἰς τὸν οὐρανὸν, καὶ κομῶντος, καὶ ῥακίαι ἠμφιεσμένου, δι' θεὸν τὸν ἐπιδέτην τὸν ἀπατεῶνα, τὸν ἔρωνα καλοῦμεν. οὐκ αἰσχύνῃ; τίνα ἐπιδέτην καλεῖς; μηδένα λῷς, καὶ μὴ κατηγορήσῃς τοῦ ἀνδρός. ἀλλ' ἔχει φῇ μὴ σχηματίζεται.

ἁμαρτίζεται. διὸκ σοῦ κατηγορία οὐκ ἐκείνου. οἷς δὲ πρὸς ὠμοὺς ἔχων, πρὸς θηρία μᾶλλον, ἢ πρὸς ἀνθρώπους, καὶ ὅπ κἂν ἐλεεινὸν φθέγξεται ῥῆμα, οὐδένα ὠφέλκεται. καὶ διὰ τοῦτο ἀναγκάζεται, καὶ αὐτὸν περιθεῖναι ἑαυτῷ ἐλεεινότερον, ἵνα σου κατακλάσῃ τὴν ψυχήν. ἐὰν ἴδωμεν τινὰ ἐν ἐλυθρίῳ ἱμάτιᾳ προσιόντα, οὗτος ὀπιθέτης ἐστὶ φήσ. καὶ ἵνα δόξῃ ἀπὸ βυζενῶν εἶναι, οὕτω πρόσεισιν. ἐὰν ἴδωμεν ἐναντίῳ ἱμάτιᾳ, καὶ τοῦτον κακίζομεν. τί πράξουσι λοιπόν; ὦ τῆς ὠμότητος, ὦ τῆς ἀπονοίας. τίνος ἕνεκεν φῇ τὰ ἠκρωτηριασμένα μέλη γυμνοῦσι; λέγε σὲ, εἰ ἐλέήμονες ἦμεν, οὐκ ἔδει τούτων αὐτοῖς τῶν τεχνῶν. εἰ ἐκπρώτης προσόδου ἔπεισθον, οὐκ ἂν τοσαῦτα ἐμηχανήσαντο. τίς ὕβρις οὕτως ἄθλιος, ὡς ἐθέλειν τοσαῦτα βοᾶν; ὡς ἐθέλειν ἀχλυονεῖν; ὡς ἐθέλειν ἀποδύρεσθαι δημοσίᾳ μὴ τῆς γυναικὸς γε γυμνωμένης; μὴ τῶν παίδων αὐτοδὺν κατατάττεσθε; πόσης ταῦτα ψευδίας χείρονα; ἀλλ' ὑπὲρ τούτου οὐκ ἐλεοῦσι μόνον, ἀλλὰ καὶ κατηγοροῦσι παρ' ἡμῶν. ἐπὶ οἷς ἀγανακτήσομεν, ὅτι τὸν δεόμενοι οὐκ εἰσακουόμεθα; ἐπὶ οἷς δυσχεραίνομεν, ὅτι οὐ πείθομεν παρακαλοῦντες; οὐ φείδομεν ἀγαπητοὶ; ἀλλὰ πολλάκις ἔδωκα φησί. σὺ δὲ οὐκέτι ἔδωκας; τοὺς δὲ παῖδας πολλάκις ἀπαυτομοῦτας ἀπάγεις; ὦ τῆς ἀναισχυντίας. ψεύστα καὶ ἀναίσχυντον καλεῖς, καὶ σὺ μὴν ἁρπάζων, οὐκ ἀναίσχυντος; ἐκεῖνος δὲ ὑπὲρ ἄρτου δεόμενος ἀναίσχυντος. οὐκ ἐννοεῖς ὅσα τῆς γαστρὸς ἡ ἀνάγκη; οὐχὶ πάντα διαστρέφει ποιεῖς; οὐχὶ τῶν πονηρῶν διαστρέφει ἀμελεῖς; οὐχὶ οὐρανὸς πρόκειται; καὶ οὐρανῶν βασιλεία; σὺ δὲ τὴν ἐκείνης δεδοικὼς τυραννίδα, πάντα ὑπομένεις, καὶ ἐκείνης οὐ καταφρονεῖς. αὕτη ἐστὶν ἀναισχυντία. οὐχ ὁρᾷς γέροντας ἀναπήρους; ἀλλ' ὦ τῆς ληρῳδίας. ὁδὶ ἔνα φησὶ τοσούς δὲ χρυσοὺς δανείζει, ὁδὶ ἕνα τοσούσδε, καὶ ἑαυτεῖ; παιδῶν μικρῶν μύθους διηγεῖσθε, καὶ λύρους. οὐ πείθομαι, οὐ πιστεύω μὴ γένοιτο. δανείζει τις, καὶ ἐν ἀφθονίᾳ ὢν προσαιτεῖ; τίνος ἕνεκεν εἰπέμοι; τί δὲ ἀχλυονέστερον τοῦ ἑαυτεῖν; κρεῖττον ἀποθανεῖν, ἢ ἑαυτεῖν. μέχρι τίνος ἀπηνεῖς ἐσμέν; τί οὖν πάντες δανείζουσι; πάντες ὀπιθέται εἰσὶν; οὐδεὶς πένης ὄντως; ναίφησι, καὶ πολλοί. τί οὖν ἐκείνοις οὐκ ἐπικουρεῖς; ὀπειδὴ ἀκριβὴς εἰ τῶν βίον αὐτῶν ἐξεταστής. σκῆψις ταῦτα, καὶ πρόφασις. παντὶ τῷ αἰτοῦντι σε δίδου, καὶ τὸν θέλοντα δανείσασθαι ἀπὸ σοῦ, μὴ ἀποστραφῇς, ἔκτεινον τὴν χεῖρα σου, μὴ ἔστω συνεσταλμένη. οὐχὶ τῶν βίον κατέστημεν ἐξεταστάς. ὀπεὶ οὐδένα οὕτως ἐλεήσομεν. διατί ὅταν τὸν θεὸν παρακαλῇς λέγεις, μὴ μνησθῇς τῶν ἁμαρτιῶν μου; ὥστε εἰ καὶ σφόδρα ἐστὶν ἐκεῖνος ἁμαρτωλὸς, διὸκ καὶ ὀπ' αὐτοῦ λογίζου, καὶ μὴ μνησικάκει τῶν ἁμαρτιῶν αὐτοῦ. φιλανθρωπίας ἐστὶν ὁ καιρὸς οὐκ ἀκριβοῦς ἐξετάσεως. ἐλέους οὐ λογισμοῦ. διακρατῶν βούλεται. αὐ μὲν βούλῃ, δός. αὐ δὲ μὴ βούλῃ, ἀπόστεμψον μὴ ἐπαπορήσας, διατὶ ἄθλιος ἦ, καὶ ταλαίπωρος, διατὶ οὐδὲ αὐτὸς ἐλεεῖς, καὶ τοὺς θέλοντας ἀποτρέπεις. ὅταν γὰρ ὁδὶ ἕνα ἀκούσῃ παρὰ σοῦ, ὅτι οὗτος ἀπατεών, ἐκεῖνος ὑποκριτὴς, ὅτι οὗτος δανείζει, οὔτε τούτοις δίδωσιν, οὔτε ἐκείνοις. πάντας γὰρ ὑποπτεύει τοιούτους εἶναι. ἴστε γὰρ ὅτι τὰ πονηρὰ εὐκόλως ὑποπτεύομεν, τὰ δὲ χρηστὰ οὐκέτι. γενώμεθα ἐλεήμονες, οὐχ ἁπλῶς, ἀλλ' ὡς ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος. αὐτὸς καὶ μοιχοὺς, καὶ

χοὺς, καὶ πόρνους, καὶ γόητας τρέφει. καὶ τί λέγω, πᾶν εἶδος κακίας ἔχοντας; ἐν γὰρ τοσούτῳ κόσμῳ, ἀνάγκη εἶναι καὶ τοιούτους πολλοὺς, ἀλλ' ὅμως ἅπαντας τρέφει, ἅπαντας ἐν διδύσκει. οὐδεὶς λιμῷ διεφθάρη ποτὲ, πλὴν εἰ τις ἑκών. οὕτω γενώμεθα οἰκτίρμονες. ἐὰν δέηται, καὶ ἐν ἀνάγκῃ βοηθεῖ. νῦν δὲ εἰς τοσοῦτον ἤλθομεν ἀλογίας, ὥστε μὴ μόνον τῶν πενήτων ὄβιν ποιεῖν τῶν διὰ τῶν πενήτων βαδιζόντων, ἀλλὰ καὶ τῶν μοναζόντων ἀνδρῶν. ὁδεῖνα ἐπιδέτης ἐστίν; οὐχὶ ὄβιν ἔλεγον πρῶτοι, ὅτι αὐ μὴν πᾶσιν ἀδιαφόρως δίδωμεν, ἀεὶ ἐλείπομεν. ἐὰν δὲ ἀρξώμεθα περιεργάζεσθαι, οὐδέποτε ἐλείπομεν. τί λέγεις ἵνα ἄρτον λάβῃ ἐπιδέτης ἐστίν. εἰ μὴ χρυσίου τάλαντα αὐτῇ, καὶ ἀργυρίου, ἢ ἱμάτια πολυτελῆ, ἢ ἀνδράποδα, ἢ ἄλλο τοιοῦτον, εἰκότως οὐδὲν ἔδωκεν εἶποι ἀπατεῶνα. εἰ δὲ μηδὲν τούτων, ἀλλὰ διατροφὴν, καὶ σπέρμα, ἃ φιλοσοφίας ἐστὶ, πόθεν ἀπατεῶνος εἰώθεμι; παυσώμεθα τῆς ἀκαίρου ταύτης φιλοπραγμοσύνης, τῆς σατανικῆς τῆς ὀλεθρίας. εἰ μὲν γὰρ ἐν κλήρῳ κατειλεγμένον ἑαυτὸν εἶναι λέγοι, ἢ ἱερέα ἑαυτὸν ὀνομάζοι, περιεργάζου, πολυπραγμόνει. οὐ γὰρ ἀκίνδυνος ἐκεῖ ἡ ἀνεξέταστος κοινωνία. περὶ γὰρ μεγάλων ὁ κίνδυνος. οὐ γὰρ δίδως, ἀλλὰ λαμβάνεις. αὖ δὲ διατροφῆς δέηται, μηδὲν ἐξέταζε. ἐξέτασον εἰ βούλει πῶς Ἀβραὰμ τὴν φιλοξενίαν περὶ πάντας τοὺς προσιόντας ἐπεδείκνυτο. εἰ περίεργος ἦν περὶ τοὺς καταφεύγοντας εἰς αὐτὸν, οὐκ ἂν ἀγγέλους ἐξένισεν. ἴσως γὰρ αὖ μὴ νομίζων αὐτοὺς ἀγγέλους εἶναι, μετὰ τῶν ἄλλων, καὶ τούτους ἀπώσατο. ἀλλ' ἐπειδὴ πάντας ἐδέχετο, ἐδέξατο καὶ ἀγγέλους. μὴ γὰρ ἀπὸ τοῦ βίου σοι τῶν λαμβανόντων τὸν μισθὸν δίδωσιν ὁ θεός, ἀπὸ τῆς προαιρέσεως τῆς σῆς, ἀπὸ τῆς φιλοξενίας τῆς πολλῆς, ἀπὸ τῆς φιλανθρωπίας, ἀπὸ τῆς ἀγαθότητος. αὕτη ἔστω, καὶ πάντων ἐπιτεύξῃ τῶν ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, ιβ΄.

» Οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀ-
» βραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν. ᾧ καὶ δεκάτην
» ἐμέρισεν ἀπὸ πάντων Ἀβραάμ. πρῶτον ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ
» καὶ βασιλεὺς Σαλήμ. ὅ ἐστι βασιλεὺς εἰρήνης. ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρ-
» χὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ, μένει ἱερεὺς εἰς τὸ
» διηνεκές. Βουλόμενος ὁ παῦλος τὸ διάφορον δεῖξαι τῆς καινῆς, καὶ τῆς παλαιᾶς πολλαχοῦ αὐτὸ διαστρέφει, καὶ ἀνυροβολίζεται, καὶ διακωδωνίζει τὰς ἀκοὰς τῶν ἀνηκόων, καὶ προγυμνάζει. οὐθέως γὰρ καὶ ἀπὸ τοῦ προοιμίου ὄβιν κατεβάλλετο εἰπών, ὅτι ἐκείνοις μὲν ἐλάλησεν ἐν προφήταις, ἡμῖν δὲ ἐν υἱῷ. κἀκείνοις μὲν πολυμερῶς, καὶ πολυτρόπως, ἡμῖν δὲ διὰ τοῦ υἱοῦ. εἶτα περὶ τοῦ υἱοῦ διαλεχθεὶς τίς εἴη, καὶ τί εἰργασάμενος, καὶ παρανέσας αὐτῷ πείθεσθαι, ἵνα μὴ τὰ αὐτὰ πάθοιεν τοῖς ἰουδαίοις, καὶ εἰπὼν,

καὶ εἰπὼν, ὅτι ἀρχιερεὺς ὢν κατὰ τὴν μελχισεδὲκ, καὶ πολλάκις εἰς τὴν διαφορὰν ταύτην ἐμβλῶσα βουληθεὶς, καὶ πολλὰ προοικονομήσας, καὶ ἐπιζημήσας αὐτοῖς, ὡς ἀθετήσει καὶ πάλιν δοξασεύσας, καὶ ἀνακτησάμενος, ὥστε θαρρεῖν, τότε λοιπὸν εἰσάγει τὸν τῆς διαφορᾶς λόγον ἀκμαζούσαις ταῖς ἀκοαῖς. ὁ γὰρ ἀναπεπωκὼς, οὐκ ἂν βιάιως ἀκούσειε. καὶ ἵνα μάθῃς, ἄκουε τῆς γραφῆς λεγούσης, καὶ οὐκ ἤκουσαν μωϋσῆ διὰ τὴν ὀλιγοψυχίαν. διαπλάττει πρότερον κενώσας αὐτῶν τὴν ἀθυμίαν διὰ πολλῶν, καὶ διὰ φοβερῶν, καὶ διὰ χρηστοτέρων, τότε λοιπὸν καὶ θήσιν εἰς τὸν τῆς διαφορᾶς λόγον. καὶ τί φησίν; οὗτος γὰρ ὁ μελχισεδὲκ βασιλεὺς σαλὴμ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου. καὶ τὸ δὴ θαυμαστὸν, ἐν τῷ τύπῳ δείκνυσι πολλῷ οὖσαν τὴν διαφοράν. ὅπερ γὰρ εἶπον, ἀπὸ τοῦ τύπου ἀεὶ πιστοῦται τὴν ἀλήθειαν ἀπὸ τῶν παρελθόντων, διὰ τὴν ἀθένειαν τῶν ἀκροατῶν. οὗτος γάρ φησιν ὁ μελχισεδὲκ, βασιλεὺς σαλὴμ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτὸν, ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραὰμ θεὶς πῶς δίηγησιν πᾶσαν ἐν σωτόμῳ, μυστικῶς αὐτὴν ἐθεώρησε, καὶ πρῶτον ἀπὸ τοῦ ὀνόματος, πρῶτον μέν φησιν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης. σεδὲκ γὰρ δικαιοσύνη λέγεται, μελχὶ δὲ βασιλεύς. μελχισεδὲκ, βασιλεὺς δικαιοσύνης. ὁρᾷς καὶ ἐν τοῖς ὀνόμασι τὴν ἀκρίβειαν; τίς δὲ ὅτι βασιλεὺς δικαιοσύνης, ἀλλ' ἢ ὁ κύριος ἡμῶν ἰησοῦς χριστός; ἔπειτα δὲ καὶ βασιλεὺς σαλήμ. ἀπὸ τῆς πόλεως. τοῦτέστι βασιλεὺς εἰρήνης. ὁ πάλιν ἐστὶ τοῦ χριστοῦ. οὗτος γὰρ ἡμᾶς δικαίους ἐποίησε, καὶ εἰρηνοποίησε τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς. τίς ἄνθρωπος βασιλεὺς δικαιοσύνης, καὶ εἰρήνης ἐστίν; οὐδεὶς ἀλλ' ἢ μόνος ὁ κύριος ἡμῶν ἰησοῦς χριστός. εἶτα καὶ ἑτέραν διαφορὰν ἐπάγει, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων. ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. ἐπειδὴ τοίνυν ἀντεπῆγεν αὐτῷ τὸ, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελχισεδέκ. ἐκεῖνος δὲ ἐτεθνήκει, καὶ οὐκ ἐγένετο ἱερεὺς εἰς τὸν αἰῶνα, ὅρα πῶς αὐτὸ τεθεώρηκε. καὶ τίς ἔδωκε εἰ ποι αὐτῷ περὶ ἀνθρώπου; οὐ τῷ πράγματι φησὶ λέγω. τουτέστιν οὐκ οἴσμεν ποτὲ τίνα πατέρα ἔσχεν, ἢ τίνα μητέρα, οὔποτε ἐδέξατο τὴν ἀρχὴν, οὔποτε ἐτελεύτησε. καὶ τί ἔδωκε φησί; μὴ γὰρ ἐπειδὴ ἡμεῖς οὐκ οἴσμεν οὐκ ἐτελεύτησεν; οὐκ ἔσχεν γονεῖς, καλῶς λέγει, καὶ ἐτελεύτησε, καὶ ἔσχε γονεῖς. πῶς οὖν ἀπάτωρ ἀμήτωρ; πῶς μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων; πῶς; τῷ μὴ ἐμφέρεσθαι. καὶ τί ἔδωκε; ὥσπερ οὗτος τῷ μὴ γενεαλογεῖσθαι, οὕτως ὁ χριστὸς αὐτῇ τῇ φύσει τοῦ πράγματος. ἰδοὺ τὸ ἀνάρχον, ἰδοὺ τὸ ἀτελεύτητον. ὥσπερ τούτου οὐκ οἴσμεν, οὔτε ἀρχὴν ἡμερῶν, οὔτε ζωῆς τέλος διὰ τὸ μὴ γεγράφθαι, οὕτως οὐκ οἴσμεν τοῦ ἰησοῦ, οὐ διὰ τὸ μὴ γεγράφθαι, ἀλλὰ διὰ τὸ μὴ εἶναι. ἐκεῖνος μὲν γὰρ τύπος, ἡ δὲ ἔδωκε ἀπὸ τοῦ μὴ γεγράφθαι, ἔδωκε δὲ ἀλήθεια, καὶ διὰ τοῦτο ἀπὸ τοῦ μὴ εἶναι. ὥσπερ γὰρ ἡ ἐν τοῖς ὀνόμασιν. ἐνταῦθα μὲν γὰρ προσηγορίαι ἦσαν, βασιλεὺς δικαιοσύνης, καὶ εἰρήνης. ἐκεῖ δὲ πραγμάτων ἀλήθεια. οὕτω καὶ ἐνταῦθα προσηγορίαι εἰσὶν, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια. πῶς οὖν ἀρχὴν ἔχει; ὁρᾷς ἀνάρχον τὸν υἱόν, οὐκατὰ τὸ μὴ ἔχειν αἰτίαν. ἔδωκε γὰρ ἀδύνατον. ἔχει γὰρ πατέρα. ἐπεὶ πῶς υἱός. ἀλλὰ κατὰ τὸ μὴ ἔχειν ἀρχὴν ζωῆς, μήτε τέλος. ἀφωμοιωμένος

μοιωμένος δὲ τῷ ἐμῷ τοῦ θυ. ποῦ ἡ ὁμοιότης; ὅτι καὶ τούτου καὶ ἐκείνου τὸ τέλος ἀγνοοῦμεν, καὶ τὴν ἀρχήν. ἀλλὰ τούτου μὲν, παρὰ τὸ μὴ γεγράφθαι, ἐκείνου δὲ παρὰ τὸ μὴ εἶναι. ἐν τοῦτο ἄρα ἡ ὁμοιότης. εἰ δὲ παντάχοῦ ἔμελλεν ἡ ὁμοιότης εἶναι, οὐκέτι τύπος ἦν, καὶ ἀλήθεια, ἀλλὰ τύπος τὰ ἀμφότερα. ὥσπερ οὖν καὶ ἐν ταῖς εἰκόσιν ὅτι μέν ἐστιν ὅμοιον, ὅτι δὲ καὶ ἀνόμοιον. τὰ μὲν τῶν γραμμῶν, ὁμοιότης τίς ἐστι τῶν χαρακτήρων, τῶν χρωμάτων δὲ σπίτε
» θέντων, τότε φανερῶς δείκνυται ἡ διαφορά, καὶ τὸ μὲν, ὅμοιον, τὸ δὲ ἀνόμοιον. Θεωρεῖτε
» δέ φησι πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. Τέως ἥρμοσε τὸν τύπον, θαρρῶν. λοιπὸν δείκνυσιν αὐτὸν τῶν ἀληθῶν πραγμάτων τ παρὰ ἰουδαίοις, λαμπρότερον. εἰ δὲ ὁ τύπον ἔχων τοῦ χυ, τοσοῦτον οὐ τῶν ἱερέων, ἀλλὰ μὴ αὐτοῦ τοῦ προπάτορος τῶν ἱερέων βελτίων, τί αὐτοῖς εἴποι περὶ τῆς ἀληθείας; ὁρᾷς ἐξ ὅσης περιουσίας δείκνυσι τὴν ὑπεροχήν; θεωρεῖτε δέ φησι πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἔδωκεν ἀβραὰμ ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. ἀκροθίνια τὰ λάφυρα λέγεται. μὴ οὐκ ἔστιν εἰπεῖν, ὅτι ὡς μετέχοντα τοῦ πολέμου ἔδωκε. διὰ γὰρ τοῦτο εἶπεν. ὑπήντησεν ὑποφέροντα ἀπὸ τῆς κοπῆς τῶν βασιλέων. οἱ γὰρ ἐκάθηντο φησὶν, καὶ τῶν αὐτῶν πονημένων τὰς ἀπαρ
» χὰς ἔδωκε. Καὶ οἱ μὲν ἐκ τῶν ἡμῶν λαοὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχου-
» σιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον. τουτέστι τοὺς ἀδελφοὺς αὐτῶν. καίτοι ἐξε-
» λελυθότας ἐκ τῆς ὀσφύος ἀβραάμ. Τοσαύτης φησὶ τῆς ἱερωσύνης ἡ ὑπεροχή, ὡς τοὺς ὁμοπάτορας ἀπὸ προγόνων, καὶ τὸν αὐτὸν ἔχοντας προπάτορα, πολλῷ βελτίους εἶναι τῶν ἄλ
λων. δεκάτας γοῦν παρ' ἐκείνων λαμβάνουσιν. ὅταν οὖν εὑρεθῇ τις παρ' αὐτῶν τούτων δεκάτας λαμβάνων, ἆρα οὐχ οὗτοι μὲν ἐν τάξει λαϊκῶν, ἐκεῖνος δὲ ἐν τοῖς ἱερεῦσι; καὶ οὐ δῆλον μόνον, ἀλλ' οὐδὲ ὁμοπάτωρ ἦν αὐτοῖς, ἀλλ' ἑτέρου γένους. ὥστε οὐκ ἂν ἔδωκεν ἀλλοφύλῳ δεκάτας, εἰ μὴ πολλὴ ἦν ἡ ἀμή. βαβαὶ τί εἰργάσατο. μεῖζον ἢ τὰ κατὰ τὴν πίστιν ἐν τῇ πρὸς ῥωμαίους ἐπιστολῇ διεσάφησεν. ἐκεῖ μὲν γὰρ καὶ τῆς ἡμετέρας, μὴ τῆς ἰουδαϊκῆς πολιτείας τὸν ἀβραὰμ προπάτορα εἶναι φησι, ἐνταῦθα δὲ αὐτὸ σφόδρα κατατολμᾷ, καὶ δείκνυσι τὸν ἀκρόβυστον πολλῷ βελτίονα. πῶς οὖν ἔδειξεν, ὅτι λαβὶ δεκάτας ἔδωκεν; ὁ ἀβραὰμ φησὶ ἔδωκε, καὶ τί πρὸς ἡμᾶς ταῦτα; μάλιστα μὲν πρὸς ὑμᾶς. οὐ
» γὰρ δὴ φιλονεικήσετε τοὺς λαβίτας βελτίονας εἶναι τοῦ ἀβραάμ. Ὁ δὲ μὴ γενεαλογού
» μενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν ἀβραάμ. Εἶτα καὶ οὐχ ἁπλῶς παρῆλθεν, ἀλλὰ
» προσέθηκε. Καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκεν. Ἐπειδὴ ἀνω καὶ κάτω δῆλον ἦν τὸ σεμνόν, δείκνυσιν ἐκεῖνον ὄντα σεμνότερον ἐκείνων ἀπὸ τῆς κοινῆς κρίσεως ἁπάντ.
» Χωρὶς δὲ πάσης ἀντιλογίας φησὶ τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Τουτέστι πᾶσι δοκεῖ τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖσθαι. οὐκοῦν κρείττων ὁ τύπος τοῦ
» κυρίου, καὶ αὐτοῦ τοῦ τὰς ἐπαγγελίας ἔχοντος. Καὶ ὧδε δεκάτας μὲν ἀποθνήσκοντες
» ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ. Ἀλλ' ἵνα μὴ εἴπωμεν, ὅτι αὖ ἀ-
» πέρχη, εἰ δὲ ἡμῶν φησί. Καὶ ὡς ἔπος εἰπεῖν. Καλῶς αὐτὸ ἐκάλεσε. Διὰ ἀβραάμ,
» καὶ λαβὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται. πῶς; Ἐν γὰρ τῇ ὀσφύϊ τοῦ πατρὸς
» ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ μελχισεδέκ. Τουτέστιν ἐν αὐτῷ ἦν λαβὶ, εἰ καὶ μηδέπω ἐτά

χθη. καὶ

χθη. καὶ οὐκεῖπεν οἱ λβῦῖται, ἀλλ' ὁ λβυΐ. εἶδες ὑπερβολήν; εἶδες πόσον τὸ μέσον τοῦ ἀβραὰμ, καὶ τῦ μελχισεδέκ; τῦ τὸν τύπον φέροντος τῦ ἀρχιερέως τῦ ἡμετέρου; καὶ δείκνυσι τὴν ὑπεροχὴν ἐξουσίας, οὐκ ἀνάγκη γεγενημένων. ἐκεῖνος γὰρ ἔδωκε τὴν δεκάτην, ὅπερ ἦν ἱερέως. οὗτος ἠύλόγησεν, ὅπερ ἐστὶ κρείττονος. αὕτη ἡ ὑπεροχὴ, καὶ εἰς τοὺς ἐκγόνους διαβαίνει. θαυμαστῶς, καὶ περιεργότως ἐρρίψαν ἔξω τὰ ἰουδαϊκά. διαῤῥῆξαι ἔλεγε νωθροὶ γεγόνατε. ὅπειδὴ ταῦτα καταβάλλεσθαι ἐβούλετο, ὥστε μὴ σκιρτῆσαι αὐτούς. τοιαύτη γὰρ ἡ σοφία παύλου. προκατασκευάζων πρῶτον, οὕτως ἐμβάλλει εἰς ἃ βούλεται. δλυσιτελὲς γὰρ τὸ γένος τὸ ἀνθρώπινον, καὶ πολλῆς δεόμενον ἐπιμελείας, καὶ πλείονος, ἢ τὰ φυτά. ἐκεῖ μὲν γὰρ φύσις σωμάτων ἐστὶν, καὶ γῆς εἴκουσα ταῖς τῶν κηπόνων χερσίν. ἐνταῦθα δὲ προαίρεσις, πολλαχοῦ δεχομένη μεταβολάς. καὶ νυνὶ μὲν ἔβλαστε, νυνὶ δὲ ἐκεῖνο αἴρουμένη, ἐξυῤῥέπης γὰρ αὕτη πρὸς κακίαν.

Η' λόγος.

Διὸ χρὴ πάντοτε φυλάττειν ἑαυτοὺς, μήποτε ἀπονηράξωμεν. ἰδοὺ γὰρ φησιν, οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάττων τὸν ἰσραὴλ. καὶ μὴ δῶς εἰς σάλον τὸν ποδόν σου. οὐκεῖπε μὴ σαλευθῇς, ἀλλὰ μὴ δῶς. ἄρα ἐφ' ἡμῖν τὸ δοῦναι. οὐκ ἐφ' ἑτέρῳ τινί. αὖ γὰρ ἐθέλωμεν ἑστάναι ἑδραῖοι, καὶ ἀμετακίνητοι, οὐ σαλευθησόμεθα. τί οὖν οὐδὲν ἴσα τῷ θεῷ; πάντα μὲν ἴσα τῷ θεῷ, ἀλλ' οὐχ οὕτως ὥστε τὸ αὐτεξούσιον ἡμῶν βλάπτεσθαι. εἰ τοίνυν ἴσα τῷ θεῷ φῇ, τί ἡμᾶς αἰτιᾶται; διαῤῥῆξαι εἶπον, ὥστε τὸ αὐτεξούσιον ἡμῶν μὴ βλάπτεσθαι. ἐφ' ἡμῖν τοίνυν, καὶ ἐπ' αὐτῷ. δεῖ γὰρ ἡμᾶς πρῶτον ἐλέσθαι τὰ ἀγαθά. καὶ τότε αὐτὸς τὰ παρ' ἑαυτῦ εἰσάγει. οὐ προφθάνει τὰς ἡμετέρας βουλήσεις, ἵνα μὴ λυμήνηται τὸ αὐτεξούσιον ἡμῶν. ὅταν δὲ ἡμεῖς ἑλώμεθα, τότε πολλὴν εἰσάγει τὴν βοήθειαν ἡμῖν. πῶς οὖν ὁ παῦλος φησι, οὐ τῦ θέλοντος, εἰ δὲ καὶ ἐφ' ἡμῖν ἐστιν, οὐ δὲ τῦ τρέχοντος, ἀλλὰ τῦ ἐλεοῦντος θῦ; πρῶτον μὲν οὐχ ὡς ἰδίαν γνώμην εἰσήγαγεν, ἀλλ' ὡς ἐκ τοῦ προκειμένου αὐτὸ συνήγαγε, καὶ ἐκ τοῦ προβληθέντος. εἰπὼν γάρ. γέγραπται ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω, λέγει. ἄρα οὖν οὐ τῦ θέλοντος, οὐδὲ τῦ τρέχοντος, ἀλλὰ τῦ ἐλεοῦντος θῦ. ἐρεῖς οὖν μοι πῖ ἔπι μέμφεται; δεύτερον δὲ ἐκεῖνο ἐστὶν εἰπεῖν, ὅτι οὐ τὸ πλέον ἐστὶ, τὸ πᾶν φῆ εἶναι. ἡμῶν γὰρ τὸ προελέσθαι, καὶ βουληθῆναι, θεοῦ δὲ τὸ ἀνῦσαι, καὶ εἰς τέλος ἀγαγεῖν. ὅπειοὖν ἐκείνου τὸ πλέον ἐστὶ, τὸ πᾶν ἐκείνου εἶναι φησι, κατὰ τὴν συνήθειαν τὴν ἀνθρωπίνην εἰπών. οὕτω γὰρ καὶ ἡμεῖς ποιοῦμεν. οἷόν τι λέγω, ὁρῶμεν οἰκίαν οἰκοδομουμένην καλῶς, καὶ λέγομεν τὸ πᾶν τοῦ τεχνίτου ἐστί. καίτοιγε οὐ τὸ πᾶν αὐτοῦ ἐστιν, ἀλλὰ καὶ τῶν ἐργατῶν, καὶ τῦ τὴν ὕλην παρέχοντος δεσπότου, καὶ πολλῶν ἑτέρων. ἀλλ' ὅμως ὅπειδὴ τὸ πλέον ἐκεῖνος εἰσήνεγκεν, ἐκείνου τὸ πᾶν εἶναι λέγομεν. οὕτω δὴ καὶ ἐνταῦθα. καὶ πάλιν ἴσα πλήθους, ἔνθα οἱ πολλοὶ,

πάντες

πάντες εἶναι φαμὲν, ἐνθα δὲ ὀλίγοι, οὐδένα. οὕτω καὶ παῦλος φησὶν, οὐ τῶν θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θυ. κατορθοῖ δὲ ἐν ταύτῃ δύο μεγάλα. ἓν μὲν τὸ μὴ ἐπαίρεσθαι. κἂν τρέχῃς, κἂν πονῇς, μηδὲν τοιοῦτον εἶναι τὸ κατόρθωμα. οὐ γὰρ μὴ τῆς ἄνωθεν τύχης ῥοπῆς, πάντα εἰκῇ. πλὴν ὅτι τεύξῃ τοῦ πονουμένου, δῆλόν ἐστιν, ἕως ἂν τρέχῃς, ἕως ἂν θέλῃς. οὐ μὴν οὕτω εἶπεν, ὅτι εἰκῇ τρέχομεν, ἀλλ' ὅτι εἰκῇ τρέχομεν, ἐὰν ἡμέτερον εἶναι τὸ πᾶν νομίζωμεν, ἐὰν μὴ τὸ πλέον ἀπονέμωμεν τῷ θεῷ. οὔτε γὰρ αὐτοῦ εἶναι τὸ πᾶν ἠθέλησεν ὁ θς, ἵνα μὴ δόξῃ εἰκῇ σεφανοῦν ἡμᾶς. οὔτε ἡμῶν πάλιν, ἵνα μὴ εἰς ἀπόνοιαν ἐκπέσωμεν. εἰ γὰρ τὸ ἔλαττον μέρος ἔχοντες μεγάλα φρονοῦμεν, τί εἰ τοῦ ὅλου κύριοι ἦμεν; πολλὰ γὰρ ὁ θς ἐποίησεν ὑπὲρ τοῦ τὴν ἀλαζονείαν ἡμῶν ἐγκόψαι. μὴ ἐπὶ χεὶρ ὑψηλὴ, πόσοις ἡμᾶς πάθεσι περιέβαλεν, ὥστε ἐκκόψαι ἡμῶν τὸ φρόνημα. πόσοις ἐκύκλωσε θηρίοις. μὴ γὰρ ὅταν λέγωσι τινές. τί δεῖ; εἰς τί δεῖ; παρὰ τὸ τῷ θεῷ δοκοῦν, ταῦτα φᾶ. ἐν τοσούτῳ σε φόβῳ κατέστησε, καὶ οὐ δὲ οὕτω ταπεινοφρονεῖς, ἀλλὰ μικρᾶς δι' πραγίας αὖ ἐπιλάβῃ ποτὲ, πρὸς αὐτὸν φθάνεις τὸν οὐρανὸν τῷ φρονήματι. διὰ τοῦτο αἱ ταχίσται μεταβολαὶ, καὶ μεταπώσεις, μὴ οὖν δὲ οὕτω ταπεινούμεθα. διὰ τοῦτο θάνατοι συνεχεῖς, μὴ ἄωροι, ἡμεῖς δὲ ὡς ἀθάνατοι φρονοῦμεν, ὡς οὐδέπω τεθνηξόμενοι. οὕτως ἁρπάζομεν, οὕτω πλεονεκτοῦμεν, ὡς οὐδέποτε δώσοντες λόγον. οὕτως οἰκοδομοῦμεν, ὡς ἐν ταύθα μένοντες ἀεὶ. μὴ οὐ δὲ ὁ τοῦ θεοῦ λόγος καθ' ἑκάστην ἡμέραν ἡμῖν ἐνηχούμενος, οὐ δὲ αὐτὰ ταπεινεῖ τὰ πράγματα. οὐκ ὄθιν ἡμέραν, οὐκ ὄθιν ὥραν εἰπεῖν, ἐν ᾗ μὴ συνεχεῖς ἐστιν ἰδεῖν ἐκφοράς. ἀλλὰ πάντα μάτην, καὶ τῆς σκληρότητος ἡμῶν οὐδὲν καθικνεῖται. οὐ δὲ ἐν ταῖς ἑτέρων συμφοραῖς βελτίους γενέσθαι δυνάμεθα, μόνῃ δὲ οὐ δὲ θέλομεν. ἀλλ' ὅταν αὐτοὶ μόνοι πενθῶμεν, τότε συστελλόμεθα. κἂν ἀνῇ τοῦ χεῖρα ὁ θς, πάλιν ἡμεῖς τοῦ χεῖρα οὐδεὶς ἐπήραμεν. οὐρανία φρονεῖ. οὐδεὶς καταφρονεῖ τῶν ἐν τῇ γῇ. οὐδεὶς πρὸς τὸν οὐρανὸν ὁρᾷ. ἀλλ' ὥσπερ οἱ χοῖροι κάτω νεύουσι πρὸς τὴν γαστέρα κύπτοντες, τῷ βορβόρῳ ἐγκυλινδούμενοι, οὕτω καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων, βορβόρῳ χαλεπωτάτῳ ἑαυτοὺς μολύνοντες, οὐκαὶ θάνονται. βέλτιον γὰρ πηλῷ μολύνεσθαι καθαίρτῳ, ἢ ἁμαρτήμασιν. ὁ μὲν ἐκεῖθεν μολυνθεὶς, ἀνένιψατο ἐν βραχεῖ χρόνῳ, καὶ γέγονεν ὅμοιος τῷ μὴ δεδεμένῳ παρὰ τὴν ἀρχὴν εἰς ἐκεῖνο τὸ τέλμα. ὁ δὲ εἰς τὸ βάραθρον τῆς ἁμαρτίας ἐμπεσὼν, ἐδέξατο μολυσμὸν, οὐχ ὕδατι καθαιρόμενον, ἀλλὰ πολλοῦ δεόμενον χρόνου, καὶ μετανοίας ἀκριβοῦς, καὶ δακρύων, καὶ κοπετῶν, καὶ πλείονος θρήνου, καὶ δεξιωτέρου, ἢ οἷς τοῖς φιλτάτοις ἐπιδείκνυσθαι. οὗτος μὲν γὰρ ὁ ῥύπος ἔξωθεν ἡμῖν προσγίνεται. διὸ καὶ ταχέως αὐτὸν ἀποζεσθέμεθα. ἐκεῖνος δὲ ἔνδοθεν πίκτει, διὸ καὶ μόλις αὐτὸν ἀπονιπτόμενοι καθαιρόμεθα. ἐκ γὰρ τῆς καρδίας φησὶν ἐξέρχονται λογισμοὶ πονηροὶ, πορνεῖαι, μοιχεῖαι, κλοπαὶ, ψευδομαρτυρίαι. διὸ καὶ ὁ προφήτης ἔλεγε, καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θς. ἕτερος δέ. ἀπόπλυνόν με ἀπὸ κακίας τῆς καρδίας μου ἰλλήμ. ὁρᾷς ὅτι μὴ ἡμῶν ἐστι, μὴ τοῦ δύνασθαι; μὴ πάλιν μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται, γενώμεθα καθαροὶ εἰς δύναμιν τῆς ἡμετέρας. ἀποσμήξωμεν ἑαυτῶν τὰ ἁμαρτήματα. πῶς δέ ἐστιν ἀποσμήξαι, ὁ προφήτης διδάσκει, λέγων. λούσασθε, καθαροὶ γίνεσθε. ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν,

ψυχῶν ὑμῶν, ἀντέναντι τῶν ὀφθαλμῶν μου· τί δήποτε ἀντέναντι τῶν ὀφθαλμῶν μου; ἐπειδή τινες εἶναι δοκοῦσιν ἀπόνηροι, ἀλλὰ τοῖς ἀνθρώποις, τῷ δὲ θεῷ δῆλοι ὄντες, τάφοι κενοῦντες, διαζόντι φησί· οὕτως ἀφέλετε, ὡς ἐγὼ ὁρῶ· μάθετε καλὸν ποιεῖν· ἐκζητήσατε κρίσιν· τασσεινὸν καὶ πένητα δικαιώσατε· καὶ δεῦτε· καὶ διελεγχθῶμεν λέγει κς· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν, ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν, ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ· ὁρᾷς ὅτι προτέρους ἡμᾶς ἑαυτοὺς δεῖ καθαίρειν; καὶ τότε ὁ θς καθαίρει; πρῶτον γὰρ εἰπών, λούσασθε, καθαροὶ γένεσθε, τότε ἐπήγαγεν· ἐγὼ λευκανῶ· μηδεὶς τοίνυν τῶν εἰς ἐλάττονα κτησίαν ὑπόντων, ἀπογνωσκέτω ἑαυτόν· κἂν γὰρ εἰς ἔξιν φθῆ εἰσέλθῃς, καὶ σφόδρα εἰς φύσιν τῆς κτήσασθαι αὐτῆς, μὴ φοβηθῇς· λέγε γάρ σου χρώματα οὐκ ἐξίτηλα, ἀλλὰ σφόδρα σωσουσιωμένα τοῖς ὑποκειμένοις λαβών, εἰς τὴν ἐναντίαν αὐτὰ ἔφησε κατάστασιν ἥξειν· οὐ γὰρ ἁπλῶς πλυθῆναι ἔφη, ἀλλ' ὡς χιόνα, καὶ ὡς ἔριον λευκαίνειν, ἵνα ἡμῖν χρηστὰς ὑποτείνῃ τὰς ἐλπίδας· ἆρα μεγάλη τῆς μετανοίας ἡ δύναμις, εἴγε ὡς χιόνα ἡμᾶς ἐργάζεται, καὶ ὡς ἔριον λευκαίνει· κἂν προλαβοῦσα ἡ ἁμαρτία βάψῃ τὰς ἡμετέρας ψυχάς· ἀπουδάσωμεν τοίνυν καθαροὶ γενέσθαι· οὐδὲν φορτικὸν ἐπέταξε· κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· ὁρᾷς πανταχοῦ πῶς πολὺς τῷ θεῷ τὸ ἐλέους λόγος; καὶ τῆς τῶν ἀδικουμένων προστασίας; ταῦτα μετίωμεν τὰ κατορθώματα, μὴ δι' ὧν πάσχομεν τὴν χάριν τοῦ θεοῦ, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν.

Λόγος, ιγ'.

» Εἰ μὲν οὖν τελείωσις διὰ τῆς λευϊτικῆς ἱερωσύνης ἦν, ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτηται), » τίς ἔτι χρεία κατὰ τὴν τάξιν μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν » ἀαρὼν λέγεσθαι; μεταζημένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης, καὶ νόμου μετάθεσις γί- » νεται· ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχε τῷ θυ- » σιαστηρίῳ· πρόδηλον γὰρ ὅτι ἐξ ἰούδα ἀνατέταλκεν ὁ κς ἡμῶν, εἰς ἣν φυλὴν περὶ ἱερέων οὐ » δὲν μωϋσῆς ἐλάλησεν· Εἰ μὲν οὖν τελείωσις διὰ τῆς λευϊτικῆς ἱερωσύνης ἦν φησι· εἰ- πὼν περὶ τοῦ μελχισεδὲκ, καὶ δείξας ὅσῳ κρείττων ἦν τοῦ ἀβραάμ, καὶ πολὺ τὸ διάφορον ἀποφήνας, ἐντεῦθεν ἄρχεται λοιπὸν τῆς διαθήκης αὐτῆς τὸ μέσον ἀποδεικνύναι· καὶ πῶς ἡ μὲν, ἀτελής, ἡ δὲ, τελεία· καὶ οὐδέπω εἰς αὐτὰ τὰ πράγματα ἐμβαίνει, ἀλλ' ἀπὸ τῆς ἱερωσύνης τέως μάχεται, καὶ τῆς σκιᾶς· ταῦτα γὰρ πιστότερα ἦν τοῖς ἀπίστοις· ὅταν ἀπὸ τῶν ἤδη προειλημμένων, καὶ πεπιστευμένων ἡ ἀπόδειξις γίνεται· ἔδειξεν ὅτι πολύ, καὶ τοῦ λευϊ, καὶ τοῦ ἀβραὰμ βελτίων ἦν ὁ μελχισεδὲκ, συντάξει ἱερέων αὐτοῖς γινόμενος, ἐξ ἑτέρου πάλιν ἐπιχειρεῖ· ποίου δὴ τούτου; τίνος ἕνεκεν φησὶ, οὐκεῖθεν κατὰ τὴν τάξιν ἀαρών; καὶ θέασαι τὴν ὑπερβολήν· ἀφ' οὗ γὰρ εἰκὸς ἦν αὐτὸν ἐκβάλλειν τοὺς ἱεροὺς τῆς ἱερωσύ- νης, ἐπειδὴ μὴ κατὰ τὴν τάξιν ἀαρών, ἀπὸ τούτου δῆθεν μὲν ἴσησιν, ἐκβάλλει δὲ ἐκείνους· αὐτὸ γὰρ δῆθεν λέγω φησὶ, τίνος ἕνεκεν οὐ κατὰ τ' τάξιν ἀαρὼν γέγονε, μὴ τὸ, τίς ἐπ' ἱερείας, πολ- λὴν ἐμφασιν ἔχει· εἰ μὲν γὰρ ἦν ὁ χς κατὰ σάρκα κατὰ τὴν τάξιν μελχισεδὲκ, ἔτι τὸ

νόμος γέγονε

νόμος γέγονε, καὶ τὰ κατὰ ἀαρὼν, εἰκότως αὖτις εἴποι, ἅτε ὄντα τελειότερα, ζαῦτα ἐκεῖνα καταλύει, ἅτε ἐπεισελθόντα. εἰ δὲ χὲ ὕστερος, καὶ ἕτερον λαμβάνει τύπον τὸν τῆς ἱερωσύνης. δῆλον ὅτι ὡς ἀτελεστέρων ὄντων ἐκείνων. δῶμεν γάρφησι τῷ λόγῳ πάντα πεπληρῶσθαι, καὶ μηδὲν ἀτελὲς εἶναι ἐν τῇ ἱερωσύνῃ. τί οὖν ἔδει κατὰ τὴν τάξιν μελχισεδὲκ λέγεσθαι, καὶ οὐ κατὰ τὴν τάξιν ἀαρών; τίνος ἕνεκεν ἀφεὶς τὸν ἀαρὼν, ἕτεραν εἰσήνεγκεν ἱερωσύνην τὴν τοῦ μελχισεδέκ; ἢ μὴν οὕτω τελείωσις, διὰ τῆς λευϊτικῆς ἱερωσύνης ἦν. τυτέστι τῆς τῶν πραγμάτων, τῆς τῶν δογμάτων τοῦ βίου, ἡ τελείωσις διὰ τῆς λευϊτικῆς ἱερωσύνης ἦν. καὶ ὅρα πῶς ὁσημέρα προβαίνει. εἶπεν ὅτι κατὰ τὴν τάξιν μελχισεδέκ, δεικνὺς ὅτι βελτίων ἡ κατὰ τὴν τάξιν μελχισεδέκ, πολὺ γὰρ βελτίων. λοιπὸν καὶ ἀπὸ τοῦ χρόνου δῆλον δείκνυσιν. ὅτι μετὰ ἀαρὼν δηλονότι, ὃς ἀμείνων. καὶ τί βούλεται τὸ ἑξῆς; ὁ λαὸς γάρφησι ἐπ' αὐτῇ νενομοθέτηται. τί ὅτι ἐπ' αὐτῇ; αὐτῇ τοιχεῖ, δι' αὐτῆς ἅπαντα πράττει. οὐκ ὄθεν εἰπεῖν, ὅτι ἑτέροις ἐδόθη. ὁ λαὸς ἐπ' αὐτῇ νενομοθέτηται. τυτέστι κέχρηται αὐτῇ, καὶ ἐχρήσατο. οὐκ ὄθεν εἰπεῖν, ὅτι τελεία μὴν ἦν. οὐ προσῆκεν δὲ τοῦ λαοῦ. ἐπ' αὐτῇ νενομοθέτηται. τυτέστιν αὐτῇ ἐχρήσατο. τίς οὖν ἑτέρας ἦν ἱερωσύνης χρεία; μεταθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξαναγκὴς καὶ νόμου μετάθεσις γίνεται. εἰ δὲ ἕτερόν τινα ἱερέα εἶναι ἀναγκη, μᾶλλον δὲ ἑτέραν ἱερωσύνην ἀνάγκη, καὶ νόμον ἕτερον εἶναι, δῆλον πρὸς τοὺς λέγοντας, τί ἔδει καινῆς διαθήκης. εἶχε μὲν γὰρ καὶ μαρτυρίαν εἰπεῖν ἀπὸ προφητείας. αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τοῖς πατράσιν ὑμῶν. τέως δὲ ἀπὸ τῆς ἱερωσύνης μάχεται. καὶ ὅρα πῶς ἀνωθεν λέγει. εἶπε κατὰ τὴν τάξιν μελχισεδέκ. δῆλον τὴν ἀαρὼν ἐξέβαλεν. οὐ γὰρ αὖ κατὰ τὴν τάξιν μελχισεδὲκ εἶπεν, εἰ αὐτὴ ἀμείνων ἦν. εἰ τοίνυν ἱερωσύνη εἰσῆκται, ἀλλ' ἔδει καὶ διαθήκην εἶναι. οὔτε γὰρ ἱερέα ὅτι διαθήκης χωρὶς εἶναι, καὶ νόμων, μὴ προσταγμάτων, οὔτε ἑτέραν λαβόντα ἱερωσύνην, ἐκείνην κεχρῆσθαι. εἶτα ὅπερ ἀνάθεσεως ἦν. πῶς ἱερεὺς αὖ ἦ μὴ ὢν λευίτης, δῆλον διὰ τῶν ἄνω προκαταβαλών, οὐ δὲ λῦσαι ἀξιοῖ. ἀλλ' ἐν παρασβομῇ εἰσάγει αὐτό. εἶπον φῇ, ὅτι μετετέθη ἡ ἱερωσύνη. οὐκοῦν καὶ ἡ διαθήκη, μετετέθηκε δὲ οὐ τῷ πρώτῳ μόνον, οὐ δὲ τοῖς προστάγμασιν, ἀλλὰ μὴ τῇ φυλῇ. ἔδει μὴ τῇ φυλῇ. πῶς; μεταθεμένης γὰρ τῆς ἱερωσύνης ἀπὸ φυλῆς εἰς φυλήν, ἀπὸ τῆς ἱερατικῆς ἐπὶ τὴν βασιλικήν. ἵνα ᾖ ἡ αὐτὴ, καὶ βασιλικὴ, καὶ ἱερατικὴ. καὶ θέα τὸ μυστήριον. πρῶτον μὲν ἦν βασιλικὴ, καὶ τοῦτο γέγονεν ἱερατικὴ. ὥσπερ οὖν καὶ ἐπὶ τοῦ χυ, βασιλεὺς μὲν γὰρ ἦν ἀεὶ, ἱερεὺς δὲ γέγονε, ὅτε τὴν σάρκα ἀνέλαβεν, ὅτε τὴν θυσίαν προσήγαγεν. ὁρᾷς τὴν μεταβολήν; καὶ ἅπερ ἀνάθεσεως ἦν, ζαῦτα ὡς τῆς τῶν πραγμάτων ἀκολουθίας ἀναιρεῖται, εἰσάγει. ἐφ' ὃν γὰρ λέγεται ζαῦτα φῇ, φυλῆς ἑτέρας μετέσχηκε, καὶ γὼ φημί. καὶ οἶδα ὅτι οὐδὲν ἱερωσύνης εἶχε, μετάθεσις γάρ ἐστι. ἐγὼ δὲ καὶ ἄλλως φησὶ δείκνυμι διαφοράν. οὐ μόνον ἀπὸ τῆς φυλῆς, οὐδὲ μόνον ἀπὸ τοῦ προσώπου, οὐδὲ ἀπὸ τοῦ τρόπου, οὐδὲ ἀπὸ τῆς διαθήκης, ἀλλὰ καὶ ἀπὸ αὐτοῦ τοῦ τύπου. Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. Γέγονε φησὶ ἱερεὺς οὐ κατὰ νόμον σαρκικῆς ἐντολῆς. ὁ γὰρ νόμος ἐκεῖνος τὰ πολλὰ ἀνόμως ἦν. τί ἐστιν ἐντολῆς σαρκικῆς; περίτεμε φησὶ τὴν σάρκα, χρίσον τὴν σάρκα, λοῦσον τὴν σάρκα,

καθάρισον

καθαίρεσον τὴν σάρκα, περίκειρον τὴν σάρκα, ἐπίδησον τὴν σάρκα, θρέψον τὴν σάρκα, ἄργησον τῇ σαρκί· καὶ τὰ ἀγαθὰ πάλιν· πίνας· πολλὴ ζωὴ τῇ σαρκὶ, γάλα, μὴ μέλι τῇ σαρκὶ, εἰρίων τῇ σαρκὶ, τρυφὴ τῇ σαρκί· ἀπὸ τούτου τὸ νόμῳ τὴν ἱερωσύνην ἔλαβεν ἀαρών· ὁ μέν τοι μελχισεδὲκ,, οὐχ οὕτως· Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος· Τί ἐστι κατάδηλον; τὸ μέσον τῆς ἱερωσύνης ἑκατέρας, τὸ διάφορον ὅσον κρείττων, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε· τίς; ὁ μελχισεδὲκ οὗτος; οὔ· ἀλλ' ὁ χς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου· μαρτυρεῖται γὰρ ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελχισεδέκ· τουτέστιν οὐ προσκαίρος, οὐδὲ πέρασ ἔχων, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου· τουτέστιν διὰ δυνάμεως, διὰ ζωῆς ἀκαταλύτου· καίτοι οὐκέτιν ἀκόλουθον ἐξ ὧν τῷ, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε· τὸ γὰρ ἀκόλουθον ἴσως εἰπεῖν· ἀλλὰ κατὰ πνεῦμα, ἀλλὰ διὰ τὸ σαρκικοῦ, τὸ πρόσκαιρον ἔδειξεν· ὥσπερ καὶ ἀλλαχοῦ λέγει, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα τὰ δικαιώματα τῆς σαρκὸς, κατὰ δύναμιν ζωῆς· τουτέστιν ὅτι οἰκεία δυνάμει ζῇ· εἶπεν ὅτι νόμῳ μετάθεσις γίνεται, καὶ ἔδειξε πῶς, ἐπεὶ λοιπὸν τὴν αἰτίαν· ὃ μάλιστα πάντων πληροφορεῖ τὰς τῶν ἀνθρώπων ψυχὰς, τὸ τὴν αἰτίαν πάντως εἰδέναι, καὶ εἰς πίστιν ἄγει μᾶλλον, ὅταν καὶ τὴν αἰτίαν μάθωμεν, καὶ τὸν λόγον, καθ' ὃν γίνεται· Ἀθέτησις μὲν γὰρ γίνεται φαύλης προκατούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀδυνατές, καὶ ἀνωφελές· Ἐνταῦθα δὲ οἱ αἱρετικοὶ ἐπιφύονται, ἀλλ' ἄκουε ἀκριβῶς· οὐκεῖπε διὰ τὸ πονηρὸν, οὐδὲ διὰ τὸ μοχθηρόν, ἀλλὰ διὰ τὸ αὐτῆς ἀδυνατές, καὶ ἀνωφελές· καὶ ἀλλαχοῦ δὲ δείκνυσι τὸ ἀδυνατές, ὅταν λέγει· ἐν ᾧ ἠδυνέι διὰ τῆς σαρκὸς, οὐκοῦν ἀρα αὕτη ἀδυνατὴς, ἀλλ' ἡμεῖς· Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος· Τί ἐστιν οὐδὲν ἐτελείωσεν; οὐδένα τέλειον εἰργάσατο παρακουόμενος· ἅπαξ δὲ οὐδὲ εἰ ἠκούσθη, τέλειον ἐποίησεν αὖ, καὶ ἐνάρετον· τέως δὲ οὐ τοῦτο φησὶν ὁ λόγος ἐνταῦθα, ἀλλ' ὅτι οὐδὲν ἴσχυσε· καὶ εἰκότως, γράμματα γὰρ ἦν κείμενα· τόδε πράττε, καὶ τόδε μὴ πράττε, ὑποδεδεμένα μόνον, οὐχὶ καὶ δύναμιν ἐνδεδεντα, ἡ δὲ ἐλπὶς οὐ τοιαύτη ἀθέτησις· τί ἐστιν ἐπιβολή; ἡ ἀθέτησις, τῶν κρατουμένων ἐστὶν ἀθέτησις· ὥστε ἔδειξεν ὅτι ἐκράτει, ἀλλὰ κατεφρονήθη λοιπόν· ἐπεὶ δὴ μηδὲν ἤνυσεν· οὐδὲν οὖν ὠφέλησεν ὁ νόμος; ὠφέλησε μὲν, ἀλλὰ καὶ σφόδρα ὠφέλησεν, ἀλλὰ πρὸς τὸ ποιῆσαι τελείους, οὐκ ὠφέλησεν· οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος· κατὰ τοῦτο λέγει· πάντα τύποι ἦσαν, πάντα σκιά, περιτομὴ, θυσία, σάββατον· οὐκ ἴσχυσεν οὖν διαβῆναι εἰς τὴν ψυχήν· διαδύσεως παραχωρεῖ, καὶ ὑπεξίσταται· Εἰσαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ θῷ, μὴ καθόσον οὐ χωρὶς ὁρκωμοσίας· Ὁρᾷς ὅτι ἀναγκαῖον οὕτω γέγονε τὸ τοῦ ὅρκου ἐνταῦθα; ὥστε διαδύσεως πολλὰς αὖ ὁ φιλόσοφος ἔσται· ὅτι ὤμοσεν ὁ θς, καὶ ὤμοσεν ὑπὲρ πλείονος πληροφορίας· εἰσαγωγὴ δὲ κρείττονος ἐλπίδος· εἶχε μὲν γὰρ καὶ ἐκείνα ἐλπίδα, ἀλλ' οὐ τοιαύτην· ἥλπιζον γὰρ δυαρεστήσαντες, ἔξειν τὴν γῆν, μηδὲν πεῖσεσθαι δεινόν· ἐνταῦθα δὲ ἐλπίζομεν δυαρεστήσαντες, οὐ γῆν καθέξειν, ἀλλὰ τὸν οὐρανὸν μᾶλλον, ὁ πολλῷ τούτου κρεῖττόν ἐστιν, ἐλπίζομεν ἐγγὺς γήσεσθαι τοῦ θυ, παρ' αὐτὸν ἥκειν τὸν θρόνον τὸν πρῶτον, λειτουργήσειν αὐτῷ μετ' ἀγγέλων· καὶ ὅρα πῶς αὐτὰ πίθησι καταμικρόν· ἐκεῖ μὲν γάρ φησιν, εἰσερχομένῳ εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ἐνταῦθα δὲ δι' ἧς ἐγγίζομεν τῷ θῷ, μὴ καθόσον οὐ χωρὶς ὁρκωμοσίας· τί ἐστι καὶ καθόσον οὐ χωρὶς ὁρκωμοσίας;

» μοσίασε, τουτέστιν ἑνὶ καὶ ἄνδρι διαφορά· καὶ οὐδὲ ἁπλῶς ταῦτα ἐπήγγελται φησί. Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, ὁ δὲ, μετ' ὁρκωμοσίας· διὰ τοῦ λέγοντος πρὸς » αὐτόν· ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. Δύο τίνων διαφορὰς, ὅτι οὐκέτι τέλος ὡς περ ἐνομική· δεύτερον δὲ ποιεῖ ἀπὸ τοῦ χρόνου τοῦ μετὰ ὅρκου· κατὰ δύναμιν γάρ φησι ζωῆς ἀκαταλύτου· ποιεῖ δὲ αὐτὸ, καὶ ἀπὸ τοῦ ὅρκου ὅτι ὤμοσε, καὶ ἀπὸ τοῦ πράγματος· εἰ γὰρ ἐπειδὴ ἀθενὴς ἦν ἐκείνη ἐξεβλήθη, αὖτη δὲ ἐπειδὴ δυνατή ἐστιν, ἔφησε· ποιεῖ δὲ αὐτὸ, καὶ ἀπὸ τοῦ ἱερέως, πῶς; ὅτι εἷς ἐστι, καὶ οὐκ ἂν εἰς ἦν, εἰ μὴ ἀθάνατος· ὥσπερ γὰρ πολλοὶ ἱερεῖς διὰ τὸ θνητοὶ εἶναι, οὕτως ὁ εἷς διὰ τὸ ἀθάνατος εἶναι· κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς, καθότι ὤμοσεν ἀεὶ αὐτὸν ἔσεσθαι, οὐκ ἂν ὅρκον ποιήσας, » εἰ μὴ ζῶν ἦν. Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ » τοῦ θεοῦ. Ταῦτα τε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν· ὁρᾷς ὅτι εἰς τὸ κατὰ σάρκα ταῦτα φησί; ὅταν γὰρ ὡς ἱερεὺς, τότε καὶ ἐντυγχάνει, ὡς ὅταν λέγῃ παῦλος, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, τὸ αὐτὸ αἰνίττεται, ὅτι ἀρχιερεὺς ὢν ἐντυγχάνει· ἐπεὶ ὁ ἐγείρων τοὺς νεκροὺς ὡς θέλει, καὶ ζωοποιῶν, καὶ οὕτως ὡς ὁ πατὴρ, πῶς ἔνθα σῶσαι δεῖ, ἐντυγχάνει; ὁ πᾶσαν τὴν κρίσιν ἔχων, πῶς ἐντυγχάνει ὁ ἀποστέλλων τοὺς ἀγγέλους, ὥστε τοὺς μὲν, εἰς κάμινον ἐμβαλεῖν τοὺς δὲ, σῶσαι· ὅθεν φησὶ, καὶ σώζειν δύναται· διὰ τοῦτο οὖν σώζει· ἐπειδὴ οὐκ ἀποθνήσκει· ἐπειδὴ ἀεὶ ζῇ· οὐκέτι διάδοχον φησί· εἰ δὲ οὐκέτι διάδοχον, καὶ δύναται πάντων προίστασθαι· ἐν τούτῳ μὲν γὰρ ὁ ἀρχιερεὺς, εἰ καὶ θαυμαστὸς ἦν, μέχρι τοῦ καιροῦ ἐκείνου ἐν ᾧ ἦν οἷον ὁ σαμουὴλ, καὶ ὅσοι τοιοῦτοι· μὴ δὲ τούτων, οὐκέτι· ἐτεθνήκεσαν γάρ, ἐν τούτῳ δὲ οὐχ οὕτως, ἀλλὰ σώζει εἰς τὸ παντελές· τί ἐστιν εἰς τὸ παντελές; μυσταγωγικόν τι αἰνίττεται, οὐκ ἐν τούτῳ μόνον φησὶν, ἀλλὰ καὶ ἐκεῖ σώζει τοὺς προσερχομένους δι' αὐτοῦ τοῦ θεοῦ· πῶς σώζει; πάντοτε ζῶν, εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν· ὁρᾷς τὴν ἀνθρωποπάθειαν; οὐ γὰρ φησὶν αὐτὸν ἐπιτυγχάνοντα τούτου τυχεῖν, ἀλλ' ἀεὶ, μὴ ἵνα καὶ δέηται ἐντυγχάνειν ὑπὲρ αὐτῶν εἰς τὸ παντελές· τί ἐστιν; οὐ πρόσκαιρον μόνον, ἀλλὰ καὶ ἐκεῖ ἐν τῇ μελλούσῃ ζωῇ; ἀεὶ οὖν δεῖται τοῦ δυνήσεσθαι; καὶ πῶς αὖ ἔχοι λόγον; καὶ αὖ οἱ μὲν πολλάκις δίκαιοι ἐκ μιᾶς αἰτήσεως τὸ πᾶν ἤνυσαν, αὐτὸς δὲ ἀεὶ δεῖται; τίνος οὖν ἕνεκεν συγκάθηται, ὁρᾷς ὅτι συγκατάβασίς ἐστι; μὴ δείσητε, μὴ εἴπητε ναὶ, φιλεῖ μὲν ἡμᾶς, καὶ παῤῥησίαν ἔχει πρὸς τὸν πατέρα, ἀλλ' οὐκ ἀεὶ ζῇ, ἀεὶ γὰρ ζῇ.

» Τοιοῦτος γὰρ ἡμῖν, ἡ ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν » ἁμαρτωλῶν. Ὁρᾷς ὅτι περὶ τῆς ἀνθρωποπάθειας τὸ πᾶν εἴρηται; Ὅταν δὲ εἴπω ἀνω- » πότητα, θεότητα ἔχουσαν λέγω οὐ διαιρῶν, ἀλλὰ ἀφεὶς τὰ πρέποντα ὑποπολύειν· εἶδες » τὴν διαφορὰν τοῦ ἀρχιερέως; ἀνεκεφαλαιώσατο τὰ λεχθέντα. Πεπειραμένον δὲ κα » τὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. Τοιοῦτος γὰρ ἡμῖν φησὶ ἡ ἔπρεπεν ἀρχιερεὺς ὅ- σιος, ἄκακος. ἄκακος τί ἐστιν; ἀπόνηρος, ὃ λέγει ἕτερος προφήτης, δόλος οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ· τουτέστιν οὐχ ὕπουλος, ἵνα αὖτις περὶ θεοῦ εἴποις; καὶ οὐκαὶ χωρὶς λέγων ὅτι θεὸς οὐκέτι ἦν ὕπουλος, οὐδὲ δολερὸς; περὶ μὲν οὖν τοῦ κατὰ σάρκα, ἔχοι ἂν λόγον, ὅσιος, ἀμίαντος, ἡ ἵνα οὐ περὶ θεοῦ εἴποιτις ἄν· ἔχει γὰρ φύσιν μὴ μιαίνεσθαι, κεχωρισμένος ἀπὸ » τῶν ἁμαρτωλῶν. Τοῦτο οὖν μόνον δείκνυσι τὸ διάφορον, ἢ καὶ αὐτὴ ἡ θυσία· πῶς;

Οὐκέτι

» Οὐκέχει φησὶ καθημέραν ἀνάγκην, ὥσπερ ὁ ἀρχιερεὺς ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ ἀνα-
» φέρειν θυσίας· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Τοῦτο ποιῶν, ἐνταῦθα
προανακρούεται λοιπὸν τῆς πυκνῆς θυσίας ἢ ὑπερβολῇ, καὶ τὸ μέσον. εἴτε τὸ τοῦ ἱερέως,
εἴτε τὸ τῆς διαθήκης, οὐχ ὅλον μέν, εἴπερ δὲ ὅμως, ἐνταῦθα προανακρούεται λοιπόν, καὶ
αὐτὴν τὴν θυσίαν, μὴ τοίνυν αὐτὸν ἱερέα ἀκούσας, ἀεὶ ἱερᾶσθαι νόμιζε. ἅπαξ γὰρ ἱεράσ-
ατο, καὶ λοιπὸν ἐκάθισε, ἵνα μὴ νομίσῃς αὖθις ἑστάναι αὐτὸν, καὶ λειτουργὸν εἶναι, δείκ-
νυσιν ὅτι οἰκονομίας τὸ πρᾶγμα ἐστίν. ὥσπερ γὰρ δοῦλος ἐγένετο, οὕτως καὶ ἱερεύς, καὶ λει-
τουργός, ἀλλ' ὥσπερ δοῦλος γενόμενος, οὐκέμεινε δοῦλος, οὕτως καὶ λειτουργὸς γενόμε-
νος, οὐκέμεινε λειτουργός. οὐ γὰρ λειτουργοῦ τὸ καθῆσθαι, ἀλλὰ τὸ ἑστάναι. διὰ τοῦτο οὐκ
» ἀνίησι ἐνταῦθα, καὶ τῆς θυσίας τὸ μεγαλεῖον, εἰ ἅπαξ μία οὖσα, καὶ ἅπαξ προσε-
» νεχθεῖσα, τοσοῦτον ὅσον οἱ πάντες οὐκ ἴσχυσαν. Ἀλλ' οὔπω περὶ τούτων. διὰ τοῦτο γὰρ ἐποίη-
» σε φησί. διὰ ποῖον; Ἀναγκαῖον γὰρ ἔχειν φησί τι, καὶ διὰ τοῦτο ὁ προσενέγκῃ. Οὐ τὸ ὑ-
» πὲρ ἑαυτοῦ. Πῶς γὰρ ὑπὲρ ἑαυτοῦ προσέφερεν; ἀλλ' ὑπὲρ τοῦ λαοῦ. Τί λέγεις; καὶ
» ἰσχύει διὰ τοῦτο; ναί φησιν. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν.
Καὶ οὐ δεῖται τοῦ προσφέρειν ὑπὲρ ἑαυτοῦ; οὔφησιν. ἵνα γὰρ μὴ διὰ τοῦτο νομίσῃς, τὸ ἐποίησεν
ἐφάπαξ, καὶ περὶ αὐτοῦ εἰρῆσθαι, ἄκουσον τί φησιν. ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρ-
» χιερεῖς ἔχοντας ἀσθένειαν. διὰ τοῦτο καὶ ἀεὶ ὑπὲρ ἑαυτῶν προσφέρουσιν. Ὁ μέντοι δυ-
» νατὸς ὁ μὴ ἔχων ἁμαρτίαν, τίνος ἕνεκεν περὶ ἑαυτοῦ προσφέρει, ἢ περὶ τῶν ἄλλων πολλά-
» κις; Ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον ἦν εἰς τὸν αἰῶνα τετελειωμένον.
Τετελειωμένον τί ὄντι; οὐ πέπαυσι τὰς αὐτὰ διαπολλάσας ὁ παῦλος κυρίως. εἰ πῶς γὰρ ἔχοντας
ἀσθένειαν, οὐκεῖπεν ἦν ὁρκωμοσίαν, ἀλλὰ τετελειωμένον τοῦτέστι δυνατὸν, ὡς αὖ εἰ ποιῇς,
ὁρᾷς ὅτι τὸ ὑὸς ὄνομα πρὸς ἀντιδιαστολὴν τοῦ δούλου εἴρηται; ἀσθένειαν δὲ, ἢ ἁμαρτίαν
φησὶν, ἢ θάνατον. τί ὄντι εἰς τὸν αἰῶνα; οὐ νῦν μόνον ἀναμάρτητον, ἀλλ' ἀεί. εἰ τοίνυν
τέλειός ὄντι, εἰ μηδέποτε ἁμαρτάνῃ, ἀλλ' ἀεὶ ᾖ, τίνος ἕνεκεν προσοίσει πολλάκις ὑπὲρ ἡ-
μῶν θυσίας; ἀλλὰ τέως μὲν ὑπὲρ τούτου οὐκἀχνείξεται. ὑπὲρ δὲ τοῦ μὴ προσφέρειν αὖ-
τὸν ὑπὲρ ἑαυτοῦ, διὰ τοῦτο ἰσχνείξεται. ἐπεὶ οὖν τοιοῦτον ἔχομεν ἀρχιερέα, μιμησώμεθα αὐ-
τόν. κατ' ἴχνος αὐτοῦ βαίνωμεν. οὐκ ὄντι ἄλλη θυσία, μία ἡμῖν ἐκάθαρε. μετὰ δὲ διὰ τοῦτο,
πῦρ καὶ γέεννα. καὶ γὰρ καὶ διὰ τοῦτο αὖθις, καὶ κάτω φέφει λέγων ἕνα ἱερέα, μίαν θυσίαν,
ἵνα μήτις νομίζων πολλάκις εἶναι, ἀδεῶς ἁμαρτάνῃ. Η' ἤδον.

Ο" σοι τοίνυν καταξιώθημεν τῆς σφραγῖδος, ὅσοι τῆς θυσίας ἀπελαύσαμεν, ὅσοι τῆς ἀθα-
νάτου τραπέζης μετέχομεν, μένωμεν φυλάττοντες τὴν εὐγένειαν, καὶ τὴν τιμήν. οὐ γὰρ
ἀκίνδυνος ἡ ἀπόστασις. ὅσοι δὲ μηδέπω καταξιώθησαν τούτων, μὴ δὲ οὗτοι διὰ τοῦτο θαρ-
ρείτωσαν. ὅταν γάρτις διὰ τοῦτο ἁμαρτάνῃ, ἵνα τὸ ἅγιον βάπτισμα περὶ ἐχάτους λάβῃ
τοὺς ἀναπνοαῖς, πολλάκις οὐκέτι πεύξεται, καὶ πῶς εἶσα τέμοι, οὐ φοβῶν ὑμᾶς λέγω, ὃ
μέλλω λέγειν. πολλοὺς οἶδα τοῦτο παθόντας ἐγώ, οἳ προσδοκίᾳ μὲν τοῦ φωτίσματος, πολ
λάκις ἡμάρτανον. πρὸς δὲ τὴν ἡμέραν τῆς τελευτῆς, ἀπῆλθον κενοί. ὁ γὰρ διὰ τοῦτο τὸ βά-
πτισμα ἔδωκεν, ἵνα λύσῃ τὰς ἁμαρτίας, ἵνα αὐξήσῃ τὰς ἁμαρτίας. εἰ δέτις τούτῳ κεχρη-
μένος εἴη πρὸς ἄδειαν τοῦ πλείονα ἁμαρτάνειν, ῥᾳθυμίας τοῦτο γίνεται αἴτιον. εἰ γὰρ μὴ λύ-

πρὸν ἰῶ, ἀσφαλέστερον ἔζων, ὡς οὐκ ἐχοντες ἄφεσιν. ὁρᾷς ὅτι τ ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθὰ ἡμεῖς ἐσμὲν οἱ ποιοῦντες λέγεσθαι; διὸ παρακαλῶ, καὶ ὑμεῖς οἱ ἀμύητοι γίνεσθε, μηδεὶς ὡς μαθητὴς, μηδεὶς ὡς ἀγνώμων. οὕτω μείζετο τὴν ἀρετὴν, μηδεὶς ὡς βαρὺ, καὶ φορτικόν. μὴ προθυμίας τίνων ταύτην μετέλθωμεν, καὶ χαίροντες. εἰ γὰρ μὴ μαθὸς ἦκετο, οὐκ ἐχρῆν εἶναι ἀγαθὸν, ἀλλ' ὅμως κἂν μετὰ μαθοῦ γενώμεθα ἀγαθοὶ, καὶ πῶς οὐκ αἰσχύνης ἄξιον; καὶ μεγίστη κατάγνωσις. ἐὰν μὴ δῶρα φησὶν, οὐ γίνομαι σώφρων. οὐκοῦν τολμῶντες εἰσῆλθον, οὐδέποτε εἰς σώφρων, οὐδ' ὅταν σωφρονῆς, εἶτε μαθὼν αὐτὸ ποιῇς. οὐδὲν ἡγῇ τὴν ἀρετὴν, εἶτε μὴ ἐρᾷς αὐτῆς. ἀλλ' ὁ δὲ λέγει τὴν πολλὴν ἡμῶν ἀθένειαν, ἕως κἂν μαθοῦν ἢ θέλησεν αὐτὴν γένεσθαι. ἡμεῖς δὲ οὐδὲ οὕτω μέτεσμεν αὐτῆς. θῶμεν δὲ εἰ βούλεσθε, ὅτι ἀνθρώπος τις μυρία ἐργασάμενος κακὰ ἄφεσιν, καὶ καταξιωθεὶς τοῦ βαπτίσματος, ὅπερ οὐ ταχέως οἶμαι συμβαίνειν, πῶς ἀπελθύσεται ἐκεῖ εἰσέρχεσθαι; ὑπὲρ μὲν τῶν εἰργασμένων, οὐκ ἐγκαλούμενος, ἀπαρρησίαστος δὲ εἰκότως. ὅταν γὰρ ἐκεῖνον ἔτι βιώσας, μηδὲν ἀγαθὸν ἕτερον ἐπιδείξῃ), ἀλλὰ μόνον, ὅτι οὐχ ἥμαρτε, μαθὴν δὲ μὴ δὲ τοῦτο, ἀλλὰ τῇ χάριτι μόνῃ διεσώθη, ἑτέρους δὲ ἐστεφανωμένους λαμπροὺς, καὶ δυσδιήμους ἴδῃ, κἂν εἰς γέενναν μὴ ἐμπέσῃ, ἆρα οἴσει τὴν ἀδημίαν εἰκότως; ἵνα δὲ μὴ ὑποδείγματος τὸ πρᾶγμα ποιήσω φανερὸν, ἔστωσαν δύο φρατῶται, καὶ ὁ μὲν κλεπτέτω, ἀδικείτω, πλεονεκτείτω, ὁ δὲ μηδὲν τούτων ἐργαζέσθω, ἀλλὰ ἀνδραγαθείτω, μεγάλα κατορθούτω, ἐν πολέμοις τρόπαια ἱστάτω, αἱματτέτω τὴν δεξιάν. εἶτα καιροῦ ἐπιστάντος, ὁ μὲν, ἀπὸ τῆς ἀξίας ἐκείνης, ἐν ᾗ καὶ ὁ κλεπτὴς ἦν, ἀθρόον τὸν βασιλικὸν θρόνον, καὶ τὴν ἁλουργίδα ἀγέσθω. ἐκεῖνος δὲ ἐκεῖ μενέτω ἔνθα ἦν, ἀπὸ δὲ τῆς φιλανθρωπίας μόνον τῆς βασιλικῆς, μὴ δότω πλέον ὧν ἔδρασεν. ἐν μέντοι τῷ ἐχάτῳ τόπῳ ἕστω, καὶ ὑπὸ τῷ βασιλεῖ τασσέσθω. ἆρα οἴσει τὴν ἀδημίαν εἰκότως; ὅταν ἴδῃ μὲν μετ' αὐτὸν πρὸς αὐτὴν ἀνελθόντα τῶν ἀξιωμάτων τὴν κορυφὴν, καὶ οὕτω λαμπρὸν γενόμενον, καὶ τῆς οἰκουμένης κρατοῦντα, οὐ μὴν δὲ ἐπικάτω μένοντα, καὶ οὐδὲ αὐτὸ μὴ πολαθῆναι μὴ τιμῆς ἔχοντα, ἀλλ' ἀπὸ τῆς χάριτος, καὶ τῆς φιλανθρωπίας τοῦ βασιλέως; κἂν γὰρ ἀφῇ ὁ βασιλεὺς, καὶ ἐγκλημάτων ἀπαλλάξῃ, ἀλλ' ὅμως αἰσχυνόμενος βιώσεται. οὐ γὰρ δὴ καὶ ἄλλοι αὐτὸν θαυμάσονται. ἐν γὰρ ταῖς τοιαύταις συγχωρήσεσιν, οὐ τοὺς λαμβάνοντας τὰ δῶρα, ἀλλὰ τοὺς διδόντας θαυμάζομεν. καὶ ὅσῳ αὖ μείζονα δώσει δῶρα, τοσούτῳ μᾶλλον κατεσχύνοντο οἱ λαμβάνοντες, ὅταν μεγάλα ᾖ αὐτῆς τὰ ἡμαρτημένα. ποίοις οὖν ὀφθαλμοῖς ἀνθρώπους ἀνθρώπους ἀνθρώπους

ἔθος ἔσται, καὶ ἔθος οὐκ ἀπ' ἐμαυτῆ λέγω, καὶ γὰρ ἕτεραν τούτων μείζονα πίθηκοι διαφορὰν ὁ παῦλος, ὅσαι γὰρ διαφοραί φησιν ἀπὸ ἡλίου ἕως σελήνης, καὶ ἀστέρων, καὶ τῆ μικροτάτου ἀστέρος, τοσαῦται καὶ τῶν ἐν τῆ βασιλείᾳ, καὶ ὅτι πολλῷ πλέον τῆ, δεικνοῦ λεγομένου, καὶ τῆ ὑπάρχου, καὶ τῆ ἡλίου, καὶ τῆ μικροτάτου ἀστέρος τὸ διάφορον, δῆλον ἅπασιν. ὁ μὲν γὰρ ἥλιος πᾶσαν ὁμῶς καταλάμπει τὴν οἰκουμένην, καὶ φαιδρὰν ποιεῖ, καὶ σελήνη, καὶ ἀστέρας ἀποκρύπτει. ὁ δὲ πολλάκις, οὐδὲ φαίνεται, καὶ ταῦτα ἐν σκότῳ. πολλοὶ γάρ εἰσι τῶν ἀστέρων, οὓς οὐχ ὁρῶμεν. ὅταν οὖν ἑτέρους ὁρῶμεν ἡλίους γινομένους, ἡμεῖς δὲ τῶν ἀστέρων τῶν σμικροτάτων τὴν τάξιν ἔχομεν τῶν οὐδὲ φαινομένων, τίς ἔσται ἡμῖν παραμυθία; μὴ παρακαλῶ, μὴ οὕτω νωθεῖς, μὴ οὕτως ἀργοί, μὴ πραγματευώμεθα τὰ θεοῦ τὴν σωτηρίαν εἰς ῥᾳθυμίαν, ἀλλ' ἐμπορεύωμεθα αὐτὴν, καὶ πλουτήσωμεν. κἂν γὰρ κατηχούμενός τις ᾖ, ἀλλὰ τὸν χριστὸν οἶδεν, ἀλλὰ τὴν πίστιν ἔγνω, ἀλλὰ τῶν θείων ἐπακούει λόγων, ἀλλ' οὐ πόρρω ἐστὶ τῆς θείας γνώσεως, οἶδε τὸ θέλημα τὸ δεσπότου αὐτὸ. τίνος ἕνεκεν ἀναβάλλεται; τίνος ἕνεκεν μέλλει, καὶ ὑπερπίθεται; οὐδὲν βίου κρεῖττον καλοῦ, καὶ ἐν ταύτῃ καὶ κεῖ, καὶ ὑπὸ φωτιζομένων, καὶ σὺν κατηχουμένων. τί γὰρ εἰ πέμοι φορτικὸν σύντεταγμέθα; ἔχε φησὶ γυναῖκα, καὶ σωφρόνει. δῆλον δύσκολον; πῶς, ὅπου γε πολλοὶ χωρὶς γυναικὸς σωφρονοῦσιν; οὐ χριστιανοὶ, μόνον ἀλλὰ καὶ ἕλληνες, ὃ ὑπερβαίνει, ὁ ἕλλην ἀφ' ἡδονὴν δόξαν, οὐ οὐδὲ δῆλον τηρεῖς ἀφ' ἡδονὴν φόβον τοῦ θεοῦ; δίδου φησὶ πένησιν ἐκ τῶν ὄντων. δῆλον φορτικόν; ἀλλὰ καὶ ἐν ταύτῃ καὶ σὺν ταύτῃ καταγορεῦσιν ἡμῶν ἕλληνες, ὁλοκλήρους οὐσίας κενώσαντες ἀφ' ἡδονὴν δόξαν μόνην. μὴ αὐχερολόγει, δῆλον δύσκολον; εἰ γὰρ μὴ σύντεταχε, οὐκ ἔδει αὐτὸ καταγνωσθῆναι, ἵνα μὴ ἄπιμοι φαινώμεθα; ὅτι γὰρ τὸ ἐναντίον δύσκολον, τὸ αὐχερολογεῖν λέγω, δῆλον ἐξ ὧν αὐδεῖ τὰ ἡ ψυχὴ, καὶ ἐρυθριᾷ, ἐὰν τοιοῦτόν τι ποιῆσαι προσχθῇ, καὶ οὐδὲ χαίρει, ἐὰν μὴ μεθύῃ. διατὶ γὰρ σπουδαῖος καθήμενος, καὶ ἀκούσας δῆλον ποιῇς, ἐκεῖ οὐ ποιεῖς; ἀφ' ἡδονὴν τοὺς παρόντας. διατὶ ἀκούσης τῆς γυναικὸς σου τὰ χέως τὸ αὐτὸ μὴ ποιεῖς; ἵνα μὴ αὐτὴν ὑβρίσῃς. ὁ τοίνυν ἀφ' ἡδονὴν γυναῖκα, οὐ ποιεῖς, τὸν θεὸν ὑβρίζων οὐκ ἐρυθριᾷς; πάντα χοῦν γὰρ πάρεστι, καὶ πάντα ἀκούει. μὴ μέθυε φησί. δῆλον γὰρ καὶ αὐτὸ καθεαυτὸ οὐ κόλασις; οὐκ εἶτα κατάτεινον τὸ σῶμα, ἀλλὰ πῶς; μὴ οὕτως αὐτὸ ἐκτρυχηλίσῃς, ὡς τῆς ψυχῆς ἀφελέσθαι τὴν ἀρχήν. ἀλλ' εἰς σπουδὴν αὐτὸ μὴ προνόει. μὴ ἁρπαζε φησὶ τὰ μὴ σά, μὴ πλεονέκτει, μὴ ἐφόρκει. ποίων πόνων ταῦτα δεῖται; ποίων ἱδρώτων; μὴ κατηγόρει φησὶ μὴ δὲ συκοφάντει. τοὐναντίον μὲν οὖν πόνος, ὅταν μὲν γὰρ εἰκῆ καὶ κακῶς, δι' ἡδονὴν ἂν κινδύνῳ εἶ, ἐν ὑποψίᾳ. μὴ ἤκουσε περὶ οὗ εἶπον; αὐτὸ μέγας ἦ, αὐτὸ μικρός. αὐτὸ μὲν γὰρ μέγας ἦ, ἐν ἔργοις κινδύνου δύσεις δι' ἡδονὴν. αὐτὸ δὲ μικρὸς, τοῖς ἴσοις σε ἀμείβεται, μᾶλλον δὲ καὶ πολλῷ χαλεπωτέροις, μείζονα σε ἐργάσῃ κακῶς, οὐδὲν δύσκολον, οὐδὲν φορτικὸν σύντεταγμένον, αὐ βουλώμεθα, αὐ δὲ μὴ βουλώμεθα, καὶ τὰ ῥᾴστα, φορτικὰ ἡμῖν φανεῖται. τί τὸ φαγεῖν ῥᾴον; ἀλλ' οὗτος πολλῆς βλακείας, πολλοὶ καὶ πρὸς δῆλον δυσχεραίνουσι. πολλῶν δὲ ἀκούω λεγόντων, ὅτι καὶ τὸ φαγεῖν κάματος, οὐδὲν τούτων ἔχει κάματον αὐ θέλῃς. ἐν γὰρ τῷ θέλειν πάντα κεῖται, μετὰ τὴν αὖθις χάριν. θελήσωμεν οὖν τὰ ἀγαθὰ, ἵνα καὶ τῶν αἰωνίων τύχωμεν ἀγαθῶν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, ιδ'. Κεφ. ή.

» Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τῦ θρό
» νου τῆς μεγαλωσυνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθι-
» νῆς, ἣν ἔπηξεν ὁ κύριος, καὶ οὐκ ἄνθρωπος. Ἀναμίγνυσι τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁ
παῦλος, ὁ ἀεὶ τὸν διδάσκαλον μιμούμενος τὸν αὐτῦ, ὥστε τὰ ταπεινὰ, τοῖς ὑψηλοῖς ὁδὸν
γενέσθαι, καὶ διὰ τούτων ἐπ' ἐκεῖνα χειραγωγηθῆναι, καὶ γενομένους ἐν τοῖς μεγάλοις μαν
θάνειν, ὅτι ταῦτα συγκαταβάσεως ἦν. ἔστιν γοῦν ἐνταῦθα ποιεῖ εἰπὼν, ὅτι ἀνέμιγνεν
ἑαυτὸν, καὶ ἀρχιερέα δείξας, φησί. κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν
ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσυνης ἐν τοῖς οὐρανοῖς. καίτοι
ἔστιν οὐχὶ ἱερέως, ἀλλὰ τούτου ᾧ ἱεράσθαι ἐκεῖνον χρή. τῶν ἁγίων λειτουργὸς, οὐδὲ λειτουρ
γὸς ἁπλῶς, ἀλλὰ τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος,
καὶ οὐκ ἄνθρωπος. ὁρᾷς τὴν συγκατάβασιν; οὐχὶ πρὸ μικροῦ διέσυρε λέγων, οὐχὶ πάντες
εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν φησὶ καὶ ἔπεμπεν ἐκδεξιῶνμα, ὡς τῦ καθημένου οὐκόντος
λειτουργοῦ; πῶς οὖν λειτουργὸς ἐνταῦθα εἴρηται, καὶ λειτουργὸς τῶν ἁγίων; τὴν γὰρ
σκηνὴν ἐνταῦθα φησίν. ὅρα πῶς ἦρε τὰς ψυχὰς τῶν ἐξ ἰουδαίων ἀπεστομωμένων. ἐπει-
δὴ γὰρ εἰκὸς ἦν αὐτοὺς φαντάζεσθαι, ὅτι σκηνὴν οὐκ ἔχομεν τοιαύτην, ἰδοὺ φησὶν ὁ ἱερεύς,
καὶ μέγας, καὶ πολὺ μείζων ἐκείνου, καὶ θυσίαν θαυμασιωτέραν προσήνεγκεν. ἀλλ' ὅρα
μὴ κόμπος ταῦτα, καὶ ψυχαγωγία; διὰ τοῦτο ἐπιστώσατο πρότερον ἀπὸ τῦ ὅρκου, λοιπὸν
δὲ καὶ ἀπὸ τῆς σκηνῆς. ἦν μὲν γὰρ καὶ αὕτη διαφορά. οὗτος δὲ καὶ ἑτέραν ἐπι-
νοεῖ. ἣν ἔπηξεν ὁ κύριος φησὶ, καὶ οὐκ ἄνθρωπος. ποῦ εἰσιν οἱ λέγοντες κενεῖσθαι τὸν οὐρα-
νόν; ποῦ εἰσιν οἱ σφαιροειδῆ αὐτὸν εἶναι ἀποφαινόμενοι; ἀμφότερα γὰρ ταῦτα, ἀνῄρηται
ἐνταῦθα. κεφάλαιον δέ φησιν ἐπὶ τοῖς λεγομένοις, κεφάλαιον ἀεὶ τὸ μέγιστον λέγεται.
πάλιν κατάγει τὸν λόγον, εἰπὼν τὸ ὑψηλὸν, ἀδεῶς φθέγγεται λοιπόν. εἶτα ἵνα μάθῃς, ὅτι
» λειτουργὸς, πρὸς τῆς ἀνθρωποπρεπείας φησίν. ὅρα πῶς πάλιν ἐπισημαίνεται. Γαὸ γὰρ
» ἀρχιερεῖς φησιν εἰς τὸ προσφέρειν δῶρά τε, καὶ θυσίας καθίστανται, ὅθεν ἀναγκαῖον ἔχειν
» τι, καὶ ὅθεν ὁ προσενέγκῃ. Μὴ οὖν ἐπειδὴ ἀκούεις, ὅτι καθῆται, ὕθλον εἶναι νομίσῃς τὸ
ἀρχιερέα αὐτὸν εἰρῆσθαι. ἐκεῖνο μὲν γὰρ τῆς ἀξίας τοῦ θεοῦ τὸ καθῆσθαι, ἦν δὲ τῆς φι-
λανθρωπίας τῆς πολλῆς, καὶ τῆς εἰς ἡμᾶς κηδεμονίας. διὰ τοῦτο αὐτὸ λιταίνει, καὶ τού-
τῳ πλέον ἐνδιατρίβει. δέδοικε γὰρ μὴ ἐκεῖνο ἀνατρέψῃ. διὰ τοῦτο πάλιν ἐπὶ τοῦτο κατά-
γει τὸν λόγον, ἐπειδὴ ἐξήτουν τινὲς πόθεν ἔνεκεν ἀποθανὼν ἱερεὺς ὤν, ἱερεὺς δὲ χωρὶς θυ-
σίας οὐκ ἦν. δεῖ τοίνυν καὶ τοῦτον ἔχειν θυσίαν. ἄλλως δὲ εἰπὼν, ὅτι αὖ ὤφθη, λέγει καὶ
δείκνυσιν, ὅτι ἱερεὺς ἦν πάντοθεν, ἀπὸ τῦ μελχισεδὲκ, ἀπὸ τῦ ὅρκου, ἀπὸ τῦ προσε-
» νεγκεῖν θυσίαν, ἐκ τούτου λοιπὸν, καὶ ἀναγκαῖον ἄλλον πλέκει συλλογισμόν. Εἰ μὲν
» γὰρ ἐπὶ γῆς φησιν, οὐδ' ἂν ἦν ἱερεύς. ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον
» τὰ δῶρα. Εἰ τοίνυν ἐστὶν ἱερεύς, ὥσπερ οὖν καὶ ἐστὶ, δεῖ αὐτὸν τόπον ζητῆσαι ἕτερον.
ἐπὶ γῆς μὲν γὰρ ὢν, οὐκ ἂν ἦν ἱερεύς. πῶς γάρ; οὐ προσήνεγκεν, οὐχ' ἱεράσατο, καὶ εἰκό-
τως. ἦσαν γὰρ οἱ ἱερεῖς, καὶ δείκνυσιν, ὅτι οὐδὲ ὅλως ἦν ἐπὶ γῆς εἶναι ἱερέα. πῶς γάρ; οὐκ
ἐπανάστασις ἦν φησίν. ἐνταῦθα ἀναγκαῖον παραπέμψαι τὸν νοῦν, καὶ σωίζειν τὴν ἀπο-

φολικὴν

» φολικιῶ σώμασιν. πάλιν γαρ' τῶ διαφορᾶ δείκνυσι τῆς ἱερωσύνης. Οἵτινες φησὶν ὑ-
» ποδείγματι, καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων. Τίνα λέγει ἐν ζαῦθα ἐπουράνια;
τὰ πνευματικά. εἰ γαρ καὶ ἐπὶ γῆς τελεῖται, ἀλλ' ὅμως τῶν οὐρανίων εἰσὶν ἄξια. ὅταν
γὰρ ὁ κύριος ἡμῶν ἰησοῦς χς κεῖται ἐσφαγμένος, ὅταν πνεῦμα παραγίνηται, ὅταν ὁ καθή-
μενος ἐν δεξιᾷ τῦ πατρὸς ἐνταῦθα ᾖ, ὅταν γοῦν γίνωνται ἐκ τοῦ λουτροῦ, ὅταν πολῖ-
ται ὦσι τῶν ἐν οὐρανοῖς, ὅταν πατρίδα ἔχωμεν ἐκεῖ, καὶ πόλιν, καὶ πολίτευμα, ὅταν
ξένοι ὦμεν τῶν ἐνζαῦθα, πῶς οὐκ ἐπουράνια ζαῦτα τυγχάνει; ἀλλὰ τί, οἱ ὕμνοι οὐκ ἐ-
πουράνιοι; οὐχ ἅπερ ἄνω ἀῴδυσιν οἱ χοροὶ τῶν ἀσωμάτων δυνάμεων, τῦτο καὶ ἡμεῖς οἱ
κάτω σωμῶδες ἐκείνοις φθεγγόμεθα; οὐχὶ καὶ τὸ θυσιαστήριον ἐπουράνιον; πῶς; οὐδὲν
ἔχει σαρκικόν. πάντα πνευματικὰ γίνεται τὰ προκείμενα, οὐκεὶς τέφραν, οὐκεὶς κάπνον,
οὐκεὶς κνίσσαν διαχεῖται ἡ θυσία, ἀλλὰ λαμπρὰ, καὶ φασιδρότερα ἐργάζεται τὰ προ-
κείμενα. πῶς δὲ οὐκ οὐρανία τὰ τελούμενα; ὅταν γὰρ λέγῃ, αὔτινων κρατήσωσι τὰς ἁμαρ
τίας, κεκράτηνται, αὔτινων ἀφήσουσιν ἀφέενται, καὶ τὰς κλεῖς ἔχωσι, καὶ βασιλείας τῦ
» οὐρανοῦ, πῶς οὐκ οὐρανία πάντα; Οἵτινες φησὶν ὑποδείγματι, καὶ σκιᾷ λατρεύουσι
» τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται μωϋσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν. ὅρα γαρ
» φησι. ποιήσεις κατὰ τὸν τύπον τὸν δειχθέντασοί ἐν τῷ ὄρει. Εἰ τοίνυν ἡ ἀκοὴ ἡμῶν ἀμα-
θεστέρα τῆς ὄψεως ἐστίν, οὐ γὰρ οὕτως ἅπερ αὖ ἀκούσωμεν τῇ ψυχῇ παρακατατιθέμεθα,
ὡς ἅπερ αὖ ἴδωμεν αὐταῖς ὄψεσιν. ἔδειξεν αὐτῷ πάντα. ἢ τοίνυν τῦτο λέγει ὑποδείγμα-
τι, καὶ σκιᾷ, ἢ πρὸ τοῦ ναοῦ. ἐπήγαγε γαρ. ὅρα ποιήσεις πάντα φησὶ κατὰ τὸν τύπον τὸν
δειχθέντασοί. ἆρα πρὸ τῆς κατασκευῆς τῦ ναοῦ μόνον, ἢ πρὸ τῶν θυσιῶν εἶδε, καὶ τῶν
ἄλλων ἁπάντων. μᾶλλον δὲ οὐκ ἀνάγκη ἁμάρτοι, καὶ τῦτο εἰπών. οὐρανία γαρ ἐστὶν ἡ ἐκ-
» κλησία, καὶ οὐδέν ἐστιν ἄλλο, ἢ οὐρανός. Νυνὶ δὲ διαφορωτέρας τετύχηκε λειτουρ-
» γίας, ὅσῳ καὶ κρείττονος ἐστὶ διαθήκης μεσίτης. Ὁρᾷς φησὶν ὅσῳ βελτίων ἡ λειτουργία
τῆς λειτουργίας, εἴγε ἐκείνη μὲν ὑπόδειγμα, καὶ τύπος, αὕτη δὲ ἀλήθεια. ἀλλ' οὐδὲν τῦ-
το ὠφέλει τοὺς ἀκούοντας, οὐδὲ σύφρονε. διὰτοι τῦτο ὁ μάλιστα αὐτοὺς σύφρονε, λέ-
» γει. Ἥτις οὖν κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. Ἐπάρασ ἀπὸ τῦ τόπου, καὶ
τῦ ἱερέως, καὶ τῆς θυσίασ, τότε καὶ τῆς διαθήκης τὸ μέσον τίθησιν. εἴπομεν καὶ πρότερον,
ὅτι ἀσθενὴς ἰῶ, καὶ ἀνωφελής. καὶ ὅρα οἷα τίθησιν ἀσφαλίσματα μέλλων αὐτῆς κατηγο-
ρεῖν. ἐκεῖ γὰρ εἰπὼν κατὰ δύναμιν ζωῆς ἀκαταλύτου, τότε εἶπεν, ὅτι ἀθέτησις γίνεται προα-
γούσης ἐντολῆς. εἶτα καὶ ὕστερον μείζονα ἔθηκεν εἰπών. δι' ἧς ἐγγίζομεν τῷ θεῷ. ἐνζαῦ-
θα δὲ ἡμᾶς εἰς τὸν οὐρανὸν ἀναγαγὼν, καὶ δείξασ, ὅτι ἀντὶ τοῦ ἱεροῦ τὸν οὐρανὸν ἔχο-
μεν, καὶ ὅτι τύποι ἦσαν τῶν ἡμετέρων ἐκεῖνα, καὶ τὴν λειτουργίαν ἐπάρασ τύτοις, καὶ τὴν
ἱερωσύνην εἰκότως ἐξαίρει λοιπόν. ἀλλ' ὅπερ ἔφην, ὃ μάλιστα αὐτοὺς σύφρονεῖν ἐποίησι
λέγων. Ἥτις οὖν κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. πόθεν τῦτο δῆλον; ἐξ ὧν αὖ τὴν μὲν
ἐξεβλήθη, ἐκείνη δὲ ἀντεισήχθη. διὰ γὰρ τῦτο κρατεῖ, ὅτι βελτίων. ὡς γὰρ λέγει, ὅτι
εἰ ἡ τελείωσις δι' αὐτῆς ἦν, τίς ἔτι χρεία κατὰ τὴν τάξιν ἀαρὼν ἕτερον ἀνίστασθαι ἱερέα;
» οὕτω καὶ ἐνζαῦθα τῷ αὐτῷ συλλογισμῷ κέχρηται λέγων. Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν

» ἀμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος, μεμφόμενος γὰρ αὐτοῖς λέγει. Τουτέστιν
εἰ ἀμέμπτους ἐποίει. ὅτι γὰρ περὶ τούτου φησὶν, οὐκείωσε, μεμφόμενος δὲ αὐτῇ, ἀλλὰ καὶ
» μεμφόμενος δὲ αὐτοῖς λέγει. Ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος, καὶ συντελέσω ἐπὶ
» τὸν οἶκον τῦ ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην,
» ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγα-
» γεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐ-
» τῶν λέγει κύριος. Ναὶ, καὶ πόθεν δῆλον, ὅτι τέλος ἔλαβεν. ἐδείξε μὲν, καὶ ἀπὸ τῦ
ἱερέως, δείκνυσι δὲ πρανέστερον νῦν αὖ λέξει, ὅτι ἐκβέβληται πῶς δὲ, ἐπὶ πρείττοσιν ἐ-
παγγελίαις. που γὰρ ἴσον εἰστήκει γῆ, καὶ οὐρανός. σὺ δὲ θεώρει, πῶς κἀκεῖ ἐπαγγελίας
φησὶν. ἵνα μὴ ταύτης δόξῃ κατηγορῆς. καὶ γὰρ ἐκεῖ διῆς ἐγγίζομεν τῷ θεῷ ἐλπίδος φησὶ
πρείττονος, δεικνὺς ὅτι κἀκεῖθεν ἐλπὶς, καὶ ἐν ταύτῃ δὲ ἐπαγγελίασ πρείττονος, αὐνιττόμε
νος, ὅτι καὶ ἐκεῖ ἐπηγγείλατο. ἐπειδὴ δὲ ἀνακάλουμαι ἀεὶ, ἰδοὺ γὰρ ἡμέραι ἔρχονται λέγει
κύριος, φησί. καὶ συντελέσω ἐπὶ τὸν οἶκον ἰούδα, καὶ ἐπὶ τὸν οἶκον ἰσραὴλ διαθήκην καιν-
ὴν. οὐ παλαιαύτην διαθήκην. ἵνα γὰρ μὴ ταύτην ἔχωσι λέγειν, καὶ τὸν χρόνον ὥρισεν. οὐ
γὰρ ἁπλῶς εἶπε κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἵνα μὴ τὴν
πρὸς τὸν ἀβραὰμ γεγενημένην εἴπῃς, ἢ τὴν πρὸς τὸν νῶε, ἀλλὰ ποίαν φησίν; οὐ κατὰ
τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν τοῖς ἐν τῇ ἐξόδῳ. διὸ καὶ ἐπήγαγεν.
ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου, ὅτι αὐ-
τοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου. κἀγὼ ἠμέλησα αὐτῶν λέγει κύριος. ὁρᾷς πρῶτον παρ'
ἡμῶν ἀρχόμενα τὰ κακά; αὐτοί φησι πρῶτον οὐκ ἐνέμειναν, καὶ παρ' ἡμῶν ἡ ἀμέλεια. τὰ
δὲ ἀγαθὰ, παρ' αὐτοῦ, τὰ τῆς εὐεργεσίας λέγω. ἐντεῦθεν ὡσπερ ἀπολογίαν τίθη-
» σι, τὴν αἰτίαν δεικνὺς δι' ἣν ἐγκαταλιμπάνει αὐτούς. Ὅτι αὕτη ἡ διαθήκη φησὶν, ἣν
» διαθήσομαι τῷ οἴκῳ ἰσραὴλ, μετὰ τὰς ἡμέρας ἐκείνας λέγει κύριος. δώσω νόμους μου εἰς
» τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς
» θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. Οὕτω περὶ τῆς σκιᾶς ταῦτα φησὶν, ὅτι λέγει, οὐ
κατὰ τὴν διαθήκην, ἣν διεθέμην. ποία δὲ ἄλλη ἐστὶ διαφορὰ, ἢ αὕτη; εἰ δὲ τὸ διάφορον
λέγοιτις, οὐ κατὰ δόξαν, ἀλλὰ κατὰ τὸ δοθῆναι εἰς τὰς καρδίας αὐτῶν, οὐ προσταγμά-
των διαφορὰ, ἀλλὰ τὸν τρόπον τῆς δόσεως δείκνυσιν. οὐκέτι γὰρ ἐν γράμμασι φησὶν ἔσται
ἡ διαθήκη, ἀλλ' ἐν καρδίαις. δειξάτω τοίνυν δόξαν γενόμενον ποτὲ Ἰουδαῖος, ἀλλ' οὐκ
ἂν εὕροι. πάλιν γὰρ ἐν γράμμασιν ἐγένετο μετὰ τὴν ἐπάνοδον τὴν ἐκ βαβυλῶνος. ἐγὼ δὲ
δείκνυμι τοὺς ἀποστόλους μηδὲν παραλαβόντας γραπτὸν, ἀλλ' ἐν ταῖς καρδίαις δεξαμέ-
νους χάριτι πνεύματος ἁγίου. διὸ καὶ ἔλεγεν ὁ Χς. ἐκεῖνος ἐλθὼν ἀναμνήσει ὑμᾶς πάντα, καὶ
» διδάξει ὑμᾶς. Καὶ οὐ μὴ, διδάξωσιν ἕκαστος φησὶ τὸν πολίτην αὐτῦ, καὶ ἕκαστος τὸν ἀ-
» δελφὸν αὐτῦ, λέγων γνῶθι τὸν κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου
» αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν, καὶ τῶν ἁμαρ-
» τιῶν αὐτῶν οὐ μὴ μνησθήσομαι ἔτι. Ἰδοὺ καὶ ἄλλο σημεῖον, ἀπὸ μικροῦ φησιν ἕως με
γάλου αὐτῶν εἰδήσουσί με, καὶ οὐ μὴ, εἴπωσι γνῶθι τὸν κύριον. πότε δόξαν γέγονεν, ἢ νῦν;

δῆλον γὰρ

δῆλον γὰρ τὸ ἡμέτερον. τὸ δὲ ἐκείνων, οὐ δῆλον, ἀλλ' ἀποκέκλειστο εἰς γωνίαν. καινὴ τότε λέγεται, ὅταν ἑτέρα ᾖ, καὶ δεικνύῃ, εἴπερ τῆς παλαιᾶς πλέον ἔχει. ἰδοὺ φησι καὶ αὖ τὴ καινὴ τυγχάνει, ὅταν αὐτῆς τὰ μὲν, περιαιρεθῇ, τὰ δὲ μή. οἷον εἴπερ οἰκίαν παλαιὰν μέλλουσαν καταπίπτειν ἀφεὶς τὸ πᾶν, τὸν θεμέλιον ὑπερέβαλεν, οὐ θεὸς λέγομεν ἐποίησεν αὐτὴν καινὴν, ὅταν τὰ μὲν, ἐξέλῃ, τὰ δὲ, ἀντεισαγάγῃ. καὶ γὰρ ὁ οὐρανὸς καινὸς λέγεται οὕτως, ὅταν μηκέτι χαλκοῦς ᾖ, ἀλλ' ὑετὸν διδῷ, ὅταν μὴ ἄκαρπος, οὐχ ὅταν μεταβληθῇ, οὐχ ὅταν, τὰ μὲν, αὐτῶν ἐξαιρεθῇ, τὰ δὲ, μένῃ. ὥστε φησὶ, καὶ διαθήκην καινὴν, καλῶς εἶπεν. ἐὰν οὖν δείξω, ὅτι παλαιοτέρα γέγονεν ἡ διαθήκη ἐκείνη κατὰ τὸ μηδένα δοῦναι καρπόν. καὶ ἵνα μάθῃς ἀκριβῶς, ἀνάγνωθι φησὶν ὁ ἀγγαῖος, τί ζαχαρίας, τί ἄγγελος, τί δὲ ἔσδρας ἐγκαλεῖ. πῶς οὖν ἔλαβεν αὐτόν; πῶς δὲ οὐδεὶς ἐρωτᾷ κύριον; ὅπου γε καὶ αὐτοὶ παρέβησαν, καὶ οὐδὲ αὐτοὶ ἦσαν; ὁρᾷς πῶς βεβίαται τὸν; ἐγὼ δὲ τὸ ἐμὸν τίθημι, ὅτι καινὴ κυρίως αὕτη αὐ λέγοιτο. ἄλλως δὲ οὐδὲ ἐκεῖνο συγχωρῶ περὶ τούτου εἰρῆσθαι, τὸ ἔσται καινὸς ὁ οὐρανός. διατὶ γὰρ μὴ λέγων ἐν τῷ δευτερονομίῳ, ὅτι ἔσται χαλκοῦς ὁ οὐρανὸς, οὕτω ἔθηκεν ἐν τῇ διαθήκῃ; ἐὰν δὲ εἰσακούσητε, ἔσται καινὸς, καὶ μὴν διαθήκην φησὶν ἑτέραν διαθήκῃ δώσειν, ἐπειδὴ τῇ προτέρᾳ οὐκενέμεινεν. οὕτω ἐγὼ δείκνυμι δι' ὧν φησι. τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, καὶ πάλιν, τί πειράζετε τὸν θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλ' ἐκεῖνοι μὲν οὐκενέμειναν φησὶν. ἐνταῦθα δὲ δείκνυσιν, ὅτι μειζόνων ἡμᾶς ἀξιοῖ, καὶ πνευματικώντων, εἰς πᾶσαν γέρφησι τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. τοῦτ' ἔστιν οὐ μὴ, εἴπωσιν ἕκαστος τῷ πλησίον αὐτῶν, γνῶθι τὸν κύριον, καὶ πάλιν πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. Ἐν τῷ λέγειν καινὴν φησι τὴν παλαιὰν ἐποίησε τὴν πρώτην. τὸ δὲ παλαιούμενον, καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ. Ὅρα τὸ κρυπτόμενον, ὅπως ἐξεκάλυψεν αὐτὴν τοῦ προφήτου τὴν διανοιαν. ἐτίμησε τὸν νόμον, καὶ οὐκ ἠθέλησεν αὐτὸν εἰσῆλθεν παλαιὸν ὀνόματι. πλὴν μέντοι οὐδὲν εἶπεν. εἰ γὰρ ἐκεῖνο καινὸν λῦσαι, οὐκ ἂν καὶ οὗτος τὸ μεταταῦτα καινὸν ἐκάλεσεν, ὥστε πλέονται δίδυς, καὶ ἕτερον, ἐπαλαιώθη φησὶν. οὐκοῦν καταλύεται, καὶ ἀπόλλυται, καὶ οὐκέτι ἐστὶ λαβὼν παρὰ τοῦ προφήτου τὴν παῤῥησίαν. μᾶλλον αὐτοὺς καθαίρεται συμφερόντως, δεικνὺς ὅτι τὰ ἡμέτερα νῦν ἀνθεῖ. τοῦτ' ἔστιν ἔδειξεν οὖσαν παλαιάν. εἶτα λαβὼν τὸ τῆς παλαιᾶς ὄνομα, καὶ ἕτερον παρ' ἑαυτοῦ προσθεὶς τὸ τοῦ γήρως, τὸ λειπόμενον ἀπὸ τῶν ἄλλων ἔλαβε, καὶ φησίν. ἐγγὺς ἀφανισμοῦ, οὐκοῦν ἁπλῶς κατέπαυσεν ἡ καινὴ τὴν παλαιὰν, ἀλλ' ὡς γεγηρακυῖαν, ὡς οὐ χρήσιμον. διὰ τοῦτο ἔλεγε λοιπὸν τὸ ἀσθενὲς, καὶ ἀνωφελὲς, καὶ οὐδὲν ἐτελείωσεν ὁ νόμος, καὶ ὅτι εἰ ἡ πρώτη ἦν ἄμεμπτος, οὐκοῦν δευτέρας ἐζητεῖτο τόπος. ἄμεμπτος δὲ τοῦτέστι χρήσιμος, οὐχ ὡς ἐγκλημάτων ἀνεύθυνος, ἀλλ' ὡς οὐκ ἀρκοῦσα. ἰδοὺ δικαιότερον ἐφθέγξατο, ὡς ἂν εἴ τις εἴποι οὐκ ὄντιν ἄμεμπτος ἡ οἰκία, τοῦτέστιν ἔχει ἐλάττωμα. δικαιότερον ἐφθέγξατο, ὡς ἂν εἴ τις εἴποι οὐκ ὄντιν ἄμεμπτος ἡ οἰκία, τοῦτέστιν ἔχει ἐλάττωμα. σαθρά ἐστιν. οὐκ ὄντιν ἄμεμπτον τὸ ἱμάτιον, τοῦτέστι λοιπὸν διαῤῥεῖ, οὐχ ὡς πονηρὸν τοίνυν ἐνταῦθα φησὶν, ἀλλ' ὡς ἔχοντα αἰτίαμα, καὶ ἐλάττωμα.

Ἡ ἁμόν.

Οὕτω δὴ καὶ ἡμεῖς καινοὶ ἐσμέν. μᾶλλον δὲ καινοὶ ἐγενόμεθα. νυνὶ δὲ πεπαλαιώμεθα. διὰ τοῦτο ἐγγὺς ἐσμὲν ἀφανισμοῦ, καὶ ἀπωλείας. πῶς ἀποξύσομαι τοῦτο τὸ γῆρας; λουτρῷ μὲν οὖν οὐκέτι δυνατὸν, μετανοίᾳ δὲ οὐ τοῦτο δυνατόν. εἰπὲ παλαιὸν ἐν ἡμῖν ῥίψωμεν, εἴτις ῥυτὶς, εἴτις κηλὶς, εἴτις οὐλος, ἀπονιψώμεθα, καὶ καλοὶ γενώμεθα, ἵνα ἐπιθυμήσῃ ὁ βασιλεὺς τοῦ κάλλους ἡμῶν. ἔξεστι καὶ πρὸς ἐκάτην δυσειδείαν κατασοσθῆναι, ἀνακτήσασθαι τὸ κάλλος ἐκεῖνο, περὶ οὗ φησὶν ὁ Δαβὶδ, ὅτι Ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. καὶ μήν ἡ λήθη, κάλλος οὐ ποιεῖ, κάλλος τὸ ψυχικόν. λήθη ποία; ἡ τῶν ἁμαρτιῶν. πρὸς γὰρ τὴν ἐκκλησίαν τὴν ἐξ ἐθνῶν διαλέγεται. παραινῶν αὐτῇ τῶν πατρώων, μὴ μνησθῆναι. τουτέστι τῶν εἰδώλων δυόντων, ἀπὸ γὰρ τῶν τοιούτων σεσῶπται. καὶ οὐκέτε μὴ μετέλθῃς αὐτὴν, ἀλλ' ὃ πλέον ἐστὶ, μὴ δὲ εἰς νοῦν λάβῃς, ὃ καὶ ἀλλαχοῦ φησὶν, οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. καὶ πάλιν, ὅπως οὐ μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. οὕτω δεῖ μεγάλη ἀρετὴ, μεγάλη μὲν γὰρ, ἀλλ' οὐ τοιαύτη. ἐκεῖ γὰρ τί φησίν; οὐκέτε οὐ μὴ λαλήσῃς τὰ τῶν πατέρων, ἀλλὰ μὴ δὲ ἀναμνησθῇς αὐτῶν, μὴ δὲ εἰς νοῦν λάβῃς. ὁρᾷς πόσον ἡμᾶς διάστημα τῆς κακίας ἀπέχειν βούλεται; ὁ γὰρ μὴ μεμνημένος, οὐ λογιεῖται. ὁ δὲ μὴ λογιζόμενος, οὐδὲ φθέγγεται. ὁ δὲ μὴ φθεγγόμενος, οὐδὲ πράξει. ὁρᾷς πρὸ πόσων ἀπετείχισεν ἡμᾶς ὁδῶν, πρὸ πόσων διαστημάτων ἀπεμάκρυνε, καὶ ἐκτοῦ πλείονος. ἀκούσωμεν τοίνυν καὶ ἡμεῖς, καὶ ἐπιλαθώμεθα τῶν ἡμετέρων κακῶν, οὐ τῶν ἡμαρτημένων ἡμῖν λέγω. μνήσθητι γὰρ σύφησι πρῶτος, καὶ οὐ μὴ μνησθῶ ἐγώ. οἷόν τι λέγω. μηκέτι μεμνήμεθα ἁρπαγῆς, ἀλλὰ καὶ τὰ πρότερα ἀποδῶμεν, ὅθεν ἐστὶν ἐπιλαθέσθαι κακίας, καὶ ἐνβαλεῖν τὸν λογισμὸν τὸν ἁρπακτικὸν, καὶ μηδέποτε αὐτὸν μήτε δέξασθαι, ἀλλὰ καὶ τὰ ἤδη τε πλημμελημένα ἀπαλεῖφειν. πόθεν δὲ αὖ γένοιτο ἡμῖν λήθη πονηρίας; ἀπὸ τῆς μνήμης τῶν ἀγαθῶν τοῦ θεοῦ. ἐὰν τοῦ θεοῦ διαπαντὸς μνημονεύωμεν, οὐ δυνάμεθα κἀκείνων μεμνῆσθαι. εἰ ἐμνημόνευον γάρσου φησὶν ἡ τῆς ὀργωμένης μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. ἀεὶ μὲν οὖν, μάλιστα δὲ τότε χρὴ μεμνῆσθαι τοῦ θεοῦ, ὅταν ἐν ἡσυχίᾳ ὁ λογισμὸς ᾖ, ὅταν ἀπὸ τῆς μνήμης ἐκείνης ἑαυτὸν κατασκάψειν δύνηται, ὅταν κατέχεσθαι ἐν τῇ μνήμῃ. ἐν ἡμέρᾳ γὰρ αὖ μνημονεύσωμεν, ἐπεισελθοῦσαι φροντίδες ἕτεραι, καὶ θόρυβοι, πάλιν αὐτὴν ἐκβάλλουσιν. ἐν νυκτὶ δὲ διαπαντὸς μεμνῆσθαι δυνατὸν, ὅταν ἐν γαλήνῃ ᾖ, καὶ ἀναπαύσει ἡ ψυχὴ, ὅταν ἐν λιμένι, ὅταν ἐν δδλίᾳ. ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε φησίν. ἐδεῖ μὲν γὰρ καὶ δι' ἡμέρας ταύτην ἔχειν τὴν μνήμην. ἐπειδὴ δὲ φροντίζετε ἀεὶ, καὶ περισπᾶσθε ἐν τοῖς βιωτικοῖς, κἂν τότε μνημονεύετε ἐπὶ τῆς κοίτης, τοῦ θεοῦ. ἐν τοῖς ὄρθροις μελετᾶτε ἐν αὐτῷ. αὖ ἐν τοῖς ὄρθροις μελετήσωμεν ταῦτα, μετ' ἀσφαλείας χωρήσομεν εἰς τὰ πράγματα. αὖ ἵλεων πρῶτον τὸν θεὸν ποιήσωμεν τῇ ἐντεύξει, καὶ τῇ ἱκετηρίᾳ, οὕτω προβαίνοντες, οὐδένα ἕξομεν ἐχθρὸν, αὖ ἔχῃς δὲ, καταγελάσῃ ἵλεων ἔχων τὸν θεόν. πόλεμός ἐστιν ἐν τῇ ἀγορᾷ, μάχη ἐπὶ τὰ πράγματα τὰ καθημερινά, κλυδώνιόν ἐστι, καὶ χειμών. δεῖ τοίνυν ὅπλων

νων ὅπλων ἡμῖν, μέγα δὲ ὅπλον δύχη. δι' οὐείων ἀνέμων δεῖ μαθεῖν ἅπαντα, ὥστε τὸ μῆκος
τῆς ἡμέρας χωρεῖς ναυαγίων διανύσαι, καὶ τραυμάτων. πολλοὶ γὰρ καθ' ἑκάστην ἡμέραν
οἱ σκόπελοι. καίτοι πολλάκις προσέῤῥαξε τὸ σκάφος, καὶ κατεποντίσθη. διαζόξ δύχης ἡ-
μῖν δεῖ μάλιστα ἑωθινῆς, καὶ νυκτερινῆς. ὀλύμπια πολλοὶ πολλάκις ὑμῶν ἐθεάσαντο, καὶ οὐκ
ἐθεάσαντο μόνον, ἀλλὰ καὶ ἠγωνίσαντο, καὶ θαυμαστοὶ τῶν ἀγωνιζομένων ἐγένοντο, ἡ ὁ μὲν,
τούτου, ὁ δὲ, ἐκείνου. ἴστε οὖν ὅτι καὶ τὰς ἡμέρας τῶν ἀγώνων, καὶ τὰς νύκτας ἐκείνας, δι' ὅλης
νυκτὸς ὁ κῆρυξ οὐδὲν ἧττο φροντίζει, οὐδὲν ἧττο μεριμνᾷ, ἢ ὅπως ἐξελθὼν μὴ ἀχημονήσῃ ὁ ἀ-
γωνιζόμενος. ἐκεῖνοι γὰρ οἱ παρακαθήμενοι τῷ σαλπιγιστῇ, παρεγγυῶσι μὴ δὲ φθέγγεσθαι
τινὶ, ὥστε μὴ τὸ πνεῦμα διαπανώμενον γέλωτα ὄφλῃ. εἰ τοίνυν ὁ ἐπ' ἀνθρώπων ἀγωνίζεσθαι
μέλλων τοσαύτῃ κέχρηται προνοίᾳ, πολλῷ μᾶλλον ἡμῖν ἁρμόσει διὰ παντὸς φροντίζειν, καὶ με-
ριμνᾶν, οἷς ὁ πᾶς βίος ἀγών ἐστι. πᾶσα τοίνυν ἔῳθεν νὺξ παννυχὶς, ἡ μεριμνῶμεν πῶς ἐξελθόν-
τες τὴν ἡμέραν μὴ γέλωτα ὀφλωμεν, καὶ εἴ τε γέλωτα μόνον. νυνὶ δὲ κάθηται ἐν δεξιᾷ τὸ
παιδὸς ὁ ἀγωνοθέτης, ἀκούων ἀκριβῶς μήτι ἀπηχὲς φθεγγώμεθα, μήτι παρὰ μέλος. οὐ
γὰρ πραγμάτων μόνον, ἀλλὰ καὶ τῶν ῥημάτων ἐστὶ κριτής. παννυχίσωμεν ἀγαπητοὶ, ἔχομεν
ἡ ἡμεῖς σπουδαστὰς ἐὰν θέλωμεν. ἑκάστῳ ἡμῶν ἄγγελος παρακάθηται. ἡμεῖς δὲ ῥέγχομεν
δι' ὅλης νυκτός. πολλοὶ δὲ καὶ ἀσελγῆ πράττουσι πολλὰ, οἱ μὲν, πρὸς αὐτὰ τὰ χαμαιτυ-
πεῖα βαδίζοντες, οἱ δὲ, τὰς οἰκίας, πορνεῖα ποιοῦντες τῷ ἑταίρας ἄγειν ἐκεῖ. πάννυχε, οὐχὶ
καλῶς μεριμνῶσιν ἀγωνίσασθαι. ἕτεροι μεθύουσι, καὶ παραφθέγγονται. ἄλλοι θορυβοῦσιν,
ἕτεροι παννυχίζουσι κακῶς, καὶ τῶν καθευδόντων χεῖρον πλέκοντες δόλους. ἄλλοι τόκους
ἀριθμοῦσιν, ἕτεροι φροντίσι κοσμούμενοι, καὶ πάντα μᾶλλον ποιοῦντες, ἢ τὰ τῷ ἀγῶνι προ-
σήκοντα. διὸ παρακαλῶ πάντα ἀφέντες, εἰς ἓν ὁρῶμεν μόνον, ὅπως τὸ βραβεῖον λάβωμεν, τὸν
στέφανον ἀναδησώμεθα, πάντα πράττωμεν δι' ὧν δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμέ-
νων ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, ιέ. Κεφ. θ'.

» Εἰ γὰρ μὴν οὖν καὶ ἡ πρώτη δικαιώματα λατρείας, τότε ἅγιον κοσμικόν. σκηνὴ γὰρ κατε-
» σκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται
» ἅγια. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυ
» μιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ. ἐν ᾗ στάμνος
» χρυσῆ, ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης,
» ὑπεραίρω δὲ αὐτῆς, χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον. περὶ ὧν οὐκ ἔστι νῦν λέγειν
» κατὰ μέρος. Ἔδειξεν ἀπὸ τοῦ ἱερέως, ἀπὸ τῆς ἱερωσύνης, ἀπὸ τῆς διαθήκης, ὅτι τέ-
λος ἔμελλεν ἔχειν ἐκείνη, δείκνυσι λοιπὸν, καὶ ἀπ' αὐτῆς σκηνῆς τοῦ χήματος. πῶς; δοῦλος μέν
φησιν ἅγια, καὶ ἅγια ἁγίων. τὰ μὲν οὖν ἅγια, τοῦ προτέρου καιροῦ σύμβολα ἦν. ἐκεῖ γὰρ
διὰ θυσιῶν πάντα γίνεται. τὰ δὲ ἅγια τῶν ἁγίων, τοῦτο τοῦ νῦν ἐνεστῶτος. λέγει δὲ ἅγια ἁγίων,
τὸν οὐρανὸν, καὶ τὸ καταπέτασμα τοῦ οὐρανοῦ, καὶ τὴν σάρκα εἰσερχομένην εἰς τὸ ἐσώτερον
τοῦ καταπετάσματος, τουτέστι διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ. δεῖ δὲ καλόν. αὐτοῦ
γὰρ ὄντος τὸ χωρίον ἀναλαβόντος εἰσιέναι. τί οὖν φησιν; εἰ γὰρ μὴν οὖν καὶ ἡ πρώτη, ἡ πρώτη τίς;
ἡ διαθήκη, δικαιώματα λατρείας. τί ὅτι δικαιώματα; σύμβολα, ἢ θεσμοὺς, τότε. ὡσανεὶ

νῶ φησιν οὐκ ἔχει, δηλονότι ἤδη τούτῳ αὐτὴν ἐκκεχωρηκυῖαν. τότε γὰρ εἶχε φησὶν, ὥστε νῦν εἰ καὶ ἔφηκεν, οὐκ ὄβι. τότε ἅγιον κοσμικὸν, κοσμικὸν λέγει, ὅτι δὴ πᾶσιν ἦφίετο ὅτι βαίνειν, καὶ δῆλος ἦν ἐν τῷ αὐτῷ οἴκῳ, ἔνθα οἱ ἱερεῖς ἐφίεσαν, ἔνθα οἱ ἰουδαῖοι, οἱ προσήλυτοι, οἱ ἕλληνες, οἱ ναζιραῖοι. ὅτι οὖν καὶ ἕλλησι βατὸν ἦν, κοσμικὸν αὐτὸ καλεῖ. οὐ γὰρ δὴ οἱ γε ἰουδαῖοι ὁ κόσμος ἦσαν. σκηνὴ γὰρ φησι κατεσκευάσθη ἡ πρώτη, ἥτις λέγεται ἅγια, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ πρόθεσις, καὶ ἡ πρόθεσις τῶν ἄρτων. ταῦτα σύμβολα τοῦ κόσμου. μετὰ δὲ τὸ δεύτερον κατασκεύασμα. ἄρα οὐκ ἦν κατασκεύασμα ἐν, ἀλλὰ καὶ ἐξω κατασκεύασμα ἦν. σκηνὴ, ἥτις λέγεται ἅγια ἁγίων. ὅρα πῶς παντα χοῦ σκηνὴν καλεῖ, παρὰ τὸ σκηνοῦν ἐκεῖ. χρυσοῦν ἔχουσα θυμιατήριον φησὶ, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. πάντα ταῦτα σεμνὰ ἦν, καὶ λαμπρὰ, τῆς ἰουδαϊκῆς ἀγνωμοσύνης ὑπομνήματα, καὶ αἱ πλάκες τῆς διαθήκης. κατέαξαν γὰρ αὐτὰς, καὶ τὸ μάννα. ἐγόγγυσαν γὰρ, καὶ διαδὺς εἰς ἐγγόνους παραπέμπων τὴν μνήμην, προσέταξεν εἰς τὴν στάμνον τοῦ χρυσῆν ἀποτεθῆναι αὐτό. καὶ ἡ ῥάβδος ἀαρὼν ἡ βλαστήσασα, ὑπεραίρω δὲ αὐτῆς, χερουβὶμ δόξης. τί ὄβι χερουβὶμ δόξης; τουτέστι τὰ ἔνδοξα, ἢ τὰ ὑποκάτω τοῦ θεοῦ φησι κατασκιάζοντα τὸ ἱλαστήριον. ὅμως δὲ καὶ ἐπαίρει ταῦτα τῷ λόγῳ, ἵνα δείξῃ μείζονα ὄντα μετὰ ταῦτα. περὶ ὧν οὐκ ὄβι φησὶ νῦν λέγειν κατὰ μέρος, ἐν τούτοις δὲ ἠνίξατο, ὅτι οὐ ταῦτα ἦν μόνα τὰ ὁρώμενα, ἀλλὰ αἰνίγματά τινα ἦν. περὶ ὧν οὐκ ὄβι φησὶ νῦν λέγειν κατὰ μέρος, ἴσως ὡς μακροῦ δεόμενα λόγου. Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες. Τουτέστιν ἦν μὲν ταῦτα, οὐκ ἀπέλαβον δὲ τούτων αὐτῶν ἰουδαῖοι, οὐχ ἑώρων αὐτὰ, ὥστε οὐκ ἐκείνοις μᾶλλον ἦν, ἢ οἷς προεφητεύετο. Εἰς δὲ τὴν δευτέραν, ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Ὁρᾷς ἤδη τοὺς τύπους προκαταβεβλημένους; ἵνα γὰρ μὴ λέγωσιν, ὅτι πῶς μία θυσία, δείκνυσιν αὐτὸ ἄνωθεν ὂν, εἰ γε ἡ ἁγιωτέρα μία ἦν, καὶ φεικτὴ, καὶ πῶς ὁ ἀρχιερεὺς ἅπαξ προσέφερε. καὶ καλῶς εἶπεν, οὐ χωρὶς αἵματος, οὐ χωρὶς μὲν αἵματος, οὐ μὴν τούτου τοῦ αἵματος. οὐ γὰρ τοσαύτη ἦν ἡ πραγματεία, δείκνυσιν ὅτι ἑτέρα θυσία, οὐ τυχὸν ἀναλουμένη, ἀλλὰ ἀπὸ αἵματος μᾶλλον δεικνυμένη. ἐπειδὴ γὰρ θυσίαν ἐκάλεσε τὸν ταῦρον, οὔτε πῦρ ἔχοντα, οὔτε ξύλα, οὔτε πολλάκις προσφερόμενον, ἀλλὰ ἅπαξ ἐν αἵματι προσενεχθέντα, δείκνυσιν ὅτι καὶ ἡ παλαιὰ θυσία τοιαύτη ἦν, ἅπαξ προσέφερετο ἐν αἵμασιν, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. οὐκ εἶπεν ἁμαρτημάτων, ἀλλ' ἀγνοημάτων, ἵνα μὴ μέγα φρονήσωσιν. εἰ γὰρ καὶ μὴ ἑκὼν ἥμαρτες, ἀλλ' ἄκων ἠγνόησας, καὶ τούτου οὐδεὶς ὄβι καθαρὸς, καὶ παντὸς τὸ ἑαυτῷ δείκνυσιν, ὅτι ὁ χς πολλῷ μείζων ἐστὶν ἀρχιερεύς. εἰ γὰρ κεχώρισται τῶν ἁμαρτιῶν ἡμῶν, πῶς ὑπὲρ ἑαυτοῦ προσήνεγκε; πῶς οὖν ταῦτα εἴπωμεν φησί; δόξα γὰρ πρέπον ἐστὶν, οὐδαμοῦ ἐν ταύτῃ θεωρεῖται. λοιπὸν δὲ θεωρεῖ, μὴ φησί. Τοῦτο δηλοῦντος τοῦ πν̄ς τοῦ ἁγίου μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἐπὶ τῆς πρώτης σκηνῆς ἐχούσης φασὶ. Διαρρήδην φησὶ ταῦτα οὕτως κατεσκευάσθαι, ἵνα μάθωμεν, ὅτι τὰ ἅγια τῶν ἁγίων, τοῦτέστιν ὁ οὐρανὸς, ἐπὶ ἐφὶν ἄβατος. μὴ οὖν ἐπειδὴ, μὴ ἐπιβαίνομεν αὐτῷ φησιν νομίζομεν αὐτὰ μὴ δὲ εἶναι, ἐπεὶ οὐδὲ

τῶν ἁγίων

τῶν ἁγίων ἐπέβημεν. Ἤτις παραβολὴ φησὶν εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα. Ποῖον φησί; τὸν περὶ τῆς τοῦ χῦ παρουσίας. μὴ γὰρ ἡ παρουσία τοῦ χῦ, οὐκέτι καιρός ἐστιν ἐνεστώς. πῶς γάρ; ἐπιγενόμη, μὴ τέλος ἔχων, μὴ ἕτερον δὲ ἐμφαίνων, ὅθεν φησίν. Ἤτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα. Τοῦτέστιν ὁ τύπος, γέγονε. Καθ' ὃν δῶρα τε, καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα. Εἰ δὲς τί ἐστιν; οὐδὲν ἐτελείωσεν ὁ νόμος, καὶ ἡ πρώτη ἐν ἅμεμπτος. πῶς; κατὰ συνείδησιν. αἱ γὰρ θυσίαι, οὐ τὸ ἀπὸ τῆς ψυχῆς ῥυπον ἦφίεσαν, ἀλλ' ἐπὶ σῶμα ἦσαν κατὰ νόμον ἐντολῆς σαρκικῆς. οὐ γὰρ δὴ μοιχείαν, οὐδὲ φόνον, οὐδὲ ἱεροσυλίαν ἀφίεναι ἠδύναντο. ὁρᾷς τόδε ἔφαγες, τόδε οὐκ ἔφαγες. ἅπερ ἐστὶν ἀδιάφορα. Μόνον ἐν βρώμασι, καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς. Τόδε ἔπιες φησί. καίτοι περὶ τοῦ ποτοῦ, οὐδὲν ἦν διατεταγμένον, ἀλλ' ἐξυτελίζων ταῦτα φησὶ, καὶ διαφόροις βαπτισμοῖς. Καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. Αὕτη γὰρ ἡ δικαιοσύνη τῆ σαρκὸς, ἐν τούτοις καταβάλλει τὰς θυσίας, δεικνὺς ὅτι οὐδὲ μίαν εἶχον ἰσχύν, καὶ ὅτι μέχρι καιροῦ διορθώσεως ἦσαν. τουτέστιν, ἕμενον τὸν καιρὸν τὸν διορθοῦντα πάντα. Χῦ δὲ παραγενομένου ἀρχιερέως τῶν γενομένων ἀγαθῶν διὰ τοῦ μείζονος, καὶ τελειοτέρας σκηνῆς, οὐχειροποιήτου. Τὴν σάρκα ἐν τούτοις λέγει. καλῶς δὲ καὶ μείζονα, καὶ τελειοτέραν εἶπεν, εἴγε καὶ θῦ λόγος, καὶ πᾶσα ἡ τοῦ πνὸς ἐνέργεια ἐνοικεῖ ἐν αὐτῇ. οὐ γὰρ ἐκμέτρου δίδωσιν ὁ θὸς τὸ πνᾶ. τελειοτέρας δὲ, ὡς ἄτε, καὶ ἀληθοῦς οὔσης, καὶ μείζονα κατορθούσης. Τοῦτέστιν οὐ ταύτης τῆς κτίσεως. Ἰδοὺ πῶς μείζονος. οὐ γὰρ αὐ ἐκπνῆ, εἰ ἄνθρωπος αὐτὴ κατεσκεύασεν, οὐδὲ τούτης τῆς κτίσεως ἐστί. τουτέστιν, οὐ τοῦτο τῆς κτίσματος. ὁρᾷς πῶς, καὶ σκηνὴν, καὶ κατασκήνωσιν, καὶ οὐρανὸν τὸ σῶμα καλεῖ; ἀλλὰ τῆς μείζονος, καὶ τελειοτέρας σκηνῆς ἀλλὰ τοῦ κατασκηνώσαντος τουτέστι τοῦ σαρκὸς αὐτοῦ; καὶ πάλιν, εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, καὶ πάλιν εἰσερχομένην εἰς τὰ ἅγια τῶν ἁγίων ἐμφανιζομένου τῷ προσώπῳ τοῦ θῦ. τίνος οὖν ἕνεκεν ταῦτα ποιεῖ; καθ' ἕτερον, καὶ ἕτερον σημαινόμενον. οἷόν τι λέγω, καταπέτασμα ὁ οὐρανός. ὥσπερ γὰρ ἀποτειχίζει τὰ ἅγια καταπέτασμα, ἡ σὰρξ κρυπτομένη τὴν θεότητα, καὶ σκιὰν ὁμοίως ἔχουσα τὴν θεότητα, καὶ σκηνὴ πάλιν ὁ οὐρανός. ἐκεῖ γάρ ἐστιν ἔνδον ὁ ἱερεύς. ἧς δέφησι παραγενομένης ἀρχιερέως. οὐκέτι γενομένης, ἀλλὰ παραγενόμενος, τουτέστιν εἰς αὐτὸ τοῦτο ἐλθών, οὐχ ἕτερον διαδεξάμενος. οὐ πρότερον παρεγένετο, ἀλλ' ἅμα ἦλθε. καὶ οὐκέτι παραγενομένης ἀρχιερέως τῶν θυομένων, ἀλλὰ τῶν γενομένων ἀγαθῶν, ὡς οὐκ ἀνόντος τοῦ λόγου παρασχῆσαι τὸ πᾶν. Οὐδὲ δι' αἵματος ἦν τράγων, καὶ μόσχων. Πάντα ἐξηλλαγμένα. Διὰ δὲ τοῦ ἰδίου αἵματος ἦν εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια. Ἰδοὺ οὐρανὸν πάλιν ἐκάλεσεν. Ἐφάπαξ ἦν εἰσῆλθεν εἰς τὰ ἅγια αἰωνίαν λύτρωσιν εὑρόμη. Καὶ τὸ εὑρόμη, σφόδρα τῶν ἀπόρων ἐστὶν, καὶ τῶν παρὰ προσδοκίαν, πῶς διὰ μιᾶς εἰσόδου αἰωνίαν λύτρωσιν εὕρετο. εἶτα τὸ πιθανόν. Εἰ γὰρ τὸ αἷμα ταύρων, καὶ τράγων, καὶ ποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ χῦ, ὃς διὰ πνεύματος ἁγίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν θεῷ ζῶντι; Εἰ γὰρ σάρκα φησὶ λύεσθαι καθαίρεσθαι τὸ αἷμα τῶν ταύρων, πολλῷ μᾶλλον τῆς ψυχῆς τὸν ῥύπον ἀποσμήξει τὸ αἷμα τοῦ χριστοῦ. ἵνα γὰρ μὴ ἀκούσας ἁγιάζει μέγα τι νομίσῃς, ἐπισημαίνεται, καὶ δείκνυσιν ἑκατέρου τοῦ καθαρμοῦ τὸ μέσον, καὶ πῶς οὗτος μὲν ὑπῆλθε, ἐκεῖνος δὲ ταπεινός. καὶ λέγει, ὅτι εἰκότως,

εἴγε ἐκεῖνο

εἴγε ἐκεῖνο μὲν τὸ αἷμα ἰῶ ταύρων, οὐδὲ τὸ χριστοῦ. καὶ οὐκηρκέθη τῷ ὀνόματι, ἀλλὰ καὶ τὸν τρόπον πάθησι τῆς προσφορᾶς. ὃς διὰ πνεύματος ἁγίου φησὶν ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ θεῷ. τουτέστι τὸ ἱερεῖον ἄμωμον ἰῷ, ἁμαρτιῶν καθαρόν. οὐδὲ γάρ ὅτι διὰ πνεύματος ἁγίου, οὐ διὰ πυρὸς, οὐ δι' ἄλλων τινῶν. καθαρεῖ τὴν συνείδησιν ὑμῶν φησιν ἀπὸ νεκρῶν ἔργων. καὶ καλῶς εἶπεν ἀπὸ νεκρῶν ἔργων. εἴ τις γὰρ ἥψατο νεκροῦ, ἐμαίνετο, καὶ ἐνταῦθα εἴ τις ἅψαιτο νεκροῦ ἔργου, μολύνεται διὰ τῆς συνειδήσεως. εἰς τὸ λατρεύειν θεῷ ζῶντι φησὶ, καὶ ἀληθινῷ. ἐντεῦθεν ἐμφαίνει, ὅτι νεκρὰ ἔργα ἔχοντα, οὐκέτι δουλεύειν τῷ ἀληθινῷ, καὶ ζῶντι θεῷ. ἐκεῖνα γὰρ, καὶ νεκρά ἐστι, καὶ ψευδῆ, καὶ εἰκότως.

Η' πικόν.

Μηδεὶς τοίνυν νεκρὰ ἔργα ἔχων εἰσίτω ἐνταῦθα. εἰ γὰρ τὸν νεκροῦ σώματος ἀπολόμενον οὐκεδεῖ εἰσιέναι, πολλῷ μᾶλλον τὸν νεκρὰ ἔργα ἔχοντα. μολυσμὸς γάρ ἐστι χαλεπώτατος. νεκρὰ δὲ ἔργα ἐστὶ, πάντα τὰ ζωὴν οὐκ ἔχοντα, τὰ δυσωδίας πνέοντα. ὥσπερ γὰρ τὸ νεκρὸν σῶμα πρὸς οὐδὲ μίαν αἴσθησιν ἐστὶ χρήσιμον, ἀλλὰ καὶ λυπεῖ τοὺς πλησιάζοντας, οὕτω καὶ ἡ ἁμαρτία βλάβους τὸ λογιστικὸν πλήττει, καὶ οὐκ ἀφίησιν οὐδὲ αὐτὴν τὴν διανοιαν ἠρεμεῖν, ἀλλὰ θορυβεῖ, καὶ ταράττει. λέγεται δὲ καὶ λοιμὸς πίπτοντες διαφθείρειν τὰ σώματα. τοιαύτη ἐστὶ, καὶ ἡ ἁμαρτία. λοιμοῦ οὐδὲν διενήνοχεν, οὐ τὸν ἀέρα φθείρουσα πρῶτον, εἶτα τὰ σώματα, ἀλλ' εὐθέως εἰς τὴν ψυχὴν εἰσπηδῶσα. οὐχ ὁρᾷς τοὺς λοιμώττοντας, πῶς φλεγμαίνουσι, πῶς περιφέρονται, πῶς δυσωδίας εἰσὶν ἐμπεπλησμένοι, πῶς αὐτῶν αἰσχραὶ αἱ ὄψεις, πῶς ὅλοι ἀηδάρτοι; τοιοῦτοι εἰσὶ, καὶ οἱ ἁμαρτάνοντες κἂν μὴ βλέπωσιν. εἰκῆ μοι γάρ. πυρέττοντος παντὸς οὐκ ἔστι χεῖρον ὁ τῆς ἐπιθυμίας τῶν χρημάτων, ἢ τῶν σωμάτων ἁλούς; οὐχὶ ἀηδαρτότερος τούτων ἐστὶ, πάντα τὰ αἰσχύνοντα, καὶ ποιῶν, καὶ πάσχων; τί γὰρ αἰσχρότερον ἀνδρὸς χρημάτων ἐρῶντος; ὅσα αἱ ἑταιριζόμεναι γυναῖκες, ὅσα αἱ διὰ τῆς σκηνῆς, οὐ παραιτοῦνται ποιεῖν, τοσαῦτα οὐδὲ οὗτος. μᾶλλον δὲ ἐκεῖναι εἰκὸς ἔστιν, οὐ παραιτήσασθαι, ἢ ἔστιν. καὶ δουλοπρεπῆ πράγματα ὑπομένει, κολακεύων ὡς οὐ δεῖ, θρασύνεται πάλιν ἔνθα μὴ δεῖ, πανταχοῦ ἀνώμαλος. πονηροὺς ἄνδρας, καὶ γέροντας πολλάκις διεφθαρμένους, πολλῷ καὶ πενεστέρους, καὶ δυτελεστέρους αὐτῶν παρακέκληται κολακεύων, καὶ ἑτέρους ἀγαθοὺς, καὶ εὐαρέστους ὑβρίζων, καὶ θρασυνόμενος. εἶδες ἐκατέρωθεν τὴν ἀχημοσύνην; τὴν ἀναισχυντίαν. καὶ τὰ πεινῶντος ἔστι πέρα τοῦ μέτρου, καὶ ἀλαζών. ἀλλ' ἕστηκασιν ἐπὶ οἰκήματος αἱ πόρναι, καὶ ἔστιν ἐπὶ τὸ ἔγκλημα, ὅτι τὸ σῶμα πωλοῦσι χρημάτων ἕνεκεν, ἀλλὰ πενία φησὶ, καὶ λιμὸς καταναγκάζει, εἰ καὶ τὰ μάλιστα οὐδὲ ἔστιν ἱκανὸν εἰς ἀπολογίαν. ἐξὸν γὰρ ἐργαζομένας ἀποτρέφεσθαι. ἐνταῦθα ἕστηκεν ὁ πλεονέκτης, οὐκ ἐπὶ οἰκήματος, ἀλλ' ἐπὶ τῆς πόλεως μέσης, οὐ σῶμα, ἀλλὰ τὴν ψυχὴν προδιδοὺς τῷ διαβόλῳ, ὥστε καὶ συγγίνεσθαι, καὶ εἰσέρχεσθαι πρὸς αὐτὸν, ὥσπερ ὄντως πρὸς πόρνην, καὶ τὴν ἐπιθυμίαν αὐτοῦ πᾶσαν πληρώσας ἐξέρχεται. καὶ ὁρῶσι πᾶσα ἡ πόλις, οὐ δύο ἄνδρες, καὶ τρεῖς, καὶ ἔστιν δὲ τῶν πορνῶν ἴδιόν ἐστιν, ὅτι τοῦ τὸ χρυσίον διδόντος εἰσὶ, καὶ κἂν δοῦλος ᾖ, κἂν μοναχὸς, κἂν ὁσιωτάτου, προτείνῃ δὲ τὸν μισθὸν, κατασέχονται. τοὺς δὲ ἐλευθέρους, κἂν πάντων ὦσιν εὐγενέστεροι χωρὶς τοῦ ἀργυρίου, οὐ προσίενται. ἔστι καὶ ἐνταῦθα οὗτοι ποιοῦσι,

τοὺς μὲν

τοὺς μὲν ὀρθοὺς λογισμούς, ὅταν ἀργύριον μὴ ἔχωσιν, ἀποφέρονται, τοῖς δὲ μαρωῖς, καὶ θεομάχοις ὄντως συγγίνονται διὰ τὸ χρυσίον, καὶ ἀχημόνως συγγίνονται, καὶ τὸ κάλλος ἀπολλύουσι τῆς ψυχῆς. καθάπερ γὰρ ἐκεῖναι φύσει μὲν εὐδεχθεῖς, καὶ μέλαιναι, καὶ ἀχροικίδες, καὶ παχεῖαι, καὶ ἄμορφοι, καὶ κακόπλαστοι, καὶ πάντοθεν αὐχραί, οὕτως αἱ τούτων γίνονται ψυχαί, οὐδὲ τοῖς ἔξωθεν ἐπιτρίμμασι, τὴν ἀμορφίαν συγκαλύψαι δυνάμεναι. ὅταν γὰρ ἐχάτη ἡ δυσεύδεια, ὅσα αὐ ἐπινοήσωσιν, οὐδὲ ὑποκρίνασθαι δύνανται. ὅτι γὰρ ἀναισχωτία πόρναισ ποιεῖ, ἄκουσον τοῦ προφήτου λέγοντος ἀπηναισχώτησας, πρὸς πάντας ὡς πόρνης ἐγένετό σοι. ὅθεν καὶ πρὸς τοὺς πλεονέκτας ἐφὴν εἰπεῖν. ἀπηναισχώτησας πρὸς πάντας, οὐ πρὸς τούσδε, καὶ τούσδε, ἀλλὰ πρὸς πάντας, οὐ πατέρα, οὐ χῆρον, οὐ γυναῖκα, οὐ φίλον, οὐκ ἀδελφὸν, οὐκοικέτην, οὐδένα ἁπλῶς αἰδεῖται ὁ τοιοῦτος. καὶ τί λέγω φίλον, καὶ ἀδελφὸν, καὶ πατέρα; αὐτὸν οὐκ αἰδεῖται τὸν θεὸν, ἀλλὰ πάντα μῦθος αὐτῷ εἶναι δοκεῖ, καὶ γελᾷ ὑπὸ τῆς πολλῆς ἐπιθυμίας μεθύων, καὶ οὐδὲ τὴν ἀκοὴν παραδεχόμενός τι τῶν ὠφελεῖν αὐτὸν δυναμένων. ἀλλ' ὦ τῆς ἀτοπίας, καὶ ὅσα φθέγγονται. οὐαίσοι μαμωνᾶ, καὶ τῷ μὴ ἔχοντί σε. ἐν τούτοις διαπρίομαι ὑπὸ τοῦ θυμοῦ. οὐαὶ γὰρ τοῖς τοῦτα λέγουσι, κἂν ἐν γέλωτι λέγωσιν. εἰ ὠφέλει γάρ. τοιαύτην ἀπειλὴν ἠπείλησεν ὁ θεὸς λέγων. οὐ δυνάσθε δυσὶ κυρίοις δουλεύειν. σὺ δὲ ἐκλύεις τὴν ἀπειλήν. οὐκεῖ δουλοπρέπειαν αὐτὴν εἶναι φησὶν ὁ παῦλος, καὶ τὸν πλεονέκτην εἰδωλολάτρην καλεῖ; σὺ δὲ ἕστηκας γελῶν, καὶ τὰς βιωτικὰς γυναῖκας γελωτοποιῶν ταῖς ἐν τῇ σιωπῇ. ὅθεν πάντα ἀνέτρεψε, ὅθεν κατέβαλε. γέλως γέγονε τὰ ἡμέτερα, πολιτισμὸς, καὶ ἀστειότης. οὐδὲν δύσκολες, οὐδὲν βαρύ. οὐ πρὸς τοὺς βιωτικοὺς αὖθις μόνον λέγω ταῦτα, ἀλλ' οἶδα οὓς αἰνίττομαι. γέλωτος γὰρ ἐμπέπλησται ἡ ἐκκλησία. αὖ ὁδεῖνα ἀστεῖον εἶπε, γέλως δὴ θεὸς ἐν τοῖς καθημένοις γίνεται. καὶ τὸ θαυμαστὸν, ἐν αὐτῷ τῷ καιρῷ τῆς δύσεως, οὐ παύονται πολλοὶ τοῦ γελᾶν. πανταχοῦ χορεύει ὁ διάβολος, πάντας ἐνεδύσατο, πάντων κρατεῖ. ἡπίμασται ὁ χς, παρεώσται. ἐν οὐδενὸς ὄψει μέρει ἡ ἐκκλησία. οὐκ ἀκούετε παύλου λέγοντος; αἰσχρότης καὶ μωρολογία, καὶ εὐτραπελία ἀρθήτω ἀφ' ὑμῶν. μετὰ τῆς αἰσχρότητος τὴν εὐτραπελίαν τίθησι. σὺ δὲ γελᾷς; μωρολογία τίς ὄψι τὰ μηδὲν ἔχοντα χρήσιμον. γελᾷς δὲ ὅλως, καὶ διαχεῖς τὸ πρόσωπον ὁ μονάζων; ὁ ἐσταυρωμένος, ὁ ὠνειδῶν; γελᾷς εἰπέμοι; ποῦ τοῦ χριστοῦ ὄψει ἤκουσας ποιοῦντος; οὐ δακμῶ, ἀλλὰ κατηφοῦντος μὲν πολλάκις. καὶ γὰρ ὅτε τὴν ἱερουσαλὴμ εἶδεν, ἐδάκρυσε, καὶ ὅτε τὴν προδότην ἐνενόησεν, ἐταράχθη, καὶ ὅτε τὸν λάζαρον ἔμελλεν ἐγείρειν, ἐδάκρυσε. σὺ δὲ γελᾷς; εἰ ὄψει τοῖς ἑτέρων ἁμαρτήμασιν ὁ μὴ ἀλγῶν κατηγορίας ἄξιος, ὁ ὄψει τοῖς αὐτοῦ ἀναλγήτως διακείμενος, καὶ γελῶν, ποίας ἕξει συγγνώμης; ὠνείδους ὁ καιρὸς, καὶ θλίψεως, ὑπωπιασμοῦ, καὶ δουλαγωγίας, ἀγώνων, μὴ ἱδρώτων. σὺ δὲ γελᾷς; μὴ οὐχ ὁρᾷς πῶς ἐπεπήδηκε σάρξ; οὐκ ἀκούεις τοῦ κυ λέγοντος, οὐαὶ οἱ γελῶντες, ὅτι κλαύσουσι. ταῦτα φαύλεις καθ' ἑκάστην ἡμέραν; τί γὰρ λέγεις εἰπέμοι, ὅτι ἐγέλασα; οὐ δακμῶς, ἀλλὰ τί; ἐνοπίασα ἐν τῷ στεναγμῷ μου. ἀλλὰ τάχα τινὲς εἰσὶν, οὕτω διακεχυμένοι, μὴ χαῦνοι, ὡς μὴ ἐν τῇ ἐπιτιμήσει ταύτῃ γελᾶν. ὅτι δὴ περὶ γέλωτος ταῦτα διαγελώμεθα. μὴ γὰρ τοιοῦτόν ἐστιν ἡ παραφορά. τοιαύτη ἡ παραπλησία, οὐδὲ αὐθαυτὴ τῆς ἐπιτιμήσεως. ἔφησεν ὁ ἱερὸς τοῦ θυ τὸ πνυ δύχην ἀναφέρων.

σὺ δὲ γελᾷς,

σὺ δὲ γελᾷς, οὐ δεδοικώς. καὶ ἐκεῖνος μὲν τρέμων ὑπὲρ σοῦ τὰς δυχὰς ἀναφέρει, σὺ δὲ καταφρονεῖς. οὐκ ἀκούεις τῆς γραφῆς λεγούσης; οὐαὶ οἱ καταφρονηταὶ, οὐ φείδῃ σου σεαυτόν; καὶ εἰς μὲν βασίλεια εἰσιὼν, καὶ σχήμασι, καὶ βλέμμασι, καὶ βαδίσμασι, καὶ πᾶσι τοῖς ἄλλοις κοσμεῖς σεαυτόν. ἐνταῦθα δὲ ὄντως ἐστὶ βασίλεια, καὶ τιμιώτατα οἷα τὰ οὐράνια, καὶ γελᾷς; σὺ μὲν οὖν οἶδα ὅτι οὐχ ὁρᾷς. ἄκουε δὲ ὅτι ἄγγελοι πάρεισι πανταχοῦ, καὶ μάλιστα ἐν τῷ οἴκῳ τοῦ θεοῦ παρεστήκασι τῷ βασιλεῖ, καὶ πάντα ἐμπέπλησται τῶν ἀσωμάτων ἐκείνων δυνάμεων. οὗτος ἐμοὶ, καὶ πρὸς γυναῖκας ὁ λόγος, οὐ μὴν μὲν τῶν ἀνδρῶν, οὐ τολμῶσι γὰρ ποιεῖν τοιοῦτον, κἂν ποιῶσι δὲ, οὐκ αἰεί, ἀλλὰ παρὰ τὸν καιρὸν τῆς ἀνέσεως, ἐνταῦθα δὲ ἀεί. καταναλύσεις εἰστήκει τινὶ κεφαλὴ, καὶ γελᾷς ὦ γύναι ἐν ἐκκλησίᾳ καθημένη; εἰσῆλθες ἐξομολογήσασθαι τὰ ἁμαρτήματα, προσεύξασθαι, τῷ θεῷ, δεηθῆναι καὶ ἱκετεῦσαι ὑπὲρ τῶν κακῶσοι πεπλημμεληκότων, καὶ μετὰ γέλωτος γὰρ ποιεῖς; πῶς οὖν αὐτὴν ἐξιλεώσασθαι δυνήσῃ; καὶ τί κακὸν ὁ γέλως φησίν; οὐ κακὸν ὁ γέλως, ἀλλὰ κακὸν τὸ παρὰ μέτρον, τὸ ἄκαιρον. ὁ γέλως ἔγκειται ἡμῖν, ἵνα ὅταν φίλους ἴδωμεν μετὰ μακροῦ χρόνου, γὰρ ποιῶμεν, ὅταν τινὰς κατατετρυμένους, καὶ δεδοικότας, ἀνῶμεν αὐτοὺς τῷ μειδιάματι, οὐχ ἵνα καγχάζωμεν, καὶ ἀεὶ γελῶμεν. ὁ γέλως ἔγκειται τῇ ψυχῇ τῇ ἡμετέρᾳ, ἵνα ἀνῆται ποτὲ ἡ ψυχή. οὐχ ἵνα διαχέηται. ἐπεὶ καὶ ἐπιθυμία ἡμῖν ἔγκειται σωμάτων, καὶ οὐ πάντως ἀνάγκη μετὰ τὸ ἐγκεῖσθαι, κεχρῆσθαι αὐτῇ, ἢ κεχρῆσθαι ἀμέτρως, ἀλλὰ κρατῶμεν αὐτῆς, καὶ οὐ λέγομεν ἐπειδὴ ἔγκειται χρησώμεθα. μετὰ δακρύων δούλευε τῷ θεῷ, ἵνα σωθῇς ἀπονίψασθαι τὰ ἡμαρτημένα. οἶδα ὅτι πολλοὶ διαμωκῶνται ἡμᾶς λέγοντες, οὐ θεὸς δάκρυα. διατοῦτο δὲ δακρύων καιρός. οἶδα ὅτι, καὶ οἰωνίζονται οἱ λέγοντες, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς ὁ τῶν πραγμάτων λαβὼν πάντα, τοῦτα φησίν. ὠκοδόμησά μοι οἰκίας, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κολυμβήθρας ὑδάτων, οἰνοχόους καὶ οἰνοχοούσας, καὶ τί δὴ μετὰ τοῦτα πάντα φησί; ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. πενθήσωμεν τοίνυν ἀγαπητοὶ, πενθήσωμεν, ἵνα ὄντως γελάσωμεν, ἵνα ὄντως ἥδωμεν, ἐν τῷ καιρῷ τῆς χαρᾶς τῆς εἰλικρινοῦς. αὕτη μὲν γὰρ ἡ χαρὰ, πάντως λύπῃ ἀναμέμικται, καὶ οὐδέποτε καθαρὰν αὐτὴν ἔστιν εὑρεῖν. ἐκείνη δὲ εἰλικρινής ἐστι, καὶ ἄδολος, καὶ οὐδὲν ἔχουσα ὕπουλον, οὐδὲν ἀναμεμιγμένον. ἐκείνῃ ἥδωμεν τὴν χαρὰν, ἐκείνῃ μεταδιώξωμεν. ἄλλως δὲ οὐκ ἔστιν αὐτῆς ἐπιτυχεῖν, ἢ μὴ τὰ ἡδέα, ἀλλὰ τὰ ὠφελοῦντα αἱρεῖσθαι, καὶ μικρὸν θλίβεσθαι ἐπόντας, καὶ μετὰ τὰ δύσκολα φιλοσοφίας ἅπαντα φέροντας. οὕτω γὰρ σωθησόμεθα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν γένοιτο, μὴ φιλονικίας.

Καὶ διὰ τοῦτο

» Καὶ διαθ̄κ διαθήκης καινῆς μεσίτης ἐστὶν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν
» τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι, τῆς
» αἰωνίου κληρονομίας. ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου.
» διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει, ὅτε ζῇ ὁ διαθέμενος. ὅθεν οὐδὲ
» ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται.

Ε ἐπεὶ ὧν πολλοὺς τῶν ἀσθενέστερον διακειμένων, καὶ ἀπὸ τοῦ τετελευτηκέναι τὸν χριστὸν
μέλλοντα ἀπιστεῖν τοῖς ἐπαγγελίαις αὐτοῦ. ὁ τοίνυν παῦλος ἐκπερισσοῦ θ̄ν πίθησι τὸ
ὑπόδειγμα, ἀπὸ τῆς κοινῆς συνηθείας λαβών. ποῖον δή θ̄ν; δι' οὗ μὲν οὖν θ̄ν χρὴ
διαῤῥηνῦφησι, διατὶ ὅτι οὐ ζώντων τῶν διαθεμένων, ἀλλὰ ἀποθανόντων. τότε βέβαιοι
εἰσὶν αἱ διαθῆκαι, καὶ τὴν ἰσχὺν λαμβάνουσι, καὶ διαθ̄κ φησὶ καινῆς διαθήκης μεσί-
της ἐστὶν. ἡ διαθήκη πρὸς τὴν ἐσχάτην ἡμέραν γίνεται τῆς τελευτῆς. τοιαύτη δέ ἐστιν ἡ δια-
θήκη. τοὺς μὲν κληρονόμους ἔχει, τοὺς δὲ ἀποκληρονόμους. οὕτω καὶ ἐνταῦθα. θέλω
ἵνα ὅπου ἐγώ εἰμι φησὶν ὁ χριστὸς, καὶ οὗτοι ὦσι. καὶ πάλιν περὶ τῶν ἀποκληρονόμων ἄκουε
αὐτοῦ λέγοντος. οὐ περὶ πάντων ἐρωτῶ, ἀλλὰ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐ-
τῶν εἰς ἐμέ. ἡ διαθήκη πάλιν, τὰ μὲν, τοῦ διαθεμένου ἔχει, τὰ δὲ, τῶν δεχομένων. ὥστε
τὰ μὲν αὐτοὺς λαβεῖν, τὰ δὲ ποιῆσαι. οὕτω καὶ ἐνταῦθα. μετὰ γὰρ τὸ ἐπαγγείλασθαι
μυεῖα ἀσαυτεῖ, καὶ παρ' αὐτῶν λέγων. ἐντολὴν καινὴν δίδωμι ὑμῖν. πάλιν ὀφείλει ἡ
διαθήκη μάρτυρας ἔχειν. ἄκουε αὐτοῦ πάλιν λέγοντος. ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυ-
τοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με, καὶ πάλιν. ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ, περὶ
τοῦ παρακλήτου λέγων. καὶ τοὺς δώδεκα ἀποστόλους ἀπέστειλε λέγων. διαμαρτύρασθε ἐ-
νώπιον τοῦ θεοῦ. καὶ διαθ̄κ φησὶ διαθήκης καινῆς μεσίτης ἐστί. τί ὅτι μεσίτης; ὁ μεσίτης,
οὐκ ὅτι κύριος τοῦ πράγματος, οὐ ὅτι μεσίτης, ἀλλ' ἕτερον μὲν τὸ πρᾶγμα, ἕτερος δὲ ὁ με-
σίτης. οἷον μεσίτης γάμου γίνεται, οὐχ ὁ γαμῶν, ἀλλ' ὁ τῷ μέλλοντι ἄγεσθαι συμπρατ-
των. οὕτω δὴ καὶ ἐνταῦθα. μεσίτης ὁ υἱὸς ἐγένετο τοῦ πατρὸς, καὶ ἡμῶν. οὐκ ἤθελεν ἡμῖν
ἀφεῖναι ὁ πατὴρ τὴν κληρονομίαν ταύτην, ἀλλ' ὠργίζετο πρὸς ἡμᾶς, καὶ ἐχαλέπαινεν,
ὡς ἀπηλλοτριωμένους. μεσίτης τοίνυν ἐγένετο ἡμῶν, καὶ αὐτοῦ, καὶ ἔπεισεν αὐτόν. καὶ
ὅρα πῶς μεσίτης ἐγένετο. λόγους ἀπήγαγε, καὶ ἤγαγε, τὰ παρὰ τοῦ πατρὸς ἡμῖν διαπορ-
θμεύων, καὶ τὸν θάνατον προσλαβών. προσηκρουκότες ἦμεν, ἀποθανεῖν ὠφείλομεν. ἀ-
πέθανεν ὑπὲρ ἡμῶν, καὶ ἐποίησεν ἡμᾶς ἀξίους τῆς διαθήκης. ταύτην ἐστὶ βεβαίαν ἡ διαθήκη,
ἢ οὐκείς ἀναξίους λοιπὸν γέγονε. παρὰ μὲν οὖν τὴν ἀρχὴν, ὅτε ὡς πατὴρ εἰς υἱοὺς διέθετο.
ἐπειδὴ δὲ ἀνάξιοι γεγόναμεν, οὐκέτι διαθήκης, ἀλλὰ τιμωρίας ἔδει. τί οὖν μέγα φρονεῖς
φησὶν ἐπὶ τῷ νόμῳ; εἰς τοσαύτην γὰρ ἡμᾶς κατέφησεν ἁμαρτίαν, ὡς μὴ ἂν σωθῆναι ποτέ.
εἰ μὴ ὁ δεσπότης ἡμῶν ὑπὲρ ἡμῶν ἀπέθανεν, οὐκ ἂν ἴσχυσεν ὁ νόμος, ὅτι γὰρ ἀθενής. οὐ-
κέτι δὲ αὐτὸ ἀπὸ τῆς κοινῆς συνηθείας βεβαιοῖ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐν τῇ παλαιᾷ
συμβεβηκότων.

συμβεβηκότων, ὁ μάλιστα αὐτοὺς ἐπηγάγετο. οὐδεὶς ἰῶ ὁ τετελευτηκὼς ἐκεῖ. πῶς οὖν ἐκείνη βεβαία; διὰ τὸ αὐτὸ τρόπου φησί. πῶς; καὶ γὰρ ἐκεῖ αἷμα, ὥσπερ ἐνταῦθα αἷμα. εἰ δὲ μὴ τὸ τοῦ χριστοῦ αἷμα, μὴ θαυμάσῃς, τύπος γὰρ ἰῶ. ὅθεν φησὶν, οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται. βεβαία γέγονεν, ἐνυρώθη. ὅθεν διαθήκην φησὶν εἶναι τῆς διαθήκης τὸ σύμβολον εἶναι, καὶ τῆς τελευτῆς. τίνος γὰρ ἕνεκεν εἰώθεμεν τὸ βιβλίον ῥαντίζεται
» τῆς διαθήκης; φησὶ γάρ. Λαληθείσης πάσης τῆς ἐντολῆς κατὰ νόμον ὑπὸ μωϋσέως
» παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων μετὰ ὕδατος, καὶ ἐρίου κοκκίνου, καὶ ὑσσώ-
» που, αὐτό τε τὸ βιβλίον, καὶ πάντα τὸν λαὸν ἐῤῥάντιζε λέγων. ἵδε τὸ αἷμα τῆς διαθήκης,
» ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ θεός. Τίνος οὖν ἕνεκεν εἰώθεμεν τὸ βιβλίον ῥαντίζεται τῆς διαθήκης, καὶ ὁ λαός; ἢ τοῦ ἁίματος αὖωθεν σχηματιζομένου, διατὶ τῷ ὑσσώπῳ τοιοῦτόν ἐστι, καὶ κραστικόν. τί δὲ τὸ ὕδωρ; δείκνυσι καὶ τοῦτο διὰ ὕδατος καθαίρειν. τί δὲ τὸ ἔριον; καὶ τοῦτο, ὥστε κατέχεσθαι τὸ αἷμα, δείκνυσιν ἐνταῦθα αὖτο, καὶ αἷμα, καὶ ὕδωρ.
» τὸ γὰρ βάπτισμα αὐτό, τὸ πάθος ἐφ'. Καὶ τὴν σκηνὴν δὲ, καὶ πάντα τὰ σκεύη τῆς
» λειτουργίας, τῷ αἵματι ὁμοίως ἐῤῥάντισε, καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κα-
» τὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας, οὐ γίνεται ἄφεσις. Διατὶ τὸ σχεδὸν, διατὶ αὐτὸ ἐπόλασεν. ἐπειδὴ ἐκεῖνα οὐκ ἦν καθαρισμὸς τέλειος, οὐδὲ ἄφεσις τελεία, ἀλλὰ ἡμιτελὴς, καὶ ἐν ἐλαχίστῳ μέρει. ἐνταῦθα δὲ ἔδειξε τὸ αἷμα φησὶ τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ποῦ τοίνυν τὸ βιβλίον ἐκάθαρε τὰς διανοίας αὐτῶν; αὐτοὶ ἄρα ἦσαν βιβλία τῆς καινῆς διαθήκης. ποῦ δὲ τὰ σκεύη τῆς λειτουργίας; αὐτοὶ εἰσί. ποῦ δὲ ἡ σκηνή; αὐτοὶ εἰσὶ πάλιν. ἐνοικήσω γὰρ ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω φησίν. ἀλλ' οὐκ εἰμὶ κοκκίνῳ, καὶ ὑσσώπῳ ἐῤῥαντίζοντο. τί δήποτε; οὐ γὰρ σωματικὸς ὁ καθαρισμὸς ἰῶ, ἀλλὰ πνευματικὸς, καὶ τὸ αἷμα πνευματικὸν, πῶς; οὐκ ἀπὸ σώματος ἐῤῥεῖ διὰ λόγων, ἀλλὰ σώματος ἀπὸ πνεύματος κατασκευασθέντος. τούτῳ ἡμᾶς, οὐ μωσῆς, ἀλλ' ὁ χς ἐῤῥάντισε τῷ αἵματι διὰ τοῦ λόγου τοῦ λεχθέντος. ἵδε τὸ αἷμα τῆς καινῆς διαθήκης εἰς ἄφεσιν ἁμαρτιῶν. οὗτος ὁ λόγος ἀντὶ ὑσσώπου τῷ αἵματι ἐμβαφεὶς, πάντας περιῤῥαίνει. καὶ ἐκεῖ μὲν τὸ σῶμα ἔξωθεν ἐκαθαίρετο, σωματικὸς γὰρ ὁ καθαρισμὸς ἰῶ. ἐνταῦθα δὲ ἐπειδὴ πνευματικός ἐστιν ὁ καθαρισμὸς, εἰς ψυχὴν εἰσέρχεται ὁ καθαρισμὸς, οὐχ ἁπλῶς περιῤῥαινόμενος, ἀλλὰ πηγάζων ἐν ταῖς ἡμετέραις ψυχαῖς. ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα, καὶ ἐπ' ἐκείνων μὲν, αὐτὴν τὴν ἐπιφάνειαν ἐῤῥαίνε, καὶ πάλιν ἀστενίζετο ὁ ῥαντιζόμενος. οὐ γὰρ δὴ ἠμαγμένος ἀεὶ περιῆει. ἐπὶ δὲ τῆς ψυχῆς, οὐχ οὕτως, ἀλλ' αὐτῇ τῇ οὐσίᾳ ἀναμίγνυται τὸ αἷμα, ῥωμαλέαν αὐτὴν ποιοῦν, καὶ ἀγλαὸν, καὶ πρὸς αὐτὸ τὸ ἀμήχανον καὶ ἄλλος ἄγον. δείκνυσι δὴ λοιπὸν τὸν θάνατον, οὐ μόνον βεβαιώσεως, ἀλλὰ καὶ καθαρμοῦ αἴτιον. ἐπειδὴ γὰρ ἡ τελευτὴ μικρὸν πρᾶγμα ἐδόκει εἶναι, καὶ μάλιστα ἡ διὰ σταυροῦ, λέγει ὅτι ἐκάθαρε, καὶ ζημίαν καθαίρουσιν, καὶ ἐπὶ μείζοσι. διαθήκη αἱ θυσίαι προὐλαβον. διὰ τὸ αἷμα ἔδει, διὰ ἔδει ἀμνοί. ἅπαντα διὰ ἔδει ἐγένετο. Τὰ μὲν
» ὑποδείγματα φησὶ τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαίρεσθαι. αὐτὰ δὲ τὰ

ἐπουράνια

ὃ) Οὐρανίας κρείττοσι θυσίαις παρὰ ταύτας. Καὶ πῶς ἔστιν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς; τίνας δὲ καλεῖ τὰ ἐν τοῖς οὐρανοῖς νεώ; ἆρα τὸν οὐρανόν; ἀλλὰ τοὺς ἀγγέλους; οὐδὲν τούτων, ἀλλὰ τὰ ἡμέτερα. ἆρα ἐν τοῖς οὐρανοῖς τὰ ἡμέτερα, καὶ οὐρανίας τὰ ἡμέτερα, κἂν ἐν τῇ γῇ ἐπιτελῆται. ἐπεὶ καὶ ἄγγελοι ἐν τῇ γῇ εἰσὶν, ἀλλ' οὐρανίοι λέγονται. καὶ τὰ χερουβὶμ ἐπὶ τῆς γῆς ἐφαίνη, ἀλλ' οὐρανία ἐστί. καὶ τί λέγω ἐφαίνη; ἐπὶ τῆς γῆς μὴν οὖσι διάγει, ὥσπερ οὖν ἐν τῷ παραδείσῳ. ἀλλ' οὐδὲ οὕτω. οὐρανία γάρ ἐστι, καὶ ἡμῶν τὸ πολίτευμα ἐστὶν ἐν οὐρανοῖς, καίτοι ἐν ταῖς θυαῖς πολιτευόμεθα. αἱ τοίνυν τὰ οὐρανία. τουτέστι τὴν φιλοσοφίαν τὴν παρ' ἡμῖν. τοὺς ἐκεῖ κεκλημένους κρείττοσι θυσίαις παρὰ ταύτας, τὸ κρεῖττον ἀεὶ καλὰ γέγονασι, καὶ ὑπόδειγμα τῶν ἐν τοῖς οὐρανοῖς, οὐκοῦν τὰ ὑποδείγματα πονηρὰ ἴσως, ἐπεὶ καὶ ἐκεῖνα αὖ εἴη πονηρὰ ὧν ἐστι τὰ ὑποδείγματα.

Η' Ἀπόν.

Ε Τί τοίνυν οὐρανίοι ἡμεῖς, καὶ τοιαύτης οὐσίας ἐτύχομεν, φείξωμεν. μηκέτι μένωμεν ἐν τῇ γῇ. ἕξεσι γὰρ μὴ εἶναι ἐν τῇ γῇ, καὶ νεὼν τὸν βουλόμενον. τὸ γὰρ εἶναι ἐν τῇ γῇ, καὶ μὴ εἶναι, τρόπῳ, καὶ προαιρέσει γίνεται. οἷόν τι λέγω, ὁ θεὸς λέγεται εἶναι ἐν τῷ οὐρανῷ. διατί; οὐ τόπῳ ἀποκλειόμενος, μὴ γένοιτο, οὐδὲ τὴν γῆν ἔρημον τῆς αὐτοῦ παρουσίας ἀφείς, ἀλλὰ τῇ ἕξει, καὶ τῇ οἰκειώσει τῇ πρὸς τοὺς ἀγγέλους. οὐ τοίνυν καὶ ἡμεῖς ἐγγὺς ὦμεν τοῦ θεοῦ, ἐν οὐρανῷ ἐσμέν. τί γαρμοσύνης μέλει τοῦ οὐρανοῦ, ὅταν ὁρῶ τὸν δεσπότην τοῦ οὐρανοῦ; ὅταν αὐτὸς οὐρανὸς γένωμαι; ἐλευσόμεθα γαρ φησιν ἐγὼ, καὶ ὁ πατήρμου, καὶ μονὴν παρ' αὐτῷ ποιήσωμεν. ποιήσωμεν οὖν ἡμῶν τὴν ψυχὴν, οὐρανόν. φαυλρός ἐστιν ὁ οὐρανὸς τῇ φύσει. οὐδὲ γὰρ ἐν χειμῶνι μέλασ γίνεται. οὐ γὰρ αὐτὸς μεταβάλλει τὴν ὄψιν, ἀλλ' αἱ νεφέλαι συνδραμοῦσαι καλύπτουσιν αὐτόν. ὁ οὐρανὸς ἥλιον ἔχει, ἔχομεν καὶ ἡμεῖς ἥλιον δικαιοσύνης. εἶπον ἔξεσι γενέσθαι, ὡς οὐρανόν, καὶ ὁρῶ, ὅτι καὶ βελτίονα γενέσθαι τοῦ οὐρανοῦ ἔξεσι, πῶς; ὅταν τὸν δεσπότην τοῦ ἡλίου ἔχωμεν. ὁ οὐρανὸς, πάντοθεν ἐστὶ καθαρὸς, καὶ ἀκηλίδωτος, οὐκ ἐν χειμῶνι, οὐκ ἐν νυκτὶ μεταβάλλεται. μὴ τοίνυν, μὴ δὲ ἡμεῖς, μὴ ἐν θλίψεσι, μὴ ἐν ταῖς μεθοδείαις τοῦ διαβόλου τοῦτο πάσχωμεν, ἀλλὰ μένωμεν ἀκηλίδωτοι, καὶ καθαροί. ὁ οὐρανός ἐστιν ὑψηλὸς, καὶ πολὺ τῆς γῆς ἀπέχων. τοῦτο καὶ ἡμεῖς ποιήσωμεν, ἀποστήσωμεν ἑαυτοὺς τῆς γῆς, καὶ πρὸς τὸ ὕψος ἀρθῶμεν ἐκεῖνο, καὶ πολὺ τῆς γῆς ἑαυτοὺς ἀποστήσωμεν. ὁ οὐρανὸς ἀνώτερος ἐστὶ, καὶ ὑετῶν, καὶ χειμώνων, καὶ ὑπ' οὐδενὸς ἀλίσκεται. τοῦτο καὶ ἡμεῖς δυνησόμεθα, ἐὰν θέλωμεν. ἀλλ' οὗτος δοκεῖ μὲν, οὐ μέντοι πάσχει αὐτός. μὴ τοίνυν μὴ δὲ ἡμεῖς κἂν δοκῶμεν πάσχειν, πάσχωμεν. ὥσπερ γὰρ ἐν τῷ χειμῶνι οἱ μὲν πολλοὶ τὸ κάλλος αὐτοῦ οὐκ ἴσασιν, ἀλλὰ νομίζουσιν αὐτὸν τρέπεσθαι. οἱ δὲ φιλοσοφοῦντες ἴσασιν, ὅτι οὐδὲν ἔπαθεν, οὕτω καὶ περὶ ἡμῶν ἐν ταῖς θλίψεσιν. οἱ μὲν πολλοὶ νομίζουσιν ἡμᾶς συμμεταβεβλῆσθαι, καὶ αὐτῆς ἡμῶν ἥψατο τῆς καρδίας τὴν θλῖψιν. οἱ δὲ φιλόσοφοι ἴσασιν, ὅτι οὐχ ἥψατο ἡμῶν. γενώμεθα τοίνυν οὐρανὸς, ἀνέλθωμεν εἰς τὸ ὕψος ἐκεῖνο, καὶ οὕτως ὀψόμεθα τοὺς ἀνθρώπους μυρμήκων οὐδὲν διαφέροντας, οὐ τοὺς πένητας λέγω μόνον, οὐδὲ τοὺς πλουσίους, ἀλλὰ κἂν φρατριάρχης ᾖ, κἂν βασιλεὺς, οὐκ ὀψόμεθα τὸν βασιλέα, οὐδὲ τὸν ἰδιώτην. οὐκ εἰσόμεθα τί μὲν χρυσὸς, τί δὲ ἄργυρος, τί δὲ ἱμάτιον σηρικὸν, ἢ πορφυροῦν. πάντα ὥσπερ μύσα ὀψόμεθα, ἐὰν ἐν ἐκείνῳ τῷ ὕψει καθίσωμεν. οὐδεὶς δόρυβος ἐκεῖ

βος ἐκεῖ

βος ἐκεῖ, οὐδὲ ταραχὴ, οὐδὲ καταιγίς. καὶ πῶς ἐνί φησιν εἰς ἐκεῖνο ἀρθῆναι τὸ ὕψος τῆς γῆς περιπατοῦντας; λόγῳ μὲν οὐ λέγω, ἐγὼ δέσοι δείκνυμι διὰ τῶν ἔργων τοὺς εἰς τὸ ὕψος ἐκεῖνο φθάσαντας. τίνασι δὴ τούτους; τοὺς πρὸ παύλου λέγω. οἵτινες ἐν τῇ γῇ ὄντες, ἐν τῷ οὐρανῷ διέτριβον. καὶ τί λέγω ἐν τῷ οὐρανῷ; ὑψηλότεροι ἦσαν τοῦ οὐρανοῦ, καὶ τοῦ ἀλλου οὐρανοῦ, καὶ πρὸς αὐτὸν ἀνῆλθον τὸν θεόν. τίς γὰρ ἡμᾶς χωρίσει φησὶν ἀπὸ τῆς ἀγάπης τοῦ χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ λιμὸς, ἢ διωγμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καὶ πάλιν, μὴ σκοποῦντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. ὁρᾷς ὅτι οὐδὲ ἑώρα τὰ ἐνταῦθα; ἵνα δέσοι δείξω, ὅτι τῶν οὐρανῶν ἀνώτερος ἦν, ἄκουε αὐτοῦ λέγοντος. πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ χριστοῦ. ὁρᾷς πῶς πάντα παρεσβραμὼν ὁ λογισμὸς, ἀνώτερον αὐτὸν ἐποίησεν; οὐ ταύτης μόνον τῆς κτίσεως, οὐ τούτων τῶν οὐρανῶν, ἀλλὰ καὶ εἴ τινες ἕτεροι ἦσαν; εἶδες ὕψος διανοίας; εἶδες ὁ σκηνοποιὸς οἷος ἐγένετο ἐπειδὴ ἠθέλησεν; ὁ ἐπ' ἀμφοτέρα τὸν ἅπαντα βίον διαγαγών; οὐδέν γάρ ἐστι κώλυμα, οὐκ ὄντι πάντας ὑπερβαλέσθαι, εἴγε βουλοίμεθα. εἰ γὰρ τέχναις οὕτω κατορθοῦμεν ὑπερβαινούσας τοὺς πολλοὺς, πολλῷ μᾶλλον ὁ μὴ τοσούτου δεῖται πόνου. τί γὰρ εὐπετέστερον τοῦ διὰ χοίνου τεταμένης βαδίζειν καθάπερ ἐπὶ ἰσοπέδου, καὶ ἄνω περιπατοῦντα ὑποδύεσθαι, καὶ ἀποδύεσθαι, καθάπερ ἐπὶ κλίνης καθήμενον; οὐχ οὕτω φέλικὲν ἡμῖν εἶναι τὸ πρᾶγμα δοκεῖ, ὡς μὴ δὲ θέλειν θεάσασθαι, ἀλλὰ δεδοικέναι, καὶ τρέμειν, καὶ πρὸς τὴν ὄψιν αὐτήν; τί δὲ εὐπετέστερον τοῦ κονᾶν ἐπὶ τοῦ προσώπου λαβεῖν; εἶτα ἐπιθέντος ἄνω τοῦ δίου, μυρία ποιεῖν, καὶ τέρπειν τοὺς θεατάς. τί δὲ χαλεπώτερον τοῦ σφαιρίζειν ἐν ξίφεσι; τί δὲ βαρύτερον εὐπετέστερον τοῦ τὸ βάθος τοῦ πελάγους διερευνᾶσθαι; καὶ μυρίας ἑτέρας ἄν τις ἔχοι τέχνας εὐπετεῖς. ἀλλὰ πάντων τούτων δυσκολωτέρα ἡ ἀρετὴ ἐστὶν ἐὰν θέλωμεν, καὶ τὸ εἰς τὸν οὐρανὸν ἀναβλῦσαι. θελῆσαι γὰρ δεῖ μόνον ἐνταῦθα, καὶ πάντα ἕψεται. οὐκοῦν γὰρ εὐπετεῖν, οὐ δύναμαι, οὐδὲ κατηγορῆσαι τοῦ δημιουργοῦ. εἰ γὰρ ἀδυνάτους ἡμᾶς ἐποίησεν, εἶτα ἐπιτάττει, κατηγορία αὐτοῦ ἦν. πῶς οὖν φησι πολλοὶ οὐ δύνανται; πῶς οὖν πολλοὶ, οὐ θέλουσιν; εἰ γὰρ θέλουσι, πάντες δυνήσονται. διὰ τοῦτο καὶ παῦλος φησὶ, θέλω πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν. ἐπειδὴ ἤδει ὅτι πάντες ἠδύναντο εἶναι, ὡς καὶ αὐτός. οὐδὲ γὰρ αὖ εἴγε ἀδύνατον ἦν, ἔδει εἶπε. θέλεις γενέσθαι; τῆς ἀρχῆς ἐπιλαβοῦ μόνον. εἰ δὲ δύνῃ, ἐν ταῖς τέχναις ἁπάσαις, ὅταν θέλωμεν ἐν αὐταῖς γενέσθαι, ἀρκούμεθα τῷ θέλειν, ἢ καὶ ἀποτόμεθα τῶν πραγμάτων; οἷόν τι λέγω, βούλεταί τις γενέσθαι κυβερνήτης, οὐ λέγει θέλω, καὶ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. θέλει γενέσθαι ἔμπορος, οὐ λέγει θέλω μόνον, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. ἀποδημῆσαι πάλιν θέλει, καὶ οὐ λέγει θέλω, ἀλλὰ καὶ τῶν πραγμάτων ἅπτεται. εἶτα ἐν πᾶσιν οὐκ ἀρκεῖ τὸ θελῆσαι μόνον, ἀλλὰ καὶ τὸ ἔργον προσθεῖναι δεῖ. εἰς δὲ τὸν οὐρανὸν βουλόμενος ἀνελθεῖν, λέγεις θέλω μόνον; πῶς οὖν φησὶ ἔλεγες, ὅτι τὸ θέλειν ἀρκεῖ; τὸ θέλειν μὴ τῶν ἔργων, τὸ ἀντιλαμβανόμενον τοῦ πράγματος τῷ πονέσαντι. ἔχομεν γὰρ συνεργοῦντα καὶ συμπράττοντα τὸν θεὸν, μόνον ἐλώμεθα, μόνον ὡς ἔργῳ προσενεχθῶμεν τῷ πράγματι; μόνον μεμνήσωμεν,

μόνον μεμιμνήσωμεν, μόνον εἰς νοῦν βαλώμεθα, καὶ πάντα ἔσται. αὖ δὲ καθεύδωμεν, καὶ ῥέγχοντες προσδοκῶμεν εἰσιέναι εἰς τὸν οὐρανόν, πότε ἀπωσόμεθα τὴν κληρονομίαν τῶν οὐρανῶν καταχεῖν; βουληθῶμεν οὖν παρακαλῶ, βουληθῶμεν. τί πάντα πρὸς τὸν παρόντα βίον ἐμπορευόμεθα, ὃν αὖθις ἀπολείψομεν; ἐλώμεθα τοίνυν τὴν ἀρετὴν τὴν εἰς τὸν πάντα αἰῶνα ἡμῖν διαρκέσουσαν. ἐν ᾧ ἐσόμεθα ἀπωλεκῶς, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσομεν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, ιζ'.

» Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρα
» νὸν νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν, οὐδ' ἵνα πολλάκις προσφέρῃ
» ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια τῶν ἁγίων κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλ-
» λοτρίῳ. ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου. νυνὶ δὲ ἅπαξ ἐπὶ συν-
» τελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.

Μέγα ἐφρόνουν οἱ Ἰουδαῖοι ἐπὶ τῷ ναῷ, καὶ τῇ σκιᾷ. διὸ ἔλεγον, ναὸς κυρίου, ναὸς κυρίου. οὔτε γὰρ ἀλλαχοῦ γῆς κατεσκευάσθη τοιοῦτος ναὸς, οὐ πολυτελείας ἕνεκεν, οὐ κάλλους, οὐχ ἑτέρου τινός. ὁ γὰρ διαταξάμενος θεὸς ἐκέλευσεν αὐτὸν μετὰ φιλοτιμίας γενέσθαι πολλῆς. ἐπειδὴ καὶ κεῖνοι τοῖς σωματικοῖς ἐφείλκυντο, καὶ ἔπεισαν. πλίνθους γὰρ εἶχε χρυσᾶς ἐν τοῖς τοίχοις. καὶ ἕξεσι τῷ βουλομένῳ ἐν τῇ δευτέρᾳ τῶν βασιλειῶν, καὶ ἐν τῷ ἐξεκιήλ, ὅθεν καταμαθεῖν, καὶ ὅσα χρυσοῦ τάλαντα ἀνηλώθη τότε. ἡ δὲ δευτέρα, λαμπροτέρα γέγονεν οἰκοδομία, καὶ κάλλους ἕνεκεν, καὶ τῶν ἄλλων ἁπάντων. καὶ οὐ τούτῳ μόνον σεμνὸς ἦν, ἀλλὰ καὶ τῷ εἶναι ἴσος. ἀπὸ γὰρ τῶν περάτων τῆς γῆς ἐκεῖ ἤρχοντο, εἴτε ἀπὸ βαβυλῶνος, εἴτε ἀπὸ αἰθιοπίας. καὶ ἔθνη δηλῶν ὁ λουκᾶς ἐν ταῖς πράξεσιν ἔλεγεν. ἦσαν ἐκεῖ κατοικοῦντες πάρθοι, καὶ μῆδοι, καὶ ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν μεσοποταμίαν, ἰουδαίαν τε, καὶ καππαδοκίαν, πόντον, καὶ τὴν ἀσίαν, φρυγίαν τε, καὶ τὴν παμφυλίαν, αἰγυπτον, καὶ τὰ μέρη τῆς λιβύης τῆς κατὰ κυρήνην. οἱ οὖν πανταχοῦ τῆς οἰκουμένης ὄντες, ἐκεῖ συνῆσαν, καὶ πολὺ τὸ ὄνομα τοῦ ναοῦ ἦν. τί οὖν ὁ παῦλος ποιεῖ; ὥσπερ γὰρ ἐπὶ τῶν θυσιῶν, οὕτως καὶ ἐνταῦθα ποιεῖ, ὡς ἐκεῖ τὸν θάνατον ἀντέθηκε τοῦ χριστοῦ, οὕτω καὶ ἐνταῦθα τὸν οὐρανὸν ὅλον ἀνέθηκε τῷ ναῷ. καὶ οὐ τοῦτο μόνον τὸ διάφορον ἐδείξεν, ἀλλὰ καὶ τὸ προτεῖναι τὸν ἱερέα ἐγγύτερον γενόμενον τοῦ θεοῦ. ἐμφανισθῆναι γάρφησι τῷ προσώπῳ τοῦ θεοῦ, ὥστε οὐ τῷ οὐρανῷ μόνον, ἀλλὰ καὶ τῇ εἰσόδῳ, τὸ πρᾶγμα σεμνὸν ἐποίησεν. οὐ γὰρ ἁπλῶς ὥσπερ ἐν ζῴοις θυσία συμβόλων, ἀλλ' αὐτὸν ὁρᾷς τὸν θεὸν ἐκεῖ. ὁρᾷς ὅτι συγκαταβάσεως ἕνεκεν πανταχοῦ τὰ ταπεινὰ εἴρηται; τί δὴ θαυμάζεις λοιπὸν εἰ ἐν τοῖς χάνει, ὅπου γε αὐτὸν ἔφησιν, ὡς ἀρχιερέα; οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεύς. οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθε φησὶν ὁ Χς ἀντίτυπα τῶν ἀληθινῶν. ἆρα ἐκεῖνα ἐστὶν ἀληθινά, ζῶντα δὲ τί ποιεῖ; μὴ γὰρ ὁ ναὸς οὕτω κατεσκευάσθαι, ὡς περ ὁ οὐρανὸς τοῦ οὐρανοῦ. τί λέγεις; ἐὰν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανὸν οὐκ ἐμφανίζεται ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν; ὁρᾷς ὅτι τῆς σαρκὸς ὄντι ζῶντα πάντα; ἐμφανισθῆναι φησὶ τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν. τί ὄντι ὑπὲρ ἡμῶν, μὴ θυσίας ἀνῃλθε φησί;

θυσαμένης

λωαμένης ἐξιλεώσασθαι τὸν πατέρα. τί γὰρ εἰ τέμοι, οὐχὶ ἰῶ ἐχθρός; οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, οὐχὶ νῦν ἐχθρός. ὅτι γὰρ οἱ ἄγγελοι ἐχθροὶ ἦσαν ἄκουσον τί φησίν. εἰρίωσοπίησε τὰ ὄρη τῆς γῆς, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. ὥστε καὶ οὗτος εἰσῆλθεν εἰς τὸν οὐρανὸν νῦν, ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θυ ὑπὲρ ἡμῶν. νῦν ἐμφανίζεται, ἀλλ' ὑπὲρ ἡμῶν. οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια τ ἁγίων κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. ὁρᾷς πόσαι αἱ διαφοραί; τὸ πολλάκις, τὸ ἅπαξ. τὸ ἐν αἵματι ἀλλοτρίῳ τὸ ἐν ἰδίῳ, πολὺ τὸ μέσον. οὐχὶ οὕτω, μὴ ἱερεῖον, μὴ ἱερεύς, μὴ θυσία. εἰ γὰρ μὴ τοῦτο ἰῶ, μὴ πολλαχοῦ ἔδει θυσίας προσενεγκεῖν, πολλάκις ἔδει σταυρωθῆναι. ἐπεὶ ἔδει οὖν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου. ἐνταῦθα, μὴ παρεκάλυψε, νῦν δὲ ἅπαξ τῇ συντελείᾳ τ αἰώνων. διατὶ τῇ συντελείᾳ τ αἰώνων. μὴ τὰ πολλὰ ἁμαρτήματα. εἰ μὲ οὖν παρὰ τ ἀρχὴν ἐγένοντο, εἶτα οὐ δεῖς ἐπίσθυσεν οὐκέδει δὲ δεύτερος ἀποθανεῖν, ἀνόνητα ἰῶ ἅπαντα. ἐπεὶ δὲ ὕστερον πολλὰ ἦν τὰ ἁμαρτήματα, εἰκότως τότε ἐφάνη, ὁ μὴ ἀλλαχοῦ λέγει, ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσθυσεν ἡ χάρις. νῦν δὲ ἅπαξ τῇ συντελείᾳ τ αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τ θυσίας αὐτ τοῦ πεφανέρωται. Καὶ καθόσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις. Εἶτα λέγει, μὴ διατὶ ἅπαξ ἀπέθανεν, ὅτι ἑνὸς θανάτου ἀντίλυτρον ἐγένετο, ἀπέκειτο φησὶ τοῖς ἀνοῖς ἀποθανεῖν. ἐκεῖνος οὖν τὸ ἅπαξ, ἀπέθανεν ὑπὲρ ἁμῶν παντ. τί οὖν οὐκέτι ἀποθνήσκομεν τὸν θάνατον ἐκεῖνον; ἀποθνήσκομεν μὲν, ἀλλ' οὐ μένομεν ἐν αὐτῷ, ὅπερ οὐδὲ ἀποθανεῖν ἔδει. θανάτου γὰρ τυραννὶς, καὶ θάνατος ὄντως ἐκεῖνος ἐστὶν, ὅταν μηκέτι συγχωρηθῇ ὁ ἀποθανὼν εἰς ζωὴν ἐπανελθεῖν. ὅταν δὲ μετὰ τὸ ἀποθανεῖν ζήσῃ, καὶ ζωὴ βελτίονα, οὐ θανάτου τοῦτο ἐστὶν, ἀλλὰ κοίμησις. ἐπεὶ οὖν ἔμελλε πάντας κατέχειν ὁ θάνατος, διατοῦτο ἀπέθανεν, ἵνα ἡμᾶς ἀπαλλάξῃ. Οὕτω καὶ ὁ χς ἅπαξ προσενεχθείς. Ὑπὸ τίνος προσενεχθείς; ὑφ' ἑαυτοῦ δηλονότι. ἐν τούτῳ θα οὐδὲ ἱερέα αὐτὸν φησι μόνον, ἀλλὰ καὶ θύμα, καὶ ἱερεῖον διὰ τοῦτο προσενεχθείς. Εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας. Διατὶ πολλῶν, καὶ μὴ πάντων; ἐπεὶ δὴ μὴ πάντες ἐπίστευσαν, ὑπὲρ ἁπάντων μὲν ἀπέθανε. τοῦτέστι τὸ αὐτοῦ μέρος. ἀντίτυπος ἰῶ ὁ θάνατος ἐκεῖνος τῆς πάντων ἀπωλείας, οὐ πάντων δὲ τὰς ἁμαρτίας ἀνῄρεγκε, διὰ τὸ μὴ θελῆσαι αὐτοὺς. τί δέ ὅτιν ἀνενεγκεῖν ἁμαρτίας; ὥσπερ τῇ τῆς προσφορᾶς ἀναφέρομεν τὰ ἁμαρτήματα, καὶ λέγομεν. εἴτε ἑκόντες, εἴτε ἄκοντες ἡμάρτομεν συγχώρησον, τοῦτέστιν μεμνήμεθα αὐτῶν πρῶτον, καὶ τότε τιὺ συγχώρησιν αὐτοῦμεν, αὐτὸ δὴ καὶ ἐνταῦθα γέγονε. πού τοῦτο ποιήκενο χς; ἀκουσον αὐτοῦ λέγοντος, καὶ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτὸν, ἰδοὺ ἀνῄρεγκε τὰ ἁμαρτήματα. ἦρεν αὐτὰ ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀνῄρεγκε τῷ πατρί. οὐχ ἵνα τι θείσῃ κατ' αὐτῶν, ἀλλ' ἵνα αὐτὰ ἀφῇ. Ἐκδυτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται φησὶ τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν. Τί ὅτι χωρὶς ἁμαρτίας; οἷον οὐχ ἁμαρτάνει. οὐδὲ γὰρ ὀφειλῶν ἀποθανεῖν ἀπέθανεν, οὐδὲ δι' ἁμαρτίας, ἀλλὰ πῶς ὀφθήσεται; κολάζων φησίν. ἀλλ' οὐκεῖπε τοῦτο, ἀλλὰ τὸ φοβερὸν, χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν, ὡς μηκέτι λοιπὸν δεηθῆναι θυσίας, ὥστε σῶσαι αὐτούς. ἀλλ' ἀπὸ ἔργων τοῦτο ποιεῖν. Σκιὰν γὰρ ἔχων φησὶν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκαὐτὴν τιὺ εἰκόνα τῶν πραγμάτων. Τοῦτέστιν οὐκαὐτιὺ τὴν ἀλήθειαν. ἕως μὲν γὰρ αὐ ὡς ἂν

μαφῇ

γραφῇ περιάγηται τὰ χρώματα, σκιά τίς ἐστιν. ὅταν δὲ τὸ αὐθος ἐπαλείψηται, καὶ ἐπιχρίσῃ τὰ χρώματα, τότε εἰκὼν γίνεται. τοιοῦτόν τι καὶ ὁ νόμος ἦν. σκιαὶ γάρ φησιν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων. τουτέστι τῆς θυσίας, τῆς
» ἀφέσεως. Ταῖς αὐταῖς θυσίαις προσφέρουσιν, εἰς τὸ διηνεκές, οὐδέποτε δύνανται
» τοὺς προσερχομένους τελειῶσαι, ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μὴ δὲ μίαν
» συνείδησιν ἔχειν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους, ἀλλ' ἐν αὐταῖς ἀνά
» μνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν. ἀδύνατον γὰρ αἷμα ταύρων, καὶ τράγων ἀφαιρεῖν ἁμαρ
» τίας. διὸ εἰσερχόμενος, εἰς τὸν κόσμον λέγει. θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. σῶμα
» δὲ κατηρτίσω μοι, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας, οὐκ εὐδόκησας. τότε εἶπον ἰδοὺ ἥκω.
» ἐν κεφαλίδι βιβλίου γέγραπταί περὶ ἐμοῦ, τοῦ ποιῆσαι ὁ θεός τὸ θέλημά σου. Ἀνωτέρω λέ
γων ὅτι θυσίαν, καὶ προσφορὰν, καὶ ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας, οὐκ ἠθέλησας, οὐ
δὲ εὐδόκησας αἵτινες κατὰ νόμον προσφέρονται, τότε εἴρηκεν ἰδοὺ ἥκω. τοῦ ποιῆσαι ὁ θεός τὸ
» θέλημά σου. Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ. Ὁρᾷς πάλιν τὴν περιου-
σίαν; μία μὲν αὕτη ἡ θυσία, ἐκεῖναι δὲ πολλαί. διὰ γὰρ τοῦτο οὐκ ἠχθραίνοντο, ὅτι δὴ πολλαί. τί
γὰρ ἔδει πολλῶν εἰπεῖν, τῆς μιᾶς ἀρκούσης; ὥστε αἱ πολλαὶ, καὶ τὸ ἀεὶ προσφέρεσθαι, τὸ
μηδέποτε αὐτὰς καθαίρεσθαι δεικνύουσιν. ὥσπερ γὰρ φάρμακον, ὅταν ᾖ ἰσχυρὸν, καὶ ὑγείασε
ποιητικὸν, καὶ δυνατὸν πᾶσαν ἀπαλλάξαι τὴν νόσον, ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ποιεῖ. ὥσπερ
οὖν ἐὰν ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ἐργάσηται, δείκνυσιν αὐτὸ τοῦτο τὸ ἰσχυρὸν τὸ μηκέτι ἐπιτίθεσθαι, μὴ
ὅτι αὐτὸ ἔστιν ἔργον τὸ μηκέτι ἐπιτίθεσθαι. ἐὰν δὲ ἀεὶ ἐπιτίθηται δῆλον ὅτι τὸ μηδὲν ἰσ-
χυκέναι ὅτι σημεῖον. φαρμάκου γὰρ ἀρετὴ τὸ ἅπαξ ἐπιτεθέναι, καὶ μὴ πολλάκις, οὕτω δὴ
καὶ ἐνταῦθα. τί δήποτε ταῖς αὐταῖς θυσίαις ἀεὶ ἐδοξατενόντο; εἰ γὰρ πάντων ἦσαν ἀ-
παλλαγμένοι τῶν ἁμαρτημάτων, οὐκ ἂν καθ' ἑκάστην ἡμέραν προσεφέροντο αἱ θυσίαι. καὶ
γὰρ ἦσαν ὡρισμέναι, ὥστε ἀεὶ προσφέρεσθαι ὑπὲρ τοῦ λαοῦ πάντες, καὶ ἐν ἑωθινῇ, καὶ ἐν ἡ-
μέρᾳ, ὥστε κατηγορία ἁμαρτημάτων οὐ λύσις ἁμαρτημάτων ἦν τὸ γινόμενον, κατηγορίαι
ἀδυνείαι, οὐκ ἰχνος ἐπίδειξις. ἐπειδὴ γὰρ ἡ πρώτη οὐδὲν ἴσχυσε, καὶ ἑτέρα προσεφέρετο.
καὶ ἐπειδὴ οὐδὲν αὕτη ἤνυεν, ἑτέρα πάλιν, ὥστε ἔλεγχος ἁμαρτημάτων ἐστί. τὸ μὲν οὖν
προσφέρεσθαι, ἔλεγχος ἁμαρτημάτων. τὸ δὲ ἀεὶ, ἔλεγχος ἀδυνείας. ὧδε δὲ χῶ, τοὐναντίον.
ἅπαξ προσηνέχθη, τὰ ἀντίτυπα ἄρα τύπον ἔχει μόνον οὐχὶ τὴν ἰσχύν. ὥσπερ ὧδε τῶν εἰ-
κόνων τύπον ἔχει τὸ ἀνθρώπου ἡ εἰκών, οὐχὶ τὴν ἰσχύν. ὥστε τὸ ἀληθὲς, καὶ ὁ τύπος κοινω
νοῦσιν ἀλλήλοις. ὁ μὲν τύπος, ἴσος. ἡ δὲ ἰσχὺς οὐκέτι. οὕτω δὴ καὶ ὧδε τὸ οὐρανοῦ, μὴ ὧδε
τῆς σκιᾶς. ὁ μὲν γὰρ τύπος ἴσος ἦν. ἅγια γὰρ ἦν, ἡ δὲ δύναμις, καὶ τὰ ἅγια, οὐ τὰ αὐτά.
τί ἐστιν εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται; τί ἐστιν ἀθέτησις; συν-
τέτμηται καταφρόνησις, οὐκέτι παρρησίαν ἔχει. ἠθετήθη γὰρ ἡ ἁμαρτία, ὀφείλουσα μὲν ἀπο-
λαβεῖν κόλασιν, οὐκ ἀπολαβοῦσα δέ. τουτέστι βίαν ἔπαθεν, ὅτε προσεδύκησε πάντας ἀνε
λεῖν, τότε ἀνῃρέθη. διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. τουτέστιν ἐφανερώθη τῷ θεῷ
καὶ προσῆλθε. μὴ γὰρ ἐπειδὴ ὁ ἱερεὺς πολλάκις ἔθυε ποιεῖ τοῦτο τὸ ἐνιαυτὸν, ὥστε εἰκὴ λοιπὸν
γίνεται ἔθυε εἰ καὶ γίνεται. τί γὰρ ἔδει φαρμάκων οὐκόντων πραγμάτων; διὰ ταῦτα προσέ-
ταξε φησὶ ἀεὶ προσφέρεσθαι, διὰ τὸ ἀσθενές, καὶ ὥστε ἀνάμνησιν ἁμαρτιῶν γίνεσθαι. τί οὖν

ἡμεῖς καθιεράσθην, οὐ προσφέρομεν, προσφέρομεν μὲν, ἀλλὰ ἀνάμνησιν ποιούμεθα τοῦ θανάτου αὐτοῦ. καὶ μία ὅτι ἐστὶν αὕτη, οὐ πολλαί. πῶς μία ἐστὶν οὐ πολλαί; ὅτι ἅπαξ προσηνέχθη, ἐκείνη εἰσηνέχθη, εἰς τὰ ἅγια τῶν ἁγίων. ὅθεν ἐκείνης τύπος ἐστὶ, καὶ αὕτη ἐκείνης. τὴν γὰρ αὐτὴν ἀεὶ προσφέρομεν. οὐ νῦν μὲν ἕτερον, ἄλλοτε δὲ ἕτερον, ἀλλ' ἀεὶ τὸν αὐτόν. ὥστε μία ἐστὶν, ἡ θυσία διὰ τοῦτο λόγῳ τοῦτο. ὅτι καὶ πολλαχοῦ προσφέρεται. πολλοὶ χριστοί; μὴ δαμῶς. ἀλλ' εἷς παντα χοῦ ὁ Χς. καὶ ἐνταῦθα πλήρης ὢν, καὶ ἐκεῖ πλήρης. ἐν σῶμα. ὥσπερ οὖν πολλαχοῦ προσφερόμενος ἓν σῶμά ἐστι, καὶ οὐ πολλὰ σώματα, οὕτω καὶ μία θυσία. ὁ ἀρχιερεὺς ἡμῶν ἐκεῖνός ἐστιν, ὁ τὴν θυσίαν τὴν καθαίρουσαν ἡμᾶς προσενεγκών. ἐκείνην προσφέρομεν καὶ νῦν, τὴν τότε προσενεχθεῖσαν, τὴν ἀνάλωτον. ὅθεν εἰς ἀνάμνησιν γίνεται τοῦ τότε γενομένου. ὅθεν γὰρ ποιεῖτε φησὶ, εἰς ἐμὴν ἀνάμνησιν. οὐκ ἄλλην θυσίαν καθάπερ ὁ ἀρχιερεὺς, ἀλλὰ τὴν αὐτὴν ἀεὶ ποιοῦμεν. μᾶλλον δὲ ἀνάμνησιν ἐργαζόμεθα θυσίας.

Η' Δηόν.

Ἀλλ' ὅταν ἡ θυσία ταύτης ἐμνήσθην, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν τοὺς μεμνημένους, μικρὰ μὲν τῷ μέτρῳ, μεγάλην δὲ ἔχοντα τὴν ἰσχὺν, καὶ τὴν ὠφέλειαν. οὐ γὰρ ἡμέτερα ἐστὶν, ἀλλὰ τοῦ θείου πνεύματος τὰ λεγόμενα. τί οὖν ἐστι, πολλοὶ τῆς θυσίας ταύτης ἅπαξ μεταλαμβάνουσι τοῦ παντὸς σώματος, ἕτεροι δὲ εἷς, ἄλλοι πολλάκις. πρὸς οὖν ἅπαντας ἡμῖν ὁ λόγος ἐστὶν, οὐ πρὸς τοὺς ἐνταῦθα μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῇ ἐρήμῳ καθεζομένους. ἐκεῖνοι γὰρ ἅπαξ τοῦ σώματος μετέχουσι, πολλάκις δὲ καὶ δύο ἐτῶν. τί οὖν, τίνας ἀποδεξόμεθα; τοὺς ἅπαξ; τοὺς πολλάκις; τοὺς ὀλιγάκις; ἀλλὰ τοὺς μὴ καθαροῦ σώματος, τοὺς μὴ καθαρᾶς καρδίας, τοὺς μὴ βίου ἀλύπου. οἱ τοιοῦτοι ἀεὶ προσίτωσαν. οἱ δὲ μὴ τοιοῦτοι, μὴ δὲ ἅπαξ. τί δήποτε; ὅτι κρίμα ἑαυτοῖς λαμβάνουσι, καὶ κατάκριμα, καὶ κόλασιν, καὶ ζημίαν. καὶ μὴ θαυμάσῃς. ὥσπερ γὰρ ἡ τροφὴ φύσει οὖσα θρεπτικὴ, ἐὰν εἰς κακόστομον ἐμπέσῃ, πάντα ἀπόλλυσι, καὶ διαφθείρει, καὶ γίνεται νόσου ἀφορμὴ, οὕτω δὴ καὶ ταῦτα τὰ τῶν φρικτῶν μυστηρίων. πραπέζης ἀπολαύεις πνευματικῆς, πραπέζης βασιλικῆς, καὶ πάλιν φύρεις βορβόρῳ τὸ σῶμα; μύρῳ χρίεις, καὶ πάλιν λυσωδίας πληροῖς; εἰπέ μοι παρακαλῶ, μετ' ἐνιαυτὸν τῆς μεταλήψεως μετέχων τὰς τεσσαράκοντα ἡμέρας οἵαι ἀρκεῖνσι πρὸς καθαρμὸν τῶν ἁμαρτημάτων παντὸς τοῦ χρόνου; καὶ πάλιν ἑβδομάδος παρελθούσης ἐκλίδως σαυτὸν ἐν τοῖς προτέροις; εἰπέ μοι, ἐὰν ὑγιάνας τεσσαράκοντας ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν ἑαυτὸν τοῖς σιτίοις ἐκλῶς ἐκείνοις τοῖς νοσοποιοῖς, οὐχὶ καὶ τὸν πρότερον κόπον ἀπώλεσας; εἰ γὰρ τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως, οἷόν τι λέγω. φύσει βλέπομεν, καὶ ὑγιεῖς ἔχομεν ὀφθαλμούς, ἀλλὰ πολλάκις ἀπὸ καχεξίας βλάπτεται ἡμῶν τὸ ὄψιμον. εἰ τὰ φυσικὰ τοίνυν μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. τεσσαράκοντας ἡμέρας ἀπονέμεις τῇ ὑγείᾳ τῆς ψυχῆς, τάχα δὲ οὐδὲ τεσσαράκοντα, καὶ προσδοκᾷς ἐξιλεώσασθαι τὸν θεόν. καίτοι εἰπέ μοι, ταῦτα λέγων; οὐχὶ τῆς μιᾶς, καὶ ἐνιαυσιαίου προσόδου κωλύων ὑμᾶς, ἀλλὰ βουλόμενος διαπαντὸς ὑμᾶς προσέχειν τοῖς ἁγίοις. διὰ τοῦτο καὶ ὁ διάκονος ἐπιφωνεῖ τότε τοῖς ἁγίους καλῶν, καὶ λέγει τῆς φωνῆς ταύτης πάντας μυσταγωγῶν. καθάπερ γὰρ ποίμνης ἔνδον πολλὰ μὲν ὑγιαίνει πρόβατα, ἄλλα δὲ χωλὰ σαπρὰ, ἀναγκαῖον δὲ καὶ ταῦτα

δὲ μὴ ταῦτα διείργεσθαι ἀπὸ τῶν ὑγιαινόντων, οὕτως, καὶ ἐν τῇ ἐκκλησίᾳ. ἐπειδὴ τὰ μὲν ἐστὶν ὑγιεινὰ πρόβατα, τὰ δὲ πεπληγωμένα, ἀλλὰ τῆς φωνῆς ταύτης διείργει ταῦτα ἐκείνων, ὡς εἰ ὧν παντα χοῦ ἀλλὰ τῆς πραωτῆς ταύτης τῆς φειδωλεστάτης ὁ ἱερεὺς τοὺς ἀγίους κλῶν καὶ ἕλκων. ἐπειδὴ γὰρ οὐκέτι ἀνόητα ὄντα εἰδέναι τὰ τοῦ πλησίον. τίς γὰρ οἶδεν ἀνῶν φησι τὰ τοῦ ἀνου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνου τὸ ἐν αὐτῷ; ταύτην ἀφίησι τῷ φωνῷ μὴ τὸ τῷ θυσίαν ἀπαρτιθῶσι πᾶσαν, ὥστε μηδένα ἁπλῶς, καὶ ὡς ἔτυχεν τῷ πηγὴν ἐλθεῖν τῷ πνεύματι. καὶ γὰρ τῆς ποίμνης, οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ ὑποδείγματι πάλιν χρήσασθαι, τὰ μὲν νοσερὰ ἔνδον ἀποκλείομεν, καὶ ἐν σκότῳ κατέχομεν, καὶ ἑτέρας μεταδίδομεν τροφῆς, οὔτε ἀέρος καθαροῦ, οὔτε πόας εἰλικρινοῦς, οὔτε πηγῆς τῆς ἔξω συγχωροῦντες μεταλαβεῖν. καὶ ἐν ταῦθα τοίνυν αὐτὴ ἡ φωνή, ἀντὶ δεσμοῦ τινός ἐστιν. οὐκ ἔχεις εἰπεῖν, οὐκ ἤδειν, ἠγνόουν ὅτι κἀνθλωπος ἔφετται τῷ πράγματι, μάλιστα μὲν οὖν καὶ ὁ παῦλος τοῦτο διεμαρτύρατο. ἀλλ' ἐρεῖς ὅτι οὐκ ἐνέγνων; οὐκοῦν ἔχεις ἀπολογίαν, ἀλλὰ καὶ ἔγκλημα. καθ' ἑκάστην ἡμέραν εἰσέρχῃ εἰς ἐκκλησίαν, καὶ ἔπειτα ἀγνοεῖς; πλὴν ἀλλ' ἵνα μὴ δέοι ἔχῃς προφασίζεσθαι. τούτου χάριν ὑψηλὸς ἑστὼς μεγάλῃ τῇ φωνῇ, φειδωλῇ τῇ βοῇ καθάπερ τις κῆρυξ τῷ χεῖρα αἴρων εἰς τὸ ὕψος, ὑψηλὸς ἑστὼς, πᾶσι κατάδηλος γεγονὼς, καὶ μεγα ἐπ' ἐκείνῃ τῇ φιλῇ ἡσυχίᾳ ἀναπραωγάζων, τοὺς μὲν καλεῖ, τοὺς δὲ, ἀπειργει ὁ ἱερεύς. οὐ τῇ χειρὶ δέον ποιῶν, ἀλλὰ τῇ γλωττῃ τῆς χειρὸς πρανότερον. ἡ γὰρ φωνὴ ἐκείνη εἰς τῷ ἀκοῷ ἐμπίπτουσα τῷ ἡμετέραν, καθάπερ χεὶρ τοὺς μὲν ὠθεῖ, καὶ ἐκβάλλει, τοὺς δὲ, εἰσάγει καὶ παρίστησιν. εἰ δὲ δήμοι παρακαλῶ. ἐν τοῖς ὀλυμπικοῖς ἀγῶσιν οὐχὶ ἔφηκεν ὁ κήρυξ βοῶν μεγα καὶ ὑψηλόν; εἶτις τοίνυν κατηγορεῖ; λέγων, μὴ δοῦλος ἐστὶ, μὴ κλέπτης, μὴ πόρνων πονηρῶν. καίτοι τὰ ἀγωνίσματα ἐκεῖνα, οὐ ψυχῆς ἐστιν, οὐδὲ τρόπου, ἀλλὰ γνώμης, καὶ σώματος. εἰ τοίνυν ἐν θα σωμάτων ἐστὶν ἄσκησις, πολλὴ προαιρέσεως ἐξέτασις γίνεται, πολλῷ μᾶλλον ἐν ταῦθα ἐν θα τὸ πᾶν ψυχὴ ἀθλεῖ. ἔφηκε τοίνυν, καὶ νῦν ὁ παρ' ἡμῶν κήρυξ, οὐ τῆς κεφαλῆς ἑκατον κατέχων, καὶ παράγων, ἀλλὰ πάντας ὁμοῦ τῆς κεφαλῆς τῆς ἔνδον κατέχων, οὐκ ἐφίησιν ἄλλους αὐτοῖς κατηγόρους, ἀλλ' αὐτοὺς ἑαυτοῖς. οὐ γὰρ λέγει, μήτις τούτου κατηγορεῖ, ἀλλὰ τίς; εἴτις ἑαυτῷ κατηγορεῖ. ὅταν γὰρ εἴπωμι τὰ ἅγια τοῖς ἁγίοις, οὐδὲν λέγει, εἴτις οὐκ ἔστιν ἅγιος, μὴ προσίτω, οὐχ ἁπλῶς φησιν ἁμαρτημάτων καθαρὸς, ἀλλ' ἅγιος. τὸν γὰρ ἅγιον, οὐχ ἡ τῶν ἁμαρτημάτων ἀπαλλαγὴ ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ τοῦ πνεύματος παρουσία, καὶ ὁ τῶν ἀγαθῶν ἔργων πλοῦτος. οὐ βούλομαι μόνον φθὴ βορβόρου ἀπηλλάχθαι ὑμᾶς, ἀλλὰ καὶ λευκοὺς εἶναι, καὶ ὡραίους. εἰ γὰρ ὁ βαβυλώνιος βασιλεὺς ἀπὸ τῆς αἰχμαλωσίας ἐκλεγόμενος τοὺς νεανίσκους καλοὺς τῷ εἴδει, καὶ ὡραίους τῇ ὄψει ἐξελέξατο, πολλῷ μᾶλλον παιδευομένους τὴν τραπέζης τὴν βασιλικὴν, καλοὺς τῷ εἴδει εἶναι δεῖ τῷ τῆς ψυχῆς, τὸν κόσμον ἔχοντας χρυσοῦν, τὴν στολὴν καθαράν, τὰ ὑποδήματα βασιλικά, τὸ πρόσωπον τῆς ψυχῆς διάφορον, τὸν κόσμον αὐτῇ περικεῖσθαι τὸν χρυσοῦν, τὴν ζώνην τῆς ἀληθείας. οἱ τοιοῦτοι προσίτω, καὶ ποτηρίων ἀπέστω βασιλικῶν. εἰ δέ τις ῥάκια ἠμφιεσμένος, ῥυπῶν αὐχμῶν ἐπεισιέναι τὴν βασιλικὴν βούλοιτο τραπέζην, ὅρα ὅσα πείσεται, οὐκ ἀρκούσων τῶν πεντεκαίδεκα ἡμερῶν τὰ ἐν παντὶ τῷ χρόνῳ πεπλημμελημένα ἀπολούσασθαι. εἰ γὰρ ἡγέννα οὐκ ἀρκεῖ, καίτοιγε αἰώνιος οὖσα, διαπέφευγε γὰρ μὴ αἰώνιος ἐστὶ, πολλῷ μᾶλλον ὁ βραχὺς οὗτος χρόνος. οὐ

γὰρ μετάνοιαν ἰσχυρὰν ἐπιδείξασθαι, ἀλλ' ἀσθενῆ. τοὺς δυνούχους μάλιστα δεῖ παρεσκευάσθαι τῷ βασιλεῖ, δυνούχους λέγω, τοὺς τὴν διανοίαν λευκούς, μὴ δένα ἔχοντας ῥύπον, μὴ δὲ ὠμὸν, ὑψηλοὺς τῇ διανοίᾳ, τὸ ὄμμα ἥμερον τῆς ψυχῆς ἔχοντας, καὶ ὀξυδερκεῖς, δυσερίφεσφορον, καὶ γοργὸν, ἀλλὰ μὴ ὑπνηλὸν μὴ δὲ ὕπτιον, ἐλευθερίᾳ σεμνὸν πολλῆς, πύρρῳ ἀναμαχωπάσγε μιῷ, μὴ ἰταμόπιζος, ἐρημορὸς, ὑγιὲς, μήτε συγκὸν σφόδρα, καὶ κατηφὲς, μήτε διακεχυμένον, καὶ ὑγρόν. δεῖν ἡμεῖς κύριοι δημιουργῆσαι τὸν ὀφθαλμὸν, μὴ ὀξυδερκῆ ποιῆσαι καὶ καλὸν. ὅταν γὰρ αὐτὸν μὴ πρὸς τὸν καπνὸν ἄγωμεν, μὴ δὲ πρὸς τ κόνιν, τοιαῦτα γὰρ πάντα τὰ αἰνίγματα, ἀλλὰ πρὸς τὴν αὔραν τὴν λεπτὴν, πρὸς τὸν κοῦφον ἀέρα, πρὸς τὰ μετέωρα, καὶ ὑψηλὰ, καὶ ἡσυχάσαι γέμοντα πολλῆς, καὶ καθαρότητος, καὶ πολλῆς τῆς τέρψεως. ἀνακτησόμεθα ταχέως αὐτὸν, καὶ ῥώσομεν ἐντρυφῶντα τῇ τοσαύτῃ θέᾳ. εἶδες πλεονεξίαν, καὶ πλοῦτον πολλῶ; μὴ ἀναγάγῃς ἐκεῖ τὸν ὀφθαλμόν σου, βόρβορός ἐστι τὸ πρᾶγμα, καπνός ἐστιν, ἀτιμὸς πονηρὸς, σκότος καὶ καὶ γενοχωρία πολλὴ, καὶ φρονπίδων πνίγος. εἶδες δικαιοσυνῶν ἀσκιωτὰ αὐτὸν; ἀρκούμενον τοῖς αὐτοῦ, καὶ πολλῶν ἔχοντα τὴν δυσχωρίαν τῆς ἀνέσεως; οὐδὲν μεμιμνῶντα οὐδὲ φροντίζοντα τῶν ἐντεῦθεν; θῆσον αὐτὸν ἐκεῖ, καὶ μετεώρισον, καὶ πολλῷ καλλίονα αὐτὸν ἐργάσῃ, μὴ λαπρότερον, οὐ τοῖς τῆς γῆς αὐθέσιν δυσχῶν, ἀλλὰ τῇ τῆς ἀρετῆς σωφροσυνῇ, τῇ ἐπιεικείᾳ, καὶ τοῖς ἄνωθεν ἅπασιν. οὐδὲν γὰρ οὕτως ταράττει ὀφθαλμὸν ὡς σωματοειδὲς πονηρὸν, ἐταράχθη φῇς, ἀπὸ δυμοῦ ὁ ὀφθαλμός μου, οὐδὲν οὕτως σκοτοῖ. τοιούτης αὐτὸν ἀπάλλαξον τῆς ἐπηρείας, καὶ ποιήσεις σφοδρὸν, μὴ ἰσχυρὸν, ἀεὶ τρεφόμενον ἐλπίσιν ἀγαθαῖς. γένοιτο δὲ πάντας ἡμᾶς, καὶ ἔχειν, καὶ τὰς ἄνωθεν τῆς ψυχῆς ἐνεργείας κατασκευάσαι τοιαύτας. οἵας ὁ χς βούλεται, ἵνα τῆς ἐπικειμένης ἡμῖν κεφαλῆς ἄξιοι γενόμενοι, ἀπέλθωμεν ἐνθα θέλει. φῇ γὰρ θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα τὴν δόξαν τὴν ἐμὴν ὁρῶσιν, ἣν γένοιτο ἀπολαῦσαι πάντας ἡμᾶς

Λόγος, ιη'.

» Ἀνωτέρω λέγων ὅτι θυσίαν, καὶ προσφορὰν, καὶ ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας οὐκ
» ἠθέλησας οὐδὲ ηὐδόκησας αἵτινες κατὰ νόμον προσφέρονται, τότε εἰρηκεν ἰδοὺ ἥκω τοῦ
» ποιῆσαι ὁ θς τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον ἵνα τὸ δεύτερον στήσῃ. ἐν ᾧ θελήματι ἡγασμένοι ἐσμέν. διὰ τῆς προσφορᾶς τοῦ σώματος ἰησῦ χῦ ἐφάπαξ. καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε
» καθημέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε
» δύνανται περιελεῖν ἁμαρτίας, οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς
» τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θυ, τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ
» ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Ἐνμὲν τοῖς ἔμπροσθεν ἔδειξεν ἀνωφελεῖς τὰς θυσίας οὔσας πρὸς τὴν τελείαν καθαρότητα, καὶ τύπον οὔσας, καὶ πολὺ λειπομένας. ἐπεὶ οὖν ἀνάπαλιν αὐτῷ δόξῃ, εἰ τύποι εἰσὶ πῶς τῆς ἀληθείας ἐλθούσης οὐκέπαύσαντο, οὔτε ἀνεχώρησαν; ἀλλ' ἐπιτελοῦνται; δόξῃ δὴ δόξῃ ἐν ταῖς ἐργάζεται, δεικνὺς ὅτι οὐκέτι τελοῦνται, οὐδὲ ὡς τύπος. οὐ γὰρ αὐτὰς προσίεται ὁ θς. καὶ δόξῃ οὐκ ἀπὸ τῆς καινῆς πάλιν ἀλλ' ἀπὸ προφητῶν δείκνυσιν, οὕτω δὲν τ ἰσχυροτάτην παράγων μαρτυρίαν, ὅτι λήγει, καὶ παύεται. καὶ εἰκῇ πάντα πράττοντες, ἀεὶ τῷ πνεῖ τῷ ἀγίῳ ἀντιπίπτοντες, καὶ δείκνυσιν ἐκπεριουσίασον οὐ νῦν

σίας οὐ νῦν αὐτὰς πεπαυμένας, ἀλλὰ καὶ παρ' αὐτὴν τὴν χῦ τὴν παρουσίαν. καὶ πῶς οὐ τελευταῖον ἔλυσεν αὐτὰς ὁ χς, ἀλλὰ πρότερον ἐλύθησαν, καὶ τότε αὐτὸς παρεγένετο. ἵνα γὰρ μὴ λέγωσι, καὶ χωρὶς ταύτης τῆς θυσίας ἠδυνάμεθα διαρεθῆσαι θῷ, καὶ δι' ἐκείνων ἀνέμεινεν αὐτὰς ἐλεγχθῆναι, καὶ τότε αὐτὸς παρεγένετο. θυσίαν γάρ φησι, καὶ προσφορὰν οὐκ ἠθέλησας, πάντα ἀνεῖλε διαβόλου. καὶ γενικῶς εἰπὼν λέγει, καὶ ἰδικῶς, ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. προσφορὰ δὲ πᾶν τὸ ἐκ τῆς οὐσίας ἁπλῶς. τότε εἶπον ἰδοὺ ἥκω, περὶ τίνος βιβλίον εἴρηται; περὶ οὐδενὸς ἑτέρου ἀλλ' ἢ περὶ τοῦ χῦ. ἐν τούτῳ δὲ οὐδὲν αὐτοῖς τοὺς προσφέροντας, δείκνυς ὅτι οὐ διὰ τὰς πονηρίας αὐτῶν οὐδέχεται, καθάπερ ἑτέρωθι φησί, διὰ δὲ τὸ λοιπὸν ἐλεγχθῆναι τὸ πρᾶγμα, καὶ μεφωράθη οὐδὲ μίαν ἔχον ἰσχύν, οὐδὲ καιρὸν ἴνα προσήκοντα. τί οὖν βιβλίον πρὸς τὸ πολλάκις προσφέρεσθαι τὰς θυσίας; οὐκ ἀπὸ τοῦ πολλάκις μόνον δῆλον φησί, ὅτι ἀδυνατεῖς εἰσι, καὶ ὅτι οὐδὲν ἤνυσαν, ἀλλὰ καὶ ἀπὸ τοῦ μὴ προσίεσθαι αὐτὰς ἐν θεῷ ὡς ἀνωνήτους, καὶ ἀνωφελεῖς. καὶ ἀλλαχοῦ φησι. ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν. ἆρα καὶ διὰ τούτου δηλοῖ ὅτι οὐ θέλει. ἆρα οὖν οὐχ αἱ θυσίαι τὸ θέλημα τοῦ θυ, ἀλλ' ἡ τῶν θυσιῶν ἀναίρεσις, οὐκοῦν παρὰ τὸ θέλημα θύουσι. τί δήτε τοῦ ποιῆσαι τὸ θέλημά σου; τοῦ ἐμφυτεῦσαι φησιν ἐκδῦναι, βιβλίον τοῦ θυ θέλημα, ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν, ἢ καὶ ἀλλαχοῦ φησι. ὅτι οὐχ αἱ θυσίαι τοὺς ἀνοὺς καθαίρουσιν, ἀλλὰ τὸ θέλημα τοῦ θυ. ἆρα οὖν τὸ θύειν, οὐ θέλημα τοῦ θυ. καὶ τί θαυμάζεις εἰ ναῦν οὐ θέλημα τοῦ θυ, ὅπου μὴ δὲ ἐξ ἀρχῆς θέλημα ἦν; τίς γὰρ ἐξεζήτησε ταῦτα φησὶν ἐκ τῶν χειρῶν ὑμῶν; πῶς οὖν αὐτὸς ἐπέταξε; συγκαταβαίνων. ὥσπερ γὰρ ὁ παῦλος φησὶν εἶναι θέλω πάντας ἀνούς, ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ. καὶ πάλιν φησὶ, βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν, δύο θελήματα τίθησιν, ἀλλ' οὐ τὰ δύο αὐτοῦ ἐστιν, εἰ μὴ ἐπιτάττει, ἀλλὰ βιβλίον μὲν αὐτοῦ, διὸ μὴ χωρεῖς αὐτὸ τίθησιν, ἐκεῖνο δὲ οὐκ αὐτοῦ, εἰ καὶ βούλεται, διὸ καὶ μὴ αἰτίας πρόσκειται. πρότερον γὰρ κατηγορήσας αὐτῶν, ὅτι κατεφρόνησαν τοῦ χῦ, τότε φησὶ βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν, οὕτω δὴ καὶ ἐνταῦθα, οὐκ αὐτοῦ θέλημα ἦν προηγούμενον τὰς θυσίας γίνεσθαι. ὥσπερ γάρ φησιν οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι, καὶ ζῆν αὐτὸν. καὶ ἀλλαχοῦ λέγει ὅτι οὐ μόνον ἠβουλήθη, ἀλλὰ καὶ ἐπεθύμησε βιβλίον. καίτοιγε ἐναντία ἡ ἐπιταγὴ τῆς βούλησίς ἐστι. πῶς οὖν οὐ θέλεις; πῶς ἀλλαχοῦ ἐπιθυμεῖς; ὁ τοῦ σφόδρα θέλειν ἐστί, σημεῖον, οὕτω δὴ καὶ ἐνταῦθα, ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν φησι. πῶς ἡγιασμένοι; πῶς; διὰ τῆς προσφορᾶς τοῦ σώματος ἅπαξ τοῦ χῦ ἐφάπαξ. καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας. ἆρα τὸ ἑστάναι, τοῦ λειτουργεῖν δῆλον σημεῖον, οὐκοῦν τὸ καθῆσθαι, τοῦ λειτουργεῖσθαι. οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θυ τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. μαρτυρεῖ δὲ ἡμῖν, καὶ τὸ πνᾶ τὸ ἅγιον. εἰπὼν ὅτι ἐκείναις οὐ προσφέρονται, συνελογίσατο ἀπὸ τῶν ἀναφορῶν. λοιπὸς δὲ μὴ ῥητὸν παρέσησε προφητικὸν λέγων. ὅτι θυσίαν, καὶ προσφορὰν οὐκ ἠθέλησας, εἰπὼν ὅτι ἀφῆκε τὰς ἁμαρτίας. πάλιν καὶ βιβλίον ἀπὸ τῆς γραφῆς μαρτυρίαν ποιοῦνται. μαρτυρεῖ γὰρ ἡμῖν φησι τὸ πνᾶ τὸ ἅγιον. μετὰ γὰρ τὸ εἰρηκέναι, αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας λέγει κς, δι-

δους νόμισμα τῆ καρδίᾳ αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν γράψω αὐτούς, καὶ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ τῶν ἀνομιῶν οὐ μὴ μνησθῶ ἔτι. ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας. οὐκοῦν ἀφῆκε τὰς ἁμαρτίας, ὅτε τὴν διαθήκην ἔδωκε, τὰ δὲ διαθήκῃ ἔδωκε, τῆς θυσίας ἔδωκεν. εἰ τοίνυν ἀφῆκε τὰς ἁμαρτίας διὰ τῆς μιᾶς θυσίας, οὐκέτι χρεία δευτέρας. ἐκάθισεν ἐν δεξιᾷ τοῦ θῦ λοιπὸν ἐκδεχόμενος. τίνος ἕνεκεν ἡ ἀναβολή; ἵνα τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποκάτω τοὺς πόδας αὐτοῦ. μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. ἀλλ' ἴσως εἴποις ἄν, τίνος ἕνεκεν οὐκοῦν θέως τέθεικε; διὰ τοὺς πιστοὺς τοὺς μέλλοντας πίπτειν, καὶ γεννᾶσθαι. πόθεν οἶδας ὅτι τεθήσονται; διὰ τοῦτο ὅτι ἐκάθισεν. ἀνέμνησε πάλιν τῆς μακαριότητος ἐκείνης τῆς λεγούσης, ἕως ἂν θῶ τοὺς ἐχθροὺς ὑποκάτω τοὺς πόδας αὐτοῦ. οἱ δὲ ἐχθροὶ αὐτοῦ, οἱ ἰουδαῖοι εἰσίν. εἶτα ἐπειδὴ εἶπεν, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποκάτω τοὺς πόδας αὐτοῦ, σφόδρα δὲ ἦν πειρασμοῦ, τοῦτο χαίειν πάντα τὰ μεταξὺ τιθησιν, ὅσα περὶ πίστεως διαλέγεται. τίνες δὲ οἱ ἐχθροὶ, οἱ ἄπιστοι πάντες οἱ δαίμονες. καὶ τὸ πολὺ δὲ τῆς ὑποταγῆς αἰνιττόμενος, οὐκ εἶπεν, ὑποτασσόμενοι, ἀλλὰ τεθῶσιν ὑποκάτω τοὺς πόδας αὐτοῦ. μὴ τοίνυν γενώμεθα τῶν ἐχθρῶν. οὐ γὰρ ἐκεῖνοι μόνον ἐχθροὶ οἱ ἄπιστοι, ἀλλὰ καὶ οὗτοι οἱ βίου ἀκαθάρτου πλήρεις ὄντες. τὸ γὰρ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς θν, τῷ γὰρ νόμῳ τοῦ θῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται. τί οὖν φησιν οὐκ ὄντιν ἔγκλημα ἔθνους; καὶ σφόδρα μὲν οὖν ἔγκλημα, ὁ γὰρ κακὸς ἕως ἂν ᾖ κακὸς, οὐ δύναται ὑποτάττεσθαι, μεταβαλέσθαι μέντοι, καὶ γενέσθαι ἀγαθὸς, δύναται. Ἡ ἀπόν.

Ἐνβάλωμεν τοίνυν τὰ φρονήματα τὰ σαρκικά. ποῖα δέ ἐστι σαρκικά; ὅσα τὸ μὲν σῶμα ἀνθεῖν ποιεῖ, καὶ εὐπαθεῖν, κακοῖ δὲ τὴν ψυχήν. οἷον τί λέγω, ὁ πλοῦτος, ἡ τρυφὴ, ἡ δόξα, πάντα ταῦτα τῆς σαρκός ἐστιν. ὁ ἔρως ὁ τῶν σωμάτων. μὴ τοίνυν τὸ πλείονος ἐρῶμεν, ἀλλὰ τὴν ἀεὶ διώκωμεν. αὕτη γὰρ μέγα ἀγαθόν. ἀλλὰ τὰ σεινοῖ φησι, καὶ οὐ τελῆ ποιεῖ. τούτου γὰρ ἡμῖν χρεία, πολὺ γὰρ ἡμῖν ἔθος συμβάλλεται. πενία φῆ αὐθρα τὰ σεινοῖ. καὶ πάλιν ὁ χς, μακάριοι οἱ πτωχοὶ τῷ πνι. διαβολὴ οὖν ἀλγεῖς ὅτι ἔχεις ὁδὸν εἰς ἀρετὴν χειραγωγοῦσαν; οὐκοῖδας ὅτι αὕτη πολλῶ παῤῥησίαν ἡμῖν δίδωσιν; ἀλλ' ἡ σοφία φῆ τῶ πένητος ἐστὶν ἐξουθενημένη, καὶ πάλιν ἕτερος φῆ. πλοῦτον καὶ πενίαν μή μοι δῶς, καὶ ἑκάτερον πενίασον ῥῦσαί με. πῶς δὲ πάλιν, εἰ πλοῦτος, καὶ πενία παρακεῖται, κακὸν ἡ πενία, ἢ πλοῦτος; τίνος οὖν ἕνεκεν ταῦτα εἴρηται; ταῦτα ἐλέγετο ἐν τῇ παλαιᾷ ἔνθα πολὺς ὁ λόγος τοῦ πλούτου, ἔνθα τῆς πενίας πολλὴ ἡ ὑπεροψία, ἔνθα τὸ μὲν, κατόρθωται, τὸ δὲ, βλασφημία, ἀλλὰ νυνὶ οὐκέτι. ἀλλὰ θέλεις ἀκοῦσαι τῆς πενίας ἐγκώμια; αὐτὴν μετῆλθεν ὁ χς καὶ φῆ, ὁ δὲ υἱὸς τοῦ ἀνου, οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. μὴ πάλιν τοῖς μαθηταῖς ἔλεγεν, μὴ κτήσησθε χρυσὸν μήτε ἄργυρον, μήτε δύο χιτῶνας. καὶ παῦλος γράφων ἔλεγεν. ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. καὶ ἕτερος ἔλεγε τῷ ἐκγενετῆς χωλῶ, ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. καὶ ἐν ταύτῃ δὲ τῇ παλαιᾷ ἔνθα ἐθαυμάζετο ὁ πλοῦτος, τίνες ἦσαν οἱ θαυμαστοί; οὐχὶ ἠλίας; ὁ πλὴν τῆς μηλωτῆς μηδὲν ἔχων; οὐχὶ ἐλισσαῖος; οὐχὶ ἰωαννης; μηδεὶς τοίνυν ἕως τὰ σεινὸς διὰ πενίαν. οὐκέτι πενία ἡ ποιοῦσα τὰ σεινόν, ἀλλὰ πλοῦτος ὁ πολλῶν δεῖσθαι καταναγκάζων, καὶ πολλοῖς ἐδέναι χάριτας βιαζόμενος. τί δὲ τὸ ἰακὼβ πενέστερον ἦν εἰπέμοι; ὃς ἔλεγεν. ἐὰν δῶμοι κς ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι

ζον περιβαλέσθαι. ἆρα ἀπαρρησίαστοι ἦσαν οἱ περὶ Ἠλίαν, ἢ Ἰωαννην; οὐχ ὁ μὲν τὸν Ἀχαὰβ ἤλεγχεν; ὁ δὲ τὸν Ἡρῴδην; ἐκεῖνος ἔλεγεν, οὐκ ἔξεστί σοι ἔχειν γυναῖκα φιλίππου τοῦ ἀδελφοῦ σου. ὁ δὲ Ἠλίας πρὸς τὸν Ἀχαὰβ μετὰ παρρησίας ἔλεγεν, οὐκ ἐγώ σε διαστρέφω τὴν Ἰεζάβελ, ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου, ὁρᾷς ὅτι τοῦτο μόνη ποιεῖ τὴν παρρησίαν ἡ πενία; ὁ μὲν γὰρ πλούσιος δοῦλος ἐστὶν, ὑπεύθυνος ὢν ζημίᾳ, καὶ παρέχων παντὶ τῷ βουλομένῳ κακῶς αὐτὸν ποιεῖν. ὁ δὲ μηδὲν ἔχων, δι' ἡμᾶς οὐ δέδοικεν, οὐ καταδίκην. οὐκοῦν οἶμαι εἰ ἡ πενία ἐποίει ἀπαρρησιάστους, ὁ Χριστὸς τὴν πενίαν ἐπέμψε τοὺς μαθητάς, εἰ μὴ ἵνα πρᾶγμα παρρησίας πολλῆς δέομενον. σφόδρα γὰρ ἰσχυρὸς ὁ πένης ἐστὶ, καὶ οὐκ ἔχει ὅθεν ἀδικηθῇ, ἢ πάθῃ κακῶς. ὁ μέντοι πλούσιος, πανταχόθεν δυσχείρωτος καθέστηκε, καὶ ζῶν τὸν γίνεται, οἷον ἑαυτῆς τὸν πολλὰ χρήσιμα ἐπισυρόμενον, μὴ μακρὰ, ῥᾳδίως ἕλοι, τὸν μέντοι γυμνὸν, οὐκ εὐκόλως κατασχεῖν δυνήσεται, οὕτως καὶ ἐν ζωῇ θαυμάσιόν τὸ πλουσίου συμβαίνει. ἀνδράποδα, χρυσίον, ἀργυροῖ, μυρία πράγματα, μυρίαι φροντίδες, περιστάσεις, ἀνάγκαι, πᾶσιν αὐτὸν δυσχείρωτον ἐργάζονται. μηδεὶς οὖν ζήτω λοιπὸν τὴν πενίαν τῆς ἀτιμίας αἰτίαν εἶναι νομιζέτω. ἐὰν γὰρ ἀρετὴ παρῇ, ἅπας ὁ τῆς οἰκουμένης πλοῦτος, οὐδὲν πηλός, οὐδὲν κέρμος ἐστὶ πρὸς αὐτήν. ταύτην οὖν ζήτωμεν, ἐὰν βουλώμεθα εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. πώλησον γάρσου φησὶ τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ. καὶ πάλιν, δύσκολον πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλίαν τῶν οὐρανῶν. ὁρᾷς ὅτι καὶ μὴ παροῦσαν αὐτὴν ἐπιστᾶσθαι δεῖ; τοσοῦτόν ἐστιν ἀγαθὸν ἡ πενία. χειραγωγία γάρ τις ἐστὶ τῆς πρὸς τὸν οὐρανὸν φερούσης ὁδοῦ, ἄλειμμα ἀθλητικόν, γυμνασίας μεγάλη, καὶ θαυμαστὴ, λιμὸς δυσείνους. ἀλλὰ χρείαν ἔχω πολλῶν φησι, καὶ οὐ βούλομαι τινὸς χάριν λαβεῖν, ἀλλὰ καὶ ἐν τούτῳ σου ὁ πλούσιος ἠλάττωται. σὺ μὲν γὰρ ἴσως ὑπὲρ τροφῆς τὴν χάριν αὐτῆς, ἐκεῖνος δὲ ὑπὲρ μυρίων ἀναισχύντων πραγμάτων, ὑπὲρ πλεονεξίας. ὥστε οἱ πλούσιοι εἰσὶν οἱ πολλῶν δεόμενοι, καὶ ἀναξίων ἑαυτῶν πολλάκις. οἷόν τι λέγω τῶν ἐν ταῖς τάξεσι στρατιωτῶν, καὶ δούλων ὄντων, πολλάκις ἐν χρείᾳ καθίστανται. ὁ δὲ πένης οὐδὲ αὐτῆς δεῖται τῆς βασιλέως, κἂν δεηθῇ, θαυμάζεται ὅτι εἰς τοῦτο κατέστησεν ἑαυτὸν, παρὸν αὐτῷ πλουτεῖν. μηδεὶς τοίνυν αἰτιάσθω τὴν πενίαν, ὡς μυρίων κακῶν αἰτίαν, μὴ δὲ ἀντιφθεγγέσθω τῷ χῷ, ὃς τελειότητα ταύτην ἔφησεν εἶναι τῆς ἀρετῆς, εἰ πὼν εἰ θέλεις τέλειος εἶναι. τοῦτο γὰρ καὶ διὰ τῶν λόγων αὐτὸς εἶπε, καὶ διὰ τῶν ἔργων ἔδειξε, καὶ διὰ τῶν μαθητῶν ἐδίδαξε, διώξωμεν οὖν τὴν πενίαν. μέγιστον γὰρ ἀγαθὸν αὕτη τοῖς νήφουσι. τάχα τινὲς, καὶ οἰωνίζονται τῶν ἀκουόντων, οὐκ ἀπισῶ. πολλὴ γὰρ ἡ νόσος αὕτη παρὰ τοῖς πλείοσι τῶν ἀνθρώπων, καὶ τοσαύτη τῶν χρημάτων ἡ τυραννὶς, ὡς μηδὲ μέχρι ῥημάτων αὐτῆς τὴν παραίτησιν φέρειν, ἀλλὰ καὶ οἰωνίζεσθαι ζωὴν τὴν. πόρρω ζωῆς τὰ τοῦ χριστιανοῦ ψυχῆς, οὐδὲν γὰρ πλουσιώτερον τῆς πενίας αἱρουμένου ἑκόντι, καὶ μετὰ προθυμίας. πῶς; ἐγὼ λέγω, κἂν ἐθέλητε, καὶ αὐτοῦ τοῦ βασιλέως αὐτὸν πλουσιώτερον ὄντα ἀποφαίνω τὸν ἑκόντι τὴν πενίαν αἱρούμενον. ἐκεῖνος μὲν γὰρ δεῖται πολλῶν, καὶ ἐν φροντίδι ἐστὶ, καὶ δέδοικε, μὴ ἐπιλείπῃ αὐτῷ τὰ τῆς τροφῆς τῆς θρασωτικῆς. οὗτος δὲ πάντα ἀφθόνως ἔχει, καὶ περὶ οὐδενὸς δέδοικεν, οὐδ' ὑπὲρ τοσούτων. τίς οὖν εἶπέ μοι πλούσιος, ὁ καθ' ἑκάστην, ἡμέραν μεριμνῶν, καὶ ἀσυδιάζων πολλὰ συλλέγειν, καὶ δεδοικὼς μή ποτε ἐπιλείπῃ; ἢ ὁ μηδὲν συλλέγων, καὶ ἐν ἀφθονίᾳ ὢν πολλῇ, καὶ μηδενὸς δεόμενος; τὴν

παῤῥησίαν γὰρ ἀρεπὶ δίδωσι, καὶ δῦ φόβος, οὐ τὰ χρήματα, ἐκεῖνα γὰρ καὶ κατασβυλοῦ-
ται. ξένια γὰρ καὶ δῶρα φῂ ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς φιμὸς ἐν στόμασι ἀποτρέ-
πει ἐλεγμούς. σκόπει πῶς ὁ πένης πένητος, ἀνανίαν τὸν πλούσιον ἐκόλασεν, οὐχ ὁ μὴ
πλούσιος ὢν, ὁ δὲ, πένης; ἀλλ' ὅρα τὸ ζῆν μὴ αὐθεντίαις διαλεγόμενον, καὶ λέγοντα,
εἰ πέμοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοθε. ἐκεῖνον δὲ μὴ ὑποφολῆς λέγοντα. ναὶ τοσούτου. μὴ
πῆς ἐδωκέμοι φῂ κατὰ πέντε ἔνη; ἐξεπίσοι κατὰ πέντε ἔνη, ἐὰν θέλῃς ῥίψαι ἃ ἔχεις. σκόπει
πόσον, ὁδὸς πένησιν, ἀκολούθησον τῷ χῷ, καὶ ἔσῃ τοιοῦτος. πῶς; ἐκεῖνος φῂ σημεῖα ἐποίησε,
τοῦτο γάρ ὄφιν εἰ πέμοι τὸν πέτρον ποιῆσαν θαυμαστόν, ἢ ἡ παῤῥησία ἡ ἀπὸ τῆς πολιτείας; οὐ
κἀκούεις τῷ χῷ λέγοντος, μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει; ἐὰν θέλῃς τέλειος
εἶναι, ἄκουσον τί φησιν ὁ πέτρος, ἀργύριον, καὶ χρυσίον οὐχ ὑπάρχει μοι, ὁ δὲ ἔχω, τοῦτό σοι δί-
δωμι. εἴπῃς ἔχει ἀργύριον, μὴ χρυσίον, ἐκεῖνα οὐκ ἔχει. τί οὖν φησιν; ὅτι πολλοὶ οὔτε ἐκεῖνα,
οὔτε ταῦτα ἔχουσιν. ὅσοι ἐκόντες πένονται, πάντα ἔχουσι τὰ ἀγαθά. εἰ γὰρ καὶ μὴ νεκροὺς
ἀνίστων, μὴ δὲ χωλοὺς, ἀλλ' ὁ παντὶ μεῖζον ἐστὶ, παῤῥησίαν ἔχουσι πρὸς τὸν θν. ἀκούσονται
κατ' ἐκείνην τὴν ἡμέραν τῆς μακαριστῆς ἐκείνης φωνῆς, δεῦτε οἱ εὐλογημένοι τοῦ πρς μου. τί
τοῦτου κρεῖττον; κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κό-
σμου. ἐπείνασα γὰρ καὶ ἐδώκατέμοι φαγεῖν, ἐδίψησα, καὶ ἐποτίσατέμε. ξένος ἤμην, καὶ συ-
νηγάγετέμε. γυμνὸς ἤμην, καὶ περιεβάλετέμε. ἀσθενὴς ἤμην, καὶ ἐν φυλακῇ, καὶ ἐπεσκέ-
ψασθέμε, κληρονομήσατε τ ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. φεύγω
μεν τοίνυν πλεονεξίαν. ἵνα τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν. τρέφωμεν τοὺς πένητας, ἵνα
τρέφωμεν τὸν χν, ἵνα συγκληρονόμοι αὐτοῦ γενώμεθα ἐν χῷ ἰυ τῷ κῷ ἡμῶν

Λόγος, ιθ'.

» Ἔχοντες οὖν ἀδελφοὶ παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι ἰυ, ὃν ἐνεκαίνι-
» σεν ἡμῖν ὁδὸν πρόσφατον, καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος τουτέστι τῆς σαρκὸς αὐτοῦ. καὶ
» ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ θυ, προσερχώμεθα μετ' ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πί-
» στεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ λελουμένοι τὸ σῶμα ὕ-
» δατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ. Δείξας τὸ μέσον τοῦ ἀρ-
χιερέως, καὶ τῶν θυσιῶν, καὶ τῆς σκηνῆς, καὶ τῆς διαθήκης, καὶ τῆς ἐπαγγελίας, καὶ πολὺ
τὸ μέσον. εἴγε τὰ μὲν, πρόσκαιρα. ταῦτα δὲ οὐ πρόσκαιρα. τὰ μὲν, ἐγγὺς φαινόμενα, ταῦ-
τα δὲ μένοντα. τὰ μὲν, ἀσθενῆ, ταῦτα δὲ τέλεια. τὰ μὲν, τύποι, ταῦτα δὲ ἀλήθεια. οὐ γὰρ
κατὰ νόμον ἐντολῆς φησι σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. μὴ σὺ ἱερεὺς εἰς
τὸν αἰῶνα. ἰδοὺ γὰρ τὸ διωκεκὲς τοῦ ἱερέως, μὴ περὶ τῆς διαθήκης, ἐκείνη φῂ παλαιά. τὸ γὰρ πα-
λαιούμενον, καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. αὕτη δὲ καινὴ, καὶ ἄφεσιν ἁμαρτιῶν ἔχουσα,
ἐκείνη δὲ οὐδὲν τοιοῦτον. οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος φησι, καὶ πάλιν. θυσίαν καὶ προσφο-
ρὰν οὐκ ἠθέλησας. ἡ μὲν, χειροποίητος, αὕτη δὲ ἀχειροποίητος. ἡ μὲν, τράγων αἷμα ἔχουσα,
αὕτη δὲ δι' αὐτοῦ. ἡ μὲν, ἐφ' ὃ τὰ τὸν ἱερέα, αὕτη δὲ καθ' ἡμᾶς. ἐπεὶ δὴ τοίνυν πάντα ἐκεῖνα ἐ-
λάττω, ταῦτα δὲ μείζω, διαζεῦξαι φῂ. ἔχοντες οὖν ἀδελφοὶ παῤῥησίαν. παῤῥησίαν πό-
θεν; ὥσπερ αἰχμὴν φῂ ποιεῖ τὰ ἁμαρτήματα, οὕτω παῤῥησίαν τὰ πάντα ἀφεθῆναι ἡμῖν,
καὶ συγκληρονόμους γενέσθαι, καὶ τοσαύτης ἀπολαῦσαι ἀγάπης εἰς τὴν εἴσοδον τῶν ἁγίων.

τί φησιν

τί φησὶν εἰ σοδὸν ἐν ταύθα; τὸ ὠιδόν, ἢ τὸ πρόσδον εἰς πυῖ κάλιν ἐνεκαίνισε. τοῦτέστιν ἵνα κατεσκεύασε, ἢ ἧς ἤρξατο. ἐγκαινισμὸς γὰρ λέγεται ἀρχὴ χρήσεως λοιπὸν, ἵνα κατεσκιάσε φῆ, ἢ διὰ ἧς αὐτὸς ἐβάδισεν. ὁδὸν πρόσφατον, ἢ ζῶσαν. ἐν ταῦθα τὸ πληροφορίαν τῆς ἐλπίδος ἐμφαίνει, πρόφατον φῆ. βιάζεται δεῖξαι πάντα τὰ μείζονα ἐχθρότατος, εἴγε νῦν ἀνεῴχθησαν αἱ πύλαι τῶν ὠιδῶν, ὃ οὐδὲ τοῖς ἁβραὰμ ἐγένετο. ὁδὸν πρόσφατον φῆ, ἢ ζῶσαν. ἡ γὰρ πρώτη ὁδὸς, θανάτου ἦν, τοῖς τὴν ἀδικίαν ἀγούσα, αὕτη δὲ ζωῆς. ἢ οὐκέτι ζωῆς, ἀλλὰ ζῶσαν αὐτὸν ἐκάλεσε. τοῦτέστι τὰ προστάγματα. τοῦ μένουσαν ἀλλὰ τὸ κατασκεύασμα τοῦ φῆ τοῦ σαρκὸς αὐτοῦ. ἡ γὰρ σὰρξ αὕτη ἑτέρα πρώτη τοῦ ὁδὸν αὐτῷ ἐκείνῳ, τούτῳ αὐτὸν ἐνεκαίνισεν ἢ ἐβάδισε. κατασκεύασμα δὲ εἰκότως ἐκάλεσεν, ὅτε γὰρ ἦρθη εἰς ὕψος, τότε ἐφανὴ τὰ ἐν τοῖς ὠιδοῖς. προσερχώμεθα φῆ μὴ ἀληθινῆς καρδίας. τίνες προσερχώμεθα; εἴτις ἅγιος τῇ πίστει, τῇ πυῖ κῇ λατρείᾳ, μὴ ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ πίστεως. ἐπειδὴ οὐδέν ὄντιν ὁρατὸν, οὔτε ὁ ἱερεὺς, οὔτε ἡ θυσία, οὔτε τὸ θυσιαστήριον. καίτοιγε οὐδὲ ἐκεῖνος ὁ ἱερεὺς ὁρατὸς ἦν, ἀλλ' ἔνδον αὐτὸς εἰσήκει, ἐκεῖνοι δὲ ἔξω πάντες ὁ λαὸς ἅπας. ἐν ταῦθα δὲ οὐ μόνον τοῦτο γέγονεν ὅτι ὁ ἱερεὺς εἰσῆλθεν εἰς τὰ ἅγια, ἀλλ' ὅτι ἢ ἡμεῖς εἰσερχόμεθα, διὰ τοῦτο φῆ ἐν πληροφορίᾳ πίστεως. ὅτι γὰρ μὴ πιστεύειν διαζόντα, οἷοι πολλοί εἰσι, μὴ νῦν λέγοντες. ὁ τί ἐνίων ἐστὶ φῆ ἀνάστασις, ἐνίων δὲ οὔ. τοῦτο οὐκέτι πίστις. ἐν πληροφορίᾳ φῆ πίστεως, οὕτω δεῖ πιστεύειν, ὡς πεῖ ὁρῶμεν, ἢ πολλῷ πλέον. ἐν ταῦθα μὲν γὰρ σφαλλήναι ἐστὶν ἐν τοῖς ὁρωμένοις, ἐκεῖ δὲ οὔ. ἐν ταύθα μὲν τῇ αἰσθήσει ἐπιτρέπομεν, ἐκεῖ δὲ τῷ πυῖ. ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς. δείκνυσιν ὅτι οὐ πίστις μόνον, ἀλλὰ ἢ βίος ἀνάρετος ζητεῖται, ἢ τὸ μηδὲν ἑαυτοῖς συνειδέναι πονηρόν. οὐ γὰρ δέχεται μὴ πληροφορίας τὰ ἅγια τοὺς μὴ οὕτω διακειμένους. ἅγια γὰρ ὄντι, ἢ ἅγια ἁγίων. ἐν ταῦθα δὲ ἀνὸς οὐδεὶς βέβηλος εἰστήκει. ἐκεῖνοι μὲν τὸ σῶμα ἐρραντίζοντο, ἡμεῖς δὲ συνειδήσιν, ὥστε ὄντι νῦν περιῤῥαντίζεται αὐτῇ τῇ ἀρετῇ. ἢ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ. τὸ λουτρὸν ἐν ταῦθα φῆ οὐκ ὄντι σωματικὸν καθάρσιον, ἀλλὰ ψυχῆς. πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος. τί ὁ ἐπαγγειλάμενος; ὅτι δεῖ ἀπελθεῖν ἐκεῖ, ἢ εἰσελθεῖν εἰς τὴν βασιλείαν. μηδὲν τοίνυν περιεργάζου, μηδὲ λογισμοὺς ἀναίτει. πίστεως δεῖται τὰ ἡμέτερα. Καὶ καταναγκάζωμεν φῆ ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης, ἢ καλῶν ἔργων, μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν ἀλλὰ παρακαλοῦντες, ἢ τοσούτῳ μᾶλλον ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν. ἢ πάλιν ἐρωτᾷ ὁ πῶς ἐγγὺς μηδὲν μεμνᾶται. νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ὁ καιρὸς συνεσταλμένος τοιοῦτον. Τί ὄντι μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν; οἱ δὲν ἀπὸ τῆς συνουσίας, ἢ τὴν ἐπισυναγωγῆς, πολλοῦ οὖσαν τὴν ἰσχύν. ὅπου γάρ εἰσι δύο, ἢ τρεῖς φησι συνηγμένοι εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. καθὼς ἢ πανταχοῦ ἡ ψυχὴ, ἢ ἡ καρδία μία. οὐ μόνον δὲ μόνον, ἀλλ' ἔτι δὲ, ἢ τὴν τῆς ἀγάπης αὔξησιν ἐπισυναγωγῆς, τῆς δὲ ἀγάπης αὐξανομένης, ἀναγκαῖον ἢ τὰ τοῦ δοῦναι πρόσθεν. προσευχὴ δὲ ἡ φησιν ἐκτενὴς ὑπὲρ τοῦ λαοῦ γινομένη, ἢ πάλιν. ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς φῆ. ἐν ταῦθα οὐ μόνον παρήνεσεν, ἀλλὰ καὶ ἐμέμφατο. καὶ καταναγκάζωμεν φῆ ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων. οἷον καὶ ἐνταῦθα γινόμενον ἀπὸ τῆς ἐπισυναγωγῆς αὐτοῦ. καθάπερ γὰρ σίδηρος σίδηρον ὀξύνει, οὕτω καὶ ἡ συνουσία τὴν ἀγάπην αὔξει. εἰ γὰρ λίθος πρὸς λίθον τριβόμενος πῦρ ἀφίησι, πόσῳ μᾶλλον ψυχὴ πρὸς ψυχὴν ἀναμιγνυμένη; ἀλλὰ μὴ εἰς ζῆλον φῆ, ἀλλ' εἰς παροξυσμὸν ἀγάπης, εἰς τὸ μᾶλλον ἀγαθὰ ἔχειν, καὶ ἀγαπᾶσθαι, καὶ καλῶν

ἔργων, ὥστε ζῆλον λαβεῖν. μὴ γὰρ τὸ ποιεῖν, τοῦ λέγειν, μείζονα τὴν ἰσχὺν ἔχει πρὸς διδασκαλίαν. πολλοὺς ἔχετε, καὶ ὑμεῖς διδασκάλους ἐν τῷ πλήθει, ἀλλὰ τῶν ἔργων οὐδὲν ποιοῦντας. τί δὲ προσερχώμεθα μὴ ἀληθινῆς καρδίας; τουτέστι χωρὶς ὑποκρίσεως. οὐαὶ γὰρ καρδίᾳ δειλῇ, μὴ χερσὶ παρειμέναις. μηδὲν ἔστω φθῦδος ἐν ἡμῖν. μὴ ἕτερα μὲν λέγωμεν, ἕτερα δὲ φρονῶμεν, οὐδὲν γὰρ φθῦδος. μὴ δὲ ὀλιγοψυχῶμεν, οὐδὲν γὰρ οὐκ ἀληθινῆς καρδίας. ἀπὸ γὰρ τοῦ μὴ πιστεύειν, τὸ ὀλιγοψυχεῖν γίνεται. πῶς δὲ ἔσται οὐδέν; ἐὰν πληροφορῶμεν ἑαυτοὺς διὰ τῆς πίστεως. ἐρραντισμένοι τὰς καρδίας. διατί μὴ εἶπε κεκαθαρμένοι; τὴν διαφορὰν τῶν περιῤῥαντηρίων δεῖξαι βουλόμενος, τὸ μὲν, τοῦ δυσῶδους, τὸ δὲ, ἡμέτερον. τὸ μὲν γὰρ λοῦσαι, οὐ περιῤῥᾶναι τὸ συνείδησιν, τοῦ δυσώδους. τὸ δὲ ἐν ἀληθείᾳ προσελθεῖν, οὐκ ἐν πληροφορίᾳ πίστεως ἡμέτερον, εἶτα οὐ τῇ πίστει δίδωσιν ἰσχὺν ἀπὸ τῆς ἀληθείας, ἀπὸ τῆς ἐπαγγελίας. τί δέ ἐστι λελουσμένοι τὸ σῶμα ὕδατι καθαρῷ; τῷ καθαροὺς ποιοῦντι, καὶ τῷ μὴ ἔχοντι αἷμα, εἶτα προστίθησι τὸ τέλειον, τὴν ἀγάπην. μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, ὅπερ τινὲς ποιοῦσι, καὶ τὰς συνόδους διατέμνουσιν. ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. ἀλλὰ καταγινώσκομεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης. τί δέ ἐστι καταγινώσκομεν ἀλλήλους; οἷον εἴ τις ἀνάρετος, οὐδὲν μιμώμεθα, βλέπωμεν εἰς αὐτόν, ὥστε ἀγαθὸν ἂν, καὶ ἀγαπᾶν. ἀπὸ γὰρ τῆς ἀγάπης, τὰ καλὰ ἔργα γίνεται. μέγα ἀγαθὸν ἡ συνόδος, αὕτη γὰρ αὐτὴ θερμοτέραν ἐργάζεται, καὶ ἐξ αὐτῆς πάντα τίκτεται τὰ ἀγαθά. οὐδὲν γὰρ δεῖ ἀγαθὸν ὃ μὴ δι' ἀγάπης γίνεται.

Ἡ θεωρία.

Ταύτην οὖν κυρώσωμεν εἰς ἀλλήλους. πλήρωμα γάρ ἐστιν ἡ ἀγάπη. οὐ δεῖ πόνων ἡμῶν, οὐ δεῖ ἱδρῶτος, ἐὰν ἀγαπήσωμεν ἀλλήλους. αὐτόματός ἐστιν ὁδὸς φέρουσα πρὸς τὴν ἀρετήν. καθάπερ γὰρ ἐπὶ τῆς λεωφόρου, ἐὰν εἰς εὕρῃ τὴν ἀρχὴν ὁδηγεῖται ὑπ' αὐτῆς, μὴ οὐδεὶς χειραγωγοῦ, οὕτω μὴ ἐπὶ τῆς ἀγάπης, μόνον ἐπιλάβου τῆς ἀρχῆς, μὴ δι' ἑτέρου χειραγωγῇ ὑπ' αὐτῆς, μὴ δι' ὑπνου. ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται, οὐ λογίζεται τὸ κακόν. ἐννόησον τίς αὐτὸς ἑαυτῷ, πῶς διάκειται πρὸς ἑαυτόν. οὐ φθονεῖ ἑαυτῷ. πάντα ἑαυτῷ συμβούλεται τὰ ἀγαθά, πάντα ἑαυτὸν προτιμᾷ, πάντα ὑπὲρ ἑαυτοῦ βουλεύεται ποιεῖν. ἐὰν τοίνυν, μὴ πρὸς τοὺς ἀδελφοὺς οὕτω διακεώμεθα, πάντα λέλυται τὰ δεσμά. οὐκέτι ἔνεστιν ἔχθρα, οὐκ ὄντι πλεονεξία. τίς αὐτὸν ἔλοιτο πλεονεκτῆσαι ἑαυτόν; οὐδείς. ἀλλὰ μὴ τοὐναντίον κοινὰ πάντα κτησόμεθα, μὴ οὐ παυσόμεθα συνάγοντες ἑαυτούς. κἂν τοῦτο ποιῶμεν, μυνσικακίαν χώραν οὐκ ἂν ἔχοι. τίς γὰρ ἔλοιτο αὐτὸν ἑαυτῷ μνησικακεῖν; τίς αὐτὸν ἔλοιτο ἑαυτῷ ὀργίζεσθαι; οὐχὶ μάλιστα πάντων ἑαυτοῖς συγγνώσομεν; ἐὰν οὕτω μὴ πρὸς τοὺς πλησίους διακεώμεθα, οὐ δέποτε ἔσται μνησικακία. μὴ πῶς δυνατόν φησι τὸν πλησίον οὕτως ἀγαπῆσαι, ὡς αὐτὸς ἑαυτόν; εἰ μὴ ἐποίησαν τοῦτο ἕτεροι, καλῶς ἀδύνατον εἶναι νομίζεις. εἰ δὲ ἐποίησαν, δηλονότι μετὰ ῥᾳθυμίαν παρ' ἡμῶν οὐ γίνεται. ἀλλ' ὅλως δὲ οὐδὲν ἀδύνατον τῶν ἐπιτάξαντος θεοῦ, ὅπου γε πολλοὶ, μὴ ὑπερέβησαν αὐτοῦ τὰ ἐπιτάγματα. τίς οὖν ἐποίησε τοῦτο; ὁ παῦλος ὁ ἀετός, πᾶς ὁ τῶν ἁγίων χορός. ἀλλ' ἐὰν μὴ εἴπω, ὅτι τοὺς πλησίον ἠγάπησαν, οὐδὲν μέγα ἐρῶ. τοὺς ἐχθροὺς οὕτως ἠγάπησαν, ὡς οὐκ ἔστιν ἀγαπήσειε τοὺς ὁμοψύχους. τίς γὰρ ἂν ἔλοιτο ὑπὲρ τῶν ὁμοψύχων εἰς γέενναν ἀπελθεῖν, μέλλων εἰς βασιλείαν ἀπέναι; οὐδείς. ἀλλὰ παῦλος ὑπὲρ τῶν ἐχθρῶν τοῦ θεοῦ εἵλετο, τῶν λιθασάντων, τῶν μαχαιρώσαντων. ποία οὖν ἡμῖν ἔσται συγγνώμη; τίς παραίτησις; εἰ μὴ δὲ πρὸς τὸ πολλοστὸν μέρος τῆς ἀγάπης, ἧς ἐπεδείξατο περὶ τοὺς ἐχθροὺς ὁ παῦλος, ἡμεῖς περὶ τοὺς

φίλους

» μόνος ℞, ἀλλὰ κ οἱ κληρονόμοι. Κατὰ πίστιν ἀπέθανον φησὶν οὗτοι πάντες μὴ κομισά-
» μενοι τὰς ἐπαγγελίας. Δύο ἐνταῦθα ζητῆσαι ἄξιον, πῶς εἰπὼν ὅτι μετέθηκε τὸν ἐνὼχ, κ οὐχ ὑπείσατο τ̃ μὴ ἰδεῖν θάνατον, λέγει κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες. κ πάλιν εἰπὼν, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, τὸν νῶε εἰληφέναι φησὶ μαθ῾ὸν εἰς σωτηρίαν τ̃ οἴκου αὐτ̃ καὶ τὸν ἐνὼχ μετατεθεῖναι, καὶ τὸν ἄβελ ἔτι λαλεῖν, καὶ τὸν ἀβραὰμ ἐπείληφθαι τ̃ης γ̃ης, καὶ φησὶν κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες μὴ κομισάμενοι τὰς ἐπαγγελίας. τί οὖν ἐστιν; ἀναγκαῖον τὸ πρῶτον λῦσαι, εἶτα τὸ δεύτερον. κατὰ πίστιν ἀπέθανον φησὶν οὗτοι πάντες. τὸ πάντες συνθεωρ̃ητέον, οὐκ ἐπειδὴ πάντες ἀπέθανον, ἀλλ' ἐπειδὴ ἐξαιρημένου ἐκείνου, ἀπέθανον οὗτοι πάντες, οὓς ἴσμεν τεθνηκότας. τὸ δὲ μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀληθὲς τυγχάνει. οὐ γὰρ δὴ ὅλως ἔμελλεν εἶναι ἡ ἐπαγγελία τῷ νῶε. ποίας δὲ καὶ ἐπαγγελίας φησίν; ὁ μὲν γὰρ ἰσαὰκ καὶ ἰακὼβ, ἔλαβον τὰς ἐπαγγελίας τ̃ης γ̃ης. οἱ δὲ περὶ νῶε, καὶ ἄβελ, καὶ ἐνὼχ, ποίας ἐπαγγελίας ἔλαβον; ἢ τοίνυν περὶ τῶν τοιῶν φησὶ τούτων,

τούτων, ἢ μὴ περὶ ἐκείνων. οὐ δῆλον ὡς ἡ ἐπαγγελία τὸ θαυμασθῆναι τὸν ἄβελ, οὐδὲ τὸ μετατεθῆναι τὸν ἐνὼχ, οὐδὲ τὸ διασωθῆναι τὸν νῶε. ἀλλὰ μὴ ταῦτα μὲν αὐτοῖς ἀρχὴ τιμῆς ἀρετῆς ἐγένετο. γυμνάσια δέ τινα ὡς τῶν μελλόντων. ὁ γὰρ θεὸς ἀπαρχῆς εἰδὼς τὸ γένος τὸ ἀνθρώπινον πολλῆς δεόμενον συγκαταβάσεως, οὐ μόνον τὰ μέλλοντα, ἀλλὰ μὴ τὰ ἐνταῦθα ἡμῖν χαρίζεται. οἷον ὅπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ χριστὸς, ὅστις ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. καὶ πάλιν, ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ὁρᾶς μὴ ἐν προθήκης μέρει ταῦτα, παρ' αὐτοῦ διδόμενα, ὥστε μὴ ἀποκαμεῖν; καθάπερ γὰρ οἱ ἀθληταὶ ἀπολαύουσι μὲν δοξασθείσης καὶ ὅταν ἀγωνίζωνται, πλὴν ἀλλ' οὐ πάσης τότε τῆς ἀνέσεως ἀπολαύουσιν· οὕτω νόμον ζῶντες, ἀλλὰ πάσης μετὰ ταῦτα ἀπολαύουσιν. οὕτω καὶ ὁ θεὸς οὐ πάσης ἐνταῦθα δίδωσι μεταλαβεῖν τῆς ἀνέσεως· δίδωσι μὲν γὰρ καὶ ἐν-
» ταῦθα. Ἀλλὰ πόρρωθεν φῶ αὐτὰς ἰδόντες μὴ ἀπατασάμενοι. Ἐνταῦθα τι μυστικὸν αἰνίττεται, ὃ δὴ προσέλαβον πάντα τὰ περὶ τῶν μελλόντων εἰρημένα, περὶ ἀναστάσεως, περὶ βασιλείας οὐρανῶν, περὶ τῶν ἄλλων, ὧν ἐλθὼν ὁ χριστὸς ἐκήρυξε. τὰς γὰρ ἐπαγγελίας, ταύτας φησὶν, ἢ ὅτι φησὶν, ἢ ὃ δὴ οὐκ ἔλαβον μὲν αὐτὰς, θαρρήσαντες δὲ ὑπὲρ αὐτῶν ἀπῆλθον, ἐθαρρήσαν δὲ τῇ πίστει μόνῃ πόρρωθεν αὐτὰς ἰδόντες πρὸ τεσσάρων γενεῶν. μετὰ γὰρ τοσαύτας ἀπῆλθον ἐξ αἰγύπτου. καὶ ἀπατασάμενοι φησὶ μὴ πιθέντες. οὕτως ἀπατεισμένοι ἦσαν περὶ αὐτῶν ὡς καὶ ἀπατᾶσθαι αὐτάς. ἀπὸ μεταφορᾶς τῶν πλεόντων, καὶ πόρρωθεν ὁρώντων πόλεις τὰς ποθουμένας, ἃς πρὶν εἰσελθεῖν εἰς αὐτὰς, τῇ προσρήσει λαβόντες αὐ-
» τὰς οἰκειοῦνται. Ἐξεδέχοντο γάρ φησι τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ
» δημιουργὸς ὁ θεός. Ὁρᾷς ὅτι τὸ ἔλαβον τὸ ἦδη δέξασθαί ἐστι μὴ θαρσῆσαι ὑπὲρ αὐτῶν; εἰ τοίνυν τὸ θαρσῆσαι λαβεῖν ἐστιν, ἔνεστι καὶ ὑμῖν λαβεῖν. οὗτοι γὰρ εἰ καὶ μὴ ἀπέλαυσαν τούτων, ἀλλ' ὅμως τῷ πόθῳ ἐθεώρουν αὐτάς. τί δὴ ταῦτα γίνεται; ἵνα ἡμεῖς αἰσχυνθῶμεν, ὅτι ἐκεῖνοι μὲν ἐπαγγελλομένων αὐτῶν τῶν ἐν τῇ γῇ, οὐ προσεῖχον, ἀλλὰ τὴν μέλλουσαν πόλιν ἐξήτουν· ἡμῖν δὲ αὐτὰ καὶ κάτω ὁ θεὸς περὶ τῆς αὐτῆς διαλέγεται πόλεως, μὴ τὴν ἐνταῦθα ζητοῦμεν. εἶπεν αὐτοῖς δώσω ὑμῖν τὰ ἐν τῷ παρόντι. ἐπειδὴ δὲ εἶδε, μᾶλλον δὲ ἐπειδὴ ἔδειξαν ἑαυτοὺς μείζονων ὄντας ἀξίους, τότε οὐκέτι αὐτοὺς ἀφίησι ταῦτα λαβεῖν, ἀλλ' ἐκεῖνα τὰ μείζονα. βουλόμενος ἡμῖν δεῖξαι ὅτι μειζόνων ἄξιοι εἰσὶ, μὴ θελήσαντες πρὸς δὲ θῆναι τούτοις, ὡς αὐτὰς σωθῆναι ἐπαγγέλλοιτο ταπεινά, οὐχ ἵνα λάβῃ, ἀλλ' ἐπιδείκνυμενος αὐτοῖς τὴν φιλοσοφίαν αὐτοῦ τοῦτος ἐκείνου τὰ μείζονα. ἔδει γάρ ὅτι δείκνυτος ὃ τὰ μετὰ τοσαύτης ταπεινώσεως ἀνειχόντο τῆς γῆς, ὅπου οὐδὲ δεδόμενα ἐλάμβανον. τοιγαροῦν διαῤῥήδην οἱ ἔκγονοι λαμβάνουσιν, αὐτοὶ γὰρ ἦσαν τῆς γῆς ἄξιοι. τί δήτι τοὺς θεμελίους ἔχουσαν πόλιν; οὗτοι γὰρ οὐκ εἰσὶ θεμέλιοι πρὸς σύγκρισιν, ἧς τεχνίτης καὶ δη-
» μιουργὸς ὁ θεός. βαθεῖαι οἷον τὸ ἐγκώμιον τῆς πόλεως ἐκείνης. Πίστει καὶ αὐτὴ σάῤῥα. Ἐνεργητικῶς ἐνταῦθα ἦρξατο, εἴγε γυναικὸς ὀλιγοψυχότερον φανεῖεν. ἀλλ' εἰπὲ μοι τίς, πῶς πίστει ἐγέλασε σάρα; ὁ μὲν οὖν γέλως, ἐξ ἀπιστίας· ὁ δὲ φόβος ἀπὸ πίστεως. τὸ γὰρ εἰπεῖν οὐκ ἐγέλασα, ἀπὸ πίστεως γέγονε. τοιγαροῦν διαῤῥήδην κενωθείσης τῆς ἀπιστίας, ἐπεισῆλθεν ἡ πίστις. πίστει καὶ αὐτὴ σάῤῥα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε. καὶ παρὰ καιρὸν

ἡλικίασ ἔτεκε. τί ἐστιν εἰς καταβολὴν σπέρματος; εἰς τὸ καταχεῖν σπέρμα, εἰς ὑποδοχὴν δύναμιν ἔλαβεν ἡ νενεκρωμένη, ἡ φύσις. διπλῆ γὰρ ἦν ἡ πήρωσις. ἡ μὲν, ἀπὸ τοῦ χρόνου, γεγηρακυίας γὰρ ἦν ὄντως. ἡ δὲ, ἀπὸ τῆς φύσεως, φύσις γὰρ ἦν. Ὅθεν καὶ ἐξ ἑνὸς ἐγεννήθησαν οἱ πάντες ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος. Ὅθεν φησὶν καὶ ἐξ ἑνὸς ἐγεννήθησαν οἱ πάντες. οὐ δεῖ λέγει ὅτι ἐγέννησεν, ἀλλ' ὅτι καὶ τοσούτων ἐγένετο μήτηρ, ὅσων οὐδὲ αἱ δύφοροι γαστέρες. ὡς τὰ ἄστρα φησὶν, πῶς οὖν αὐτοὺς ἀριθμεῖ πολλάκις καί τοι γε εἰπών, ὃν τρόπον οὐκ ἐξαριθμηθήσεται τὰ ἄστρα τοῦ οὐρανοῦ, οὕτως οὐδὲ τὸ σπέρμα ὑμῶν; ἢ τι τὴν ὑπερβολὴν φησὶν, ἢ τοὺς ἀεὶ γινομένους. μᾶς γὰρ οἰκίας δυνατὸν εἰπεῖν τοὺς προγόνους ἀριθμῆσαι, ὁ δεῖνα τοῦ δεῖνος; Ἡθικόν.

Ἐ νταῦθα δὲ τοιαῦται αἱ ἐπαγγελίαι τοῦ θεοῦ, οὕτως δυμήχανοι αὐτοῦ αἱ ὑποχέσεις. εἰ δὲ ἅπερ ἐν προθήκης μέρει ὑπέσχετο, οὕτω θαυμαστὰ, οὕτω παράδοξα, οὕτω μεγαλόδωρα, τίνας ἔσται ἐκεῖνα ὧν ταῦτα προθήκη, ὧν ἐκ περιουσίας ταῦτα; τί οὖν τῶν ἐπιτυγχανόντων μακαριώτερον; τί δὲ τῶν ἀποτυγχανόντων ἀθλιώτερον; εἰ γὰρ πατρίδος τις ἐκβεβλημένος πάντων ἐλεεῖται. καὶ κληρονομίαν ἀπολέσας, δοκεῖ παρὰ πᾶσιν ἐλεεινὸς εἶναι, ὁ τοῦ οὐρανοῦ ἐκπεσών, καὶ τῶν ἀποκειμένων ἀγαθῶν ἐκεῖ, πόσοις ὀφείλει δακρύσι δακρύεσθαι; μᾶλλον δὲ οὐ δεῖ δακρύεσθαι. δακρύεται γάρ τις ὅταν τι πάθῃ, ὧν οὐκ αὐτός ἐστιν αἴτιος. ὅταν δὲ ἐξ οἰκείας γνώμης ἑαυτὸν περιτρέπῃ τῇ κακίᾳ, οὐ δεῖ δακρύων, ἀλλὰ θρηνῶν ἔσται ἄξιος, μᾶλλον δὲ καὶ τότε οὐδέ. ἐπεὶ καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς ἐπὶ τῇ ἐλπίδι καίτοι δυσεβοῦσαν, ἐστέναξε καὶ ἐδάκρυσεν. ὄντως μυρίων ὀδυρμῶν ἄξιοι ἐσμέν, μυρίων θρηνῶν, ἐὰν πᾶσα ἡ οἰκουμένη λαβοῦσα φωνὴν, καὶ λίθοι καὶ ξύλα καὶ δένδρα, καὶ θηρία, καὶ ὄρνιθες καὶ ἰχθύες, καὶ ἁπλῶς πᾶσα ἡ οἰκουμένη ἀναλαβοῦσα φωνὴν ἡμᾶς ὀδύρηται τοὺς ἐκπεπτωκότας τῶν ἀγαθῶν ἐκείνων, οὐδὲν καταξίαν ὀδύρεται οὐδὲν θρηνήσει. ποῖος γὰρ λόγος παραστῆσαι δυνήσεται; ποῖος νοῦς ἐκείνην τὴν μακαριότατα, καὶ τὴν ἀρετὴν ἐκείνην, τὴν ἡδονὴν, τὴν δόξαν, τὴν ἀφροσύνην, τὴν λαμπρότητα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. οὐκ εἶπεν ὅτι ὑπερβαίνει ἁπλῶς, ἀλλ' οὐδὲ ἐνόησε ποτέ τις, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ὧν γὰρ ἑτοιμαστὴς, καὶ παρασκευαστὴς ὁ θεὸς ἀγαθῶν, ποῖα εἰκὸς εἶναι ταῦτα; εἰ γὰρ ποιήσας ἡμᾶς δι' θεὸς οὐδενὸς παρ' ἡμῶν προϋπηργμένου τοσαῦτα ἐχαρίσατο. παρὰ δεισιν, ὁμιλίαν τὴν μετ' αὐτοῦ. ἀθανασίαν ὑπέσχετο, βίον μακάριον, καὶ φροντίδων ἀπηλλαγμένον, τοῖς τοσαῦτα ποιήσασι καὶ πάθημασι, καὶ ὑπὲρ αὐτοῦ ὑπομείνασι, τί οὐ χαρίσεται; τοῦ μονογενοῦς οὐκ ἐφείσατο δι' ἡμᾶς. τὸν υἱὸν τὸν γνήσιον εἰς θάνατον ἔδωκε δι' ἡμᾶς ἐχθροὺς ὄντας, τίνος οὐ κατεξιώσει φίλους γενομένους; τίνος οὐ μεταδώσει καταλλαξάσ ἑαυτῷ; καὶ πλούσιος ἐστὶν σφόδρα ἀπείρως. μὴ ἀπιδυμεῖ, καὶ ἀπουδάζει τῆς ἡμετέρασ φιλίασ τυχεῖν. ἡμεῖς οὐ σπουδάζομεν οὕτως ἀγαπητοί. τί λέγω οὐ σπουδάζομεν; οὐ θέλομεν ὄντως τυχεῖν αὐτοῦ τῶν ἀγαθῶν, ὡς αὐτὸς θέλει. καὶ ὅπι πλέον θέλει, ὃ ἐποίησεν, ἔδωκεν. ἡμεῖς μὲν γὰρ ὑπὲρ ἡμῶν αὐτῶν μόλις ὀλίγου καταφρονοῦμεν χρυσίου. αὐτὸς δὲ ὑπὲρ ἡμῶν καὶ τὸν υἱὸν ἔδωκε τὸν αὐτοῦ. χρησώμεθα εἰς δέον τῇ ἀγάπῃ τοῦ θεοῦ. ἀπολαύσωμεν αὐτοῦ

τῆς φιλίασ.

τῆς φιλίας. ὑμεῖς γὰρ φίλοι μου ἐστέ φησι, ἐὰν ποιῆτε ἃ λέγω ὑμῖν. βαρυὰ τοὺς ἐχθροὺς τοὺς ἀπείρως αὐτῦ διεγνικότας, ὧν ἀσυγκρίτῳ τῇ ὑπερβολῇ κατὰ πάντα διενήνοχε, φύτους φίλους ἐποίησε, καὶ καλεῖ φίλους. τί οὖν οὐχ αἱρετὸν παθεῖν ὑπὲρ τοιαύτης τῆς φιλίας; ὑπὲρ ἀνθρώπων φιλίας, πολλάκις κινδυνεύομεν. ὑπὲρ δὲ τῆς τῦ θεοῦ, οὔτε χρήματα προϊέμεθα. πένθος ὄντως ἄξια τὰ ἡμέτερα, πένθους καὶ δακρύων καὶ ὀδυρμῶν ἢ ὁλοφυρμῦ μεγάλου καὶ κοπετῦ. τῆς ἐλπίδος ἡμῶν ἐξεπέσομεν. ἐταπεινώθημεν ἀπὸ τῦ ὕψους ἡμῶν. ἀνάξιοι τῆς τιμῆς ἐφάνημεν τῦ θεοῦ. ἀγωνόμενοι καὶ μετὰ τὰς δυσεργεσίας γεγόναμεν καὶ ἀχάριστοι. ἐγύμνωσεν ἡμᾶς πάντων ὁ διάβολος τῶν ἀγαθῶν. οἱ καταξιωθέντες εἶναι υἱοί, οἱ ἀδελφοὶ καὶ συγκληρονόμοι, τῶν ἐχθρῶν αὐτῦ οὐδὲν διενηνόχαμεν τῶν ὑβριζόντων αὐτόν. τίς ἡμῖν ἔστω παραμυθία λοιπόν; αὐτὸς ἡμᾶς ἐκάλεσε πρὸς τὸν οὐρανόν. ἡμεῖς δὲ ἑαυτοὺς πρὸς τὴν γέενναν ὠθήσαμεν. ἀρά, καὶ ψόφος, καὶ κλοπή, ἢ μοιχεία κέχυται ἐπὶ τῆς γῆς. οἱ μὲν, αἵματα ἐφ' αἵμασι μιγνύουσιν, οἱ δὲ, πράγματα πράττουσιν αἱμάτων χείρονα. πολλοὶ τῶν ἀδικουμένων, πολλοὶ τῶν πλεονεκτουμένων, μυρίους δύχονται θανάτους, ἢ ζῶντα παθεῖν. καὶ εἰ μὴ τὸν τῦ θεοῦ φόβον ἐδεδίκεσαν, καὶ διεχειρίσαντο ἑαυτοὺς οὕτως φονῶντες καθ' ἑαυτῶν. ζῶντ' οὖν οὐχ αἱμάτων χείρω; οἴμοι ψυχὴ ὅσα ἀπόλωλεν ὑλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. νῦν δὲ καὶ ἡμεῖς βοήσομεν περὶ ἡμῶν αὐτῶν πρῶτον. ἀλλά μοι τῦ θρηνῦ συλλάβεσθε. τάχα πινὲς καὶ οἰωνίζονται καὶ γελῶσι. δεῖ γὰρ ἔδη χρὴ ἐπιτείνειν τὸν θρῆνον, ὅπ οὕτω μανώμεθα μὴ παρατασώμεθα, καὶ ὅτι μανόμεθα οὐ δεδίσμεν. ἀλλ' ἐφ' οἷς ἐχρῆν πένεσθαι, γελῶμεν. ἀποκαλύπτεται αὐθρωπε ὀργὴ ἀπ' οὐρανοῦ. ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων, ὁ θεὸς ἐμφανῶς ἥξει. πῦρ ἐναντίον αὐτῦ προπορεύσεται, καὶ κύκλῳ αὐτῦ καταιγὶς σφοδρά. πῦρ ἐνώπιον αὐτῦ καυθήσεται, καὶ φλογεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτῦ, ἡμέρα κυρίῦ ὡς κλίβανος καιομένος, καὶ οὐδεὶς ταῦτα εἰς νοῦν βάλλεται. ἀλλὰ μύθων μᾶλλον καταφρόνηται τὰ φρικώδη ταῦτα πράγματα, καὶ φοβερὰ, καὶ ἀπάπτηται. ὁ ἀκούων, οὐδεὶς, οἱ δὲ γελῶντες καὶ χλευάζοντες, πάντες. τίς ἔστιν ἡμῖν πόρος; πόθεν σωτηρίαν δύρωμεν; ἀπολώλαμεν, παρανενάλωμεθα, γεγόναμεν τῶν ἐχθρῶν ἡμῶν καταγέλως, καὶ χλευασμὸς τῶν ἑλλήνων, καὶ τῶν δαιμόνων. μέγα φρονεῖ νῦν ὁ διάβολος, γαυροῦται καὶ χαίρει. ἐν αἰχμῇ οἱ πιστευθέντες ἡμᾶς ἄγγελοι, ἐν κατηφείᾳ. οὐδεὶς ὁ ἐπιστρέφων. εἰκῆ πάντα ἡμῖν ἀνάλωται, καὶ ἡμεῖς ὑμῖν δοκοῦμεν λυπεῖν. δύκαιρον καὶ νῦν καλέσαι τὸν οὐρανὸν, ὅσα οὐδεὶς ὁ ἀκούων. διαμαρτύρασθαι τὰ στοιχεῖα. ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ, ὅτι κύριος ἐλάλησε. δότε χεῖρα, ὀρέξατε οἱ μηδέπω καταβαπτισθέντες, τοῖς νῦν τοῖς μέθης ἀπολωλόσιν, οἱ ὑγιαίνοντες, τοῖς κάμνουσιν, οἱ νήφοντες, τοῖς μανομένοις, τοῖς περιφερομένοις. μηδεὶς παρακαλῶ τῆς σωτηρίας τῦ φίλου τὰ πρόσωπα, καὶ ἡ ὕβρις, καὶ ἡ ἐπιτίμησις εἰς ἓν ὁράτω μόνων αὐτῦ τὴν ὠφέλειαν, ὅταν τοῦ ῥεῦς καταλάβῃ, καὶ δοῦλοι κρατῦσι δεσποτῶν. ὅταν γὰρ ἐκεῖνος μὲν ἐπικέηται τὴν ψυχὴν συγχέων, ἀνδραπόδων δὲ ἐσμὸς παρεισήκει, οὐδεὶς ἐπιγνώσεται τὸν νόμον τὸν δεσοπ-

κὸν ἐν τῇ βλάβῃ τῦ θεοῦ. συχρέ-φωμεν ἑαυτοὺς παρακαλῶ, πόλεμοι καθημε-ερνοί, καταπονϖσμοὶ, ἀπώλειαι μυρίαι κύκλῳ, καὶ πάντοθεν ἡ ὀργὴ τῦ θεοῦ ἡμᾶς περιστοιχίζεται. ἡμεῖς δὲ ὡς δύαρεστοῦντες, οὕτως ἐσμὲν ἐν ἀθυμίᾳ πάντες. τὰς χεῖρας εἰς πλεονεξίαν δύτρεπίζομεν, οὐθεὶς εἰς βοήθειαν. πάντες εἰς ἁρπαγὴν, οὐθεὶς εἰς πρϖτασίαν. ἕκαστος πῶς πλείονα τὰ ὄντα ποιήσει ἐπιτύγχανει. οὐθεὶς πῶς βοη-θήσει τῷ δεομένῳ, ἕκαστος πῶς προσθῇ τοῖς χρήμασι πολλῷ ἔχει τὴν μέριμναν, οὐθεὶς ὅπως τὴν ψυχὴν τὴν ἑαυτῦ διασώσῃ. φόβος εἷς ἔχει πάντας, μὴ πενιχροὶ φησι γενώμεθα. μὴ εἰς γέενναν ἐμπέσωμεν, οὐθεὶς ἀγωνιᾷ, καὶ τρέμει. ταῦτα θρή-νων, ταῦτα κατηγορίας, ταῦτα διαβολῆς ἄξια. ἀλλ' οὐ ταῦτα ἐβουλόμην λέγειν, ἀλλ' ὑπὸ τῆς ὀδύνης βιάζομαι. σύγγνωτε, ὑπὸ τῦ πένθους ἀναγκάζομαι, πολλὰ καὶ ὧν οὐ βούλομαι φθέγγεσθαι. χαλεπὸν ὁρῶ τὴν ἀπειλὴν, ἀπαραμύθητον τὴν συμ-φορὰν, παρακλήσεως μείζονα τὰ καταλαβόντα ἡμᾶς δεινὰ, ἀπολώλαμεν. τίς δώσει τῇ κεφαλῇ μῦ ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μῦ πηγὴν δακρύων, ἵνα θρηνήσω κλαύσωμεν ἀγαπητοὶ κλαύσωμεν, πενθήσωμεν. τάχα τινὲς εἰσὶν ἐν ταῦθα λέγοντες πάν-τα θρυλλούμενα ἡμῖν λέγει, πάντα δάκρυα, οὐκ ἐβουλόμην, πεπλύσατε, οὐκ ἐβουλόμην. ἀλλ' ἐγκώμια καὶ ἐπαίνους διεξιέναι. νυνὶ δὲ τούτων ὁ καιρός. οὐ τὸ θρυλεῖν ἀγα-πητοὶ χαλεπόν, ἀλλὰ τὸ θρυλλούμενα ἄξια ποιεῖν. οὐ τὸ ὀδύρεσθαι ἀποτρόπαιον, ἀλλὰ τὸ ὀδυρμῶν ἄξια πράττειν. μὴ κολαθῆς, καὶ οὐ πενθῶ, μὴ ἀποθάνῃς, καὶ οὐ κλαίω. ἀλλ' ἐὰν μὲν τὸ σῶμα κεῖται νεκρὸν, πάντας παρακαλεῖς συναλγεῖν, καὶ ἀσυμπα-θεῖς ἤγῃ τοὺς μὴ πενθοῦντας, τῆς δὲ ψυχῆς ἀπολλυμένης λέγεις μὴ πενθεῖν. ἀλλ' οὐ δύναμαι πατὴρ εἶναι μὴ δακρύων. πατὴρ εἰμὶ φιλόστοργος. ἀκούετε οἷα βοᾷ παῦλος. τέκνα μῦ οὓς πάλιν ὠδίνω. ποία μήτηρ κύουσα, οὕτω πικρὰς ἀφίησι φωνὰς, ὡς ἐκεῖ-νος; εἰ δὲ ἐνῆν τὴν θυρὰν αὐτὴν τῆς διανοίας ἰδεῖν, καὶ εἶδες ἄν, ὅτι πάσης γυ-ναικὸς, καὶ κόρης χηρείαν ἄωρον ὑποφαίνης, πλέον κλαίομαι. οὐχ οὕτως ἐκείνη τὸν ἄν-δρα πενθεῖ τὸν αὑτῆς, οὐδὲ πατὴρ ὢν, ὡς ἐγὼ τὸ πλῆθος θάπτω τὸ παρ' ἡμῶν. οὐ δὲ μίαν ὁρῶ προκοπὴν, πάντα εἰς διαβολὰς, καὶ κατηγορίας. οὐθεὶς ἔργον τίθεται ἀ-ρέσκειν θεῷ. ἀλλὰ τὸν δεῖνα φησὶν εἴπωμεν κακῶς, καὶ τὸν δεῖνα. ὁ δεῖνα ἀνάξιος τῦ κλήρου. ὁ δεῖνα ἀσέμνως βιοῖ. ὀφείλοντες τὰ ἡμέτερα πενθεῖν κακὰ, κείνομεν ἑτέ-ρους, οὐδὲ ὅτε καθαροὶ ἐσμὲν ἁμαρτημάτων, ὀφείλοντες θάπτω ποιεῖν. τίς γάρ σε δια-κρίνει φησί; τί ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι, ὡς μὴ λαβών; σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου, μυρίων αὐτὸς γέμων κακῶν; ὅταν εἴπῃς ὁ δεῖνα πο-νηρός ἐστιν, καὶ λυμεὼν, καὶ μοχθηρὸς, ἀνάκρισον σαυτὸν, καὶ ἐξέτασον ἀκριβῶς τὰ σαυ-τοῦ, καὶ μεταμελήσει σοι τῶν τοιούτων λεχθεῖσιν. οὐ γάρ ἐστιν, οὐκ ἔστι προτροπὴ τοιαύ-τη, οἷον ἁμαρτημάτων ἀνάμνησις. ἐὰν ταῦτα τὰ δύο φρέφωμεν παρ' ἑαυτοῖς, δυ-νησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν. δυνησόμεθα καθαίρειν ἑαυτοὺς, καὶ ἀποσμήχειν. μόνον λάβωμεν ποτὲ, μεμνήσωμεν τὸ πρᾶγμα ἀγαπητοί. ἀληθῶς ἐν ταῦθα τῷ

ἐνταῦθα τῷ λογισμῷ, ἵνα μὴ ἀλγήσωμεν ἐκεῖ τῇ κολάσει. ἀλλ' ἵνα ἀπολαύσωμεν τῶν αἰωνίων ἀγαθῶν, ἔνθα ἀστέρες ὀδυνῶν, λύπη, καὶ στεναγμὸς, ἵνα τύχωμεν τῶν ὑπερβαινόντων τὸν ἄνθρώπινον νοῦν ἀγαθῶν, ἐν χριστῷ ἰησοῦ.

Λόγος, κδ'.

» Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐ-
» τὰς ἰδόντες, καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες, ὅτι ξένοι, καὶ παρεπίδημοί εἰσιν ἐπὶ
» τῆς γῆς. οἱ γὰρ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν, ὅτι πατρίδα ἐπιζητοῦσι. καὶ εἰ μὲν ἐκείνης
» ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι. νυνὶ δὲ κρείττονος ὀρέγονται,
» τουτέστιν ἐπουρανίου. διὸ ὁ θς οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θς, θς ἐπικαλεῖσθαι αὐτῶν.
» ἡτοίμασε γὰρ αὐτοῖς πόλιν. Ἡ πρώτη ἀρετὴ, καὶ ἡ πᾶσα ἀρετὴ, τὸ ξένον εἶναι τοῦ κό-
σμου τούτου, καὶ παρεπίδημον, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὰ ἐνταῦθα πράγματα, ἀλλὰ
ἀπηρτῆσθαι αὐτῶν, ὥσπερ ξένων. καθάπερ οἱ μακάριοι μαθηταὶ ἐκεῖνοι. περὶ ὧν φη-
σὶ, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι,
ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. ἐκεῖνοι μὲν οὖν ξένους ἑλέγοντο ἑαυτούς. ὁ δὲ παῦλος, πολλῷ τὸ
πλέον εἶπεν. οὐ γὰρ ξένον ἑαυτὸν εἶπεν, ἀλλὰ νεκρὸν εἶπε τῷ κόσμου, καὶ τὸν κόσμον αὐ-
τῷ νεκρόν. ἐμοὶ γὰρ φησι κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. ἀλλ' ἡμεῖς, καὶ πολῖται,
καὶ σφόδρα ζῶντες, ὡς πολῖται, οὕτως πάντα ἐνταῦθα πραγματευόμεθα. καὶ ὅπερ
ἦσαν τῷ κόσμῳ οἱ δίκαιοι, ξένοι, καὶ νεκροὶ, τοῦτο ἡμεῖς ἐσμὲν τῷ οὐρανῷ. ὅπερ δὲ ἦσαν ἐ-
κεῖνοι τῷ οὐρανῷ ζῶντες, καὶ πολιτευόμενοι, τοῦτο ἡμεῖς ἐσμὲν τῷ κόσμῳ. διὸ τοῦτο τεθνήκα
μεν, ὅτι τῷ ὄντως ζωῇ ἠρνησάμεθα, καὶ τὴν πρόσκαιρον ταύτην εἰλόμεθα. διὸ τοῦτο
παρωξύναμεν τὸν θεὸν, ὅτι προκειμένης ἡμῖν τῆς ἐν οὐρανοῖς ἀπολαύσεως, οὐδὲ τῶν ἐπὶ
τῆς γῆς ἀποφῆναι βουλόμεθα, ἀλλὰ καθάπερ τινὲς σκώληκες ἀπὸ τῆς γῆς, εἰς τὴν γῆν,
καὶ πάλιν ἀπὸ ταύτης, εἰς ταύτην περιφερόμεθα, καὶ ὅλως οὐδὲ μικρὸν ἀνακύπτομεν

λόμεθα, οὐδὲ

λόμεθα, οὐδὲ ἀποφῆσαι ἑαυτοὺς τῶν ἀνθρωπίνων πραγμάτων. ἀλλ' ὥσπερ ὑπόπινος ἀφ' ἑνὸς, καὶ ὕπνου, καὶ μέθης καταβαρηθέντες, καταπλήττεσθαι φαντάζομεν. καὶ καθάπερ οἱ γλυκεῖ κατεχόμενοι ὕπνῳ, οὐ μόνον ἐν νυκτὶ, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὄρθρου καταλαβόντος, καὶ λαμπρᾶς γενομένης ἡμέρας κεῖνται τῇ κλίνῃ. καὶ οὐκ ἀνίσχουσι τῇ ἡδονῇ χαιρόμενοι, καὶ τὸν καιρὸν τῆς ἐργασίας, καὶ τῆς σπουδῆς τοῦτον, καιρὸν ποιούμενοι ὕπνου, καὶ νωθείας. οὕτω δὴ καὶ ἡμεῖς, τῆς ἡμέρας ἐγγιζούσης, τῆς νυκτὸς προποδούσης, μᾶλλον δὲ τῆς ἡμέρας, ὡς ἐργάζεσθε φησὶν, ὡς ὄντι ἡμέρας, ἡμέρας οὔσης, τὰ τῆς νυκτὸς πράττομεν ἅπαντα, καθεύδοντες, ὀνείρατα βλέποντες, φαντασίας ἐντρυφῶντες. καὶ μεμύκασιν ἡμῖν, οἱ τῆς διανοίας ὀφθαλμοὶ, καὶ οἱ τοῦ σώματος. παραφθεγγόμεθα παραλαλοῦμεν, κἂν βαθεῖαν ἡμᾶς πλήξῃς πληγὴν, οὐδὲ αἰσθανόμεθα, κἂν πᾶσαν ἡμῶν διαρπάσῃ τὴν οὐσίαν, κἂν αὐτὴν ἐμπρήσῃ τὴν οἰκίαν. μᾶλλον δὲ οὐδὲ ἀναμένομεν ἑτέρους ταῦτα ποιεῖν, ἀλλ' αὐτοὶ ταῦτα πράττομεν κεντοῦντες ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, καὶ πλήττοντες ἀχημόνως κείμενοι, καὶ γεγυμνωμένοι πάσης δυσθείας, πάσης τιμῆς, καὶ τὰ αἰσχρὰ ἡμῶν ἔργα, οὔτε αὐτοῖ συγκαλύπτοντες, οὔτε ἑτέροις ἐπιτρέποντες ταῦτα ποιεῖν, ἀλλ' εἰς μέσην ἀχημοσύνῃ τῆς ὁρῶσι, καὶ παιζουσι προκείμενοι εἰς γέλωτα, εἰς σκώμματα μυρία. οὐκ οἴεσθε, καὶ αὐτοὺς τοὺς πονηροὺς καταγελᾶν τῶν ὁμοτρόπων, καὶ καταγινώσκειν αὐτῶν; ὅπερ δὴ γὰρ ἡμῖν ἐντέθεικεν ὁ θεὸς διαφθαρτικὸν ἀδέκαστον, οὐδέποτε διαφθειρόμενον, κἂν εἰς αὐτὸν τῆς κακίας εἰσέλθωμεν τὸν τυθμένα. τούτου χάριν, καὶ αὐτοὶ οἱ πονηροὶ καταδικάζουσιν ἑαυτοὺς, κἂν αὐτοὺς καλέσῃς, ταῦτα ὅπερ εἰσὶν, αἰσχύνονται, ὑβρίζονται, ὕβριν τὸ πρᾶγμα φασί. οὕτως εἰ καὶ μὴ διὰ ἔργων, ἀλλὰ διὰ λόγων καταδικάζουσιν ἅπερ πράττουσι διὰ τὸ συνειδὸς. μᾶλλον δὲ καὶ διὰ τῶν ἔργων. ὅταν γὰρ λανθάνοντες, καὶ κρυπτόμενοι πράττωσι, μέγιστον ἐνφέρουσι δεῖγμα γνώμης, ἣν τε εἰ τὸ πράγματος ἔχουσιν. οὕτω γὰρ δῆλόν ὅτιν ἡ κακία, ὡς πάντας αὐτῆς εἶναι κατηγόρους, καὶ τοὺς μετέχοντας αὐτήν. τοσοῦτόν δέ ὅτιν ἡ ἀρετὴ, ὡς καὶ παρ' ἐκείνων θαυμάζεσθαι τῶν μὴ ζηλούντων αὐτήν. καὶ γὰρ ὁ πόρνος ἐπαινέσεται τὴν σωφροσύνην, καὶ ὁ πλεονέκτης κατηγώσεται τῆς ἀδικίας, καὶ ὁ ὀργίλος τὴν ἀνεξικακίαν θαυμάσεται, καὶ τὴν μικροψυχίαν μέμψεται, καὶ τὴν ἀσέλγειαν, ὁ ἀσελγής. πῶς οὖν αὐτὰ μέτεισι φῆς ἀπὸ ῥᾳδυμίας πολλῆς, οὐ κρίνας εἶναι καλόν. ἐπεὶ οὐδ' ἂν ἠγωνίθη τῷ πράγματι. οὐδ' ἂν ἠρνήσατο κατηγορουμένου ἑτέρου. πολλοὶ δὲ καὶ προλειφθέντες, τὴν αἰσχύνην οὐ φέροντες, καὶ ἀπήγξαντο. τοσαύτη τὸ καλοῦ, καὶ πρέποντες ἐνεστιν ὑμῖν ἡ μαρτυρία. οὕτως ἡλίου λαμπρότερα τὰ καλὰ, καὶ πάντων δυσειδέστερα τὰ ἐναντία. ξένοι ἦ παρεπίδημοι ἦσαν οἱ ἅγιοι. πῶς καὶ τίνι τρόπῳ; ποῦ δὲ ὁμολογεῖ ὁ Ἀβραὰμ ξένος εἶναι ἦ παρεπίδημος; ἴσως μὲν ἦ αὐτὸς ὡμολόγησεν. ὡμολόγησε δὲ καὶ ὁ Δαβὶδ, ὅτι ξένος εἰμί. καὶ τί, καθάπερ πάντες οἱ πατέρες μου. οἱ γὰρ ἐν σκιωμαῖς καθιζοντες οἱ ἀργυρείου καὶ ταφους ὠνούμενοι, δῆλον ὅτι ξένοι τινὲς ἦσαν, ὥστε μὴ δὲ ὅπου θάψουσι τοὺς αὐτῶν, ἔχοντες. τί οὖν ἄρα τῆς γῆς ἐκείνης ἔλεγον εἶναι ξένοι τῆς ἐν παλαιστίνῃ; οὐδαμῶς. ἀλλὰ τῆ

οἰκουμένης

οἰκουμένης πάσης. εἰκότως. οὐδὲν γὰρ ἐθεώρουν ἐν αὐτῇ τούτων ὧν ἐβούλοντο, ἀλλὰ πάντα ξένα, καὶ ἀλλόφρια. αὐτοὶ μὲν οὖν τὴν ἀρετὴν ἀσπεῖν ἠβούλοντο. ἐνταῦθα δὲ ἦν κακία πολλή, καὶ ἀπεξένωτο πρὸς αὐτοὺς τὰ πράγματα. οὐδένα φίλον, οὐδένα οἰκεῖον εἶχον, πλὴν ὀλίγων τινῶν. πῶς δὲ ξένοι ἦσαν; οὐκ ἐπεμελοῦντο τῶν ἐνταῦθα. καὶ οὐχ οὐ μόνον ῥημάτων, ἀλλὰ καὶ μόνον πραγμάτων αὐτῶν ἐδείκνυον. τίνι τρόπῳ; εἶπε τῷ Ἀβραάμ, ἄφες τὴν παρθένον τὴν δεκοῦσαν, καὶ ἐλθέτω τὴν ἀλλοτρίαν, καὶ οὐκ ἀνέσχετο τῶν οἰκείων, ἀλλ' ὡς ξένην μέλλων ἀφιέναι, οὕτως οὐ προσεποιεῖτο αὐτὴν εἶναι. εἶπεν αὐτῷ, ἀνένεγκαι τὸν υἱόν φησι, καὶ ὡς οὐκ ἔχων υἱόν, οὕτως αὐτὸν ἀνήνεγκεν, ὡς οὐκ ἐνδεδυμένος τὴν φύσιν, οὕτως αὐτὸν ἀνήνεγκε. τὰ χρήματα κοινὰ ἐκέκτητο τοῖς παροῦσιν ἅπασι, καὶ οὐδὲν τὸ πρᾶγμα ἦγετο. τῶν πρωτείων ἑτέροις παρεχώρει, εἰς κινδύνους ἑαυτὸν ἐνέβαλε, μυρία ἔπαχε δεινά, οὐκ οἰκίαις ὠκοδόμει λαμπράς, οὐ δὲ ἐτρύφα, οὐδὲ ἱματίων ἐπεμελεῖτο, ἃ πάντα δι' ἃ τῶν ἐνταῦθα, ἀλλὰ πάντα τὰ τῆς ἐκεῖ πόλεως ἐπολιτεύετο. φιλοξενίαν ἐπεδείκνυτο, φιλαδελφίαν, ἐλεημοσύνην, ἀνεξικακίαν, ὑπεροψίαν χρημάτων, καὶ τῆς παρούσης δόξης, καὶ τῶν ὄντων ἁπάντων. καὶ ὁ τούτου παῖς τοιοῦτος ἦν, ἐλαυνόμενος πολεμούμενος, εἶκε καὶ παρεχώρει, ἅτε ἐν ξένῃ ὤν. οἱ μὲν ξένοι, ὅσα ἂν πάθωσι, φέρουσιν, ἅτε οὐκ ὄντες ἐν πατρίδι. καὶ τῆς γυναικὸς ἀφαιρουμένης, καὶ δοῦναι ἐφέρεν, ἅτε ξένος. τὰ δὲ ἄνω πάντα ἐπολιτεύετο, σωφροσύνην, κοσμιότητα ἐπιδεικνύμενος, καὶ γὰρ μετὰ τὸ παιδοποιῆσαι, οὐκέτι ὡμίλησε τῇ γυναικί. καὶ παρελθούσης τῆς ἀκμῆς τῆς νεότητος, τότε αὐτὴν ἠγάγετο, δεικνὺς ὅτι οὐ πάθους ἕνεκεν ἔδωκε ποιεῖ, ἀλλὰ ὑπηρετούμενος τὴν ἐπαγγελίαν τοῦ θεοῦ. τί δὲ οἰακῶδες, οὐχὶ ἄρτον ἐζήτει μόνον, καὶ ἱμάτιον, ἃ ξένων ἐστὶν ὄντως αἰτήματα τῶν εἰς ξενιτείαν ἐληλυθότων πολλῷ; οὐχὶ ἐλαυνόμενος ἀνεχώρει καθάπερ ξένος; οὐχὶ ἐθήτευεν; οὐχὶ μυρία ἔπαχε δεινὰ πανταχοῦ καθάπερ ξένος; ταῦτα δέ φησιν ἔλεγχον, τὴν πατρίδα ζητοῦντες τὴν ἑαυτῶν. βαβαὶ πόση διαφορά. ἐκεῖνοι μὲν ὠδίνων καθ' ἑκάστην ἡμέραν, ἀπαλλαγῆναι βουλόμενοι ἐντεῦθεν, καὶ πρὸς τὴν αὐτῶν πατρίδα ἐπανελθεῖν. ἡμεῖς δὲ τοὐναντίον αὖ, πυρετὸς ὑπισχνεῖται, πάντα ἀφέντες, καθάπερ τὰ παιδία τὰ μικρά, τὰ κλαυθμυριζόμενα, τὸν θάνατον δεδοίκαμεν. καὶ εἰκότως ταῦτα πάσχομεν. ἐπειδὴ γὰρ οὐχ ὡς ξένοι διάγομεν ἐνταῦθα, καὶ οὐχ ὡς ὑπὸ πατρίδα πεύσομεν, ἀλλ' ὡς ὑπὸ πόλασιν ἀπόντες ἐσμὲν, διαπαντὸς ἀλγοῦμεν, ὅτι τοῖς πράγμασιν, οὐκ ἐχρησάμεθα, εἰς δέον, ἀλλὰ τὴν τάξιν ἀντεστρέψαμεν. διαπαντὸς ὀδυρόμεθα, ὅτε χαίρειν ἐχρῆν διαπαντὸς φρίττομεν καθάπερ τινὲς ἀνδροφόνοι, μὴ λήσαρχοι, μέλλοντες δικαστηρίῳ παρίστασθαι, καὶ πάντα λογιζόμενοι, ἅπερ ἔπραξαν, διαπαντὸς δεδοικότες, μὴ τρέμοντες. ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτοι, ἀλλ' ἠσεί γον τὸ, ὁ δὲ παῦλος, καὶ ἐστέναξε. μὴ αὖ τί φησιν οἱ ἐν τῷ σκιρτᾶν ὄντες, στενάζομεν βαρούμενοι. τοιοῦτοι ἦσαν οἱ πρὸ τοῦ Ἀβραάμ. ξένοι φησὶν ἦσαν τῆς οἰκουμένης ἁπάσης, καὶ πατρίδα ἐζήτουν. ποίαν δὴ ταύτην; ἆρα ἣν εἶχον; οὐδαμῶς. τί γὰρ ἐκώλυεν αὐτοὺς, εἴγε ἐβούλοντο, ὑποστρέψαι πάλιν, καὶ γενέσθαι πολίτας; ἀλλ' ἐκείνην ἐζήτουν τὴν ἐν τοῖς οὐρανοῖς. οὕτως πρὸς τὴν ἀποδημίαν τὴν ἐνθένδε ἐσπευδον. καὶ οὕτως ἤρεσκον θεῷ. ὅπου οὐκ ἐπαισχύνεται ὁ θς, θς καλεῖσθαι αὐτῶν.

βαβαὶ ὅσον

Βαβαὶ ὅσον ἀξίωμα, θῦ κληθῆναι αὐτῶν κατεδέξατο. τί λέγεις; θῦ τῆς γῆς κληθῆναι, καὶ θῦ τ οὐρανοῦ, καὶ ὡς μέγα π τέθεικας τὸ οὐκ ἐπαισχύνεσθαι θῦ κληθῆναι αὐτῶν; μέγα καὶ ὄντως μέγα, καὶ πολλῆς μακαριότητος ἄξιον τεκμήριον. πῶς; ὅτι γῆς μὲν καὶ οὐρανοῦ, οὕτω κληθῆναι θῦ, ὡς καὶ ἑλλιώων θῦ, ἡ ἔκτισε, καὶ ἐδημιούργησεν αὐτά. τῶν δὲ ἁγίων ἐκείνων, οὐχ οὕτως, ἀλλ' ὡς φίλος ζῆς γνήσιος. ἵνα δὲ ὑποδείγματος ὑμῖν αὐτὸ ποιήσω φανερόν. οἷον, ἵνα τῶν ἐν ταῖς μεγάλαις οἰκίαις. ὅταν τινὲς δοῦλοι δοκιμῶσι τῶν προεστηκότων τῆς οἰκίας, καὶ σφόδρα δοῦλοι δοκιμῶσι, καὶ πάντα αὐτοῖς διέπωσι, μὴ πρὸς τοὺς δεσπότας πολλὴν τὴν παῤῥησίαν ἔχουσιν, ἀφ' ὧν αὐτῶν ὁ δεσπότης κληθῆναι, μὴ πολλοὺς αὖτις δοῦλοι οὕτω καλουμένους. τί δὲ λέγω; ὥσπερ ἦν εἰπεῖν, ὁ θῦ οὐχ ὁ τῶν ἐθνῶν, ἀλλ' ὁ τῆς οἰκουμένης, οὕτως ἦν εἰπεῖν ὁ θῦ Ἀβραάμ. ἀλλ' οὐκέτε ὅσον δῦναι ἀξίωμα ἔχει, ἐπεὶ μὴ δὲ τυγχάνομεν αὐτοῦ. ὥσπερ γὰρ νῦν ὁ κς τῶν χριστιανῶν ἁπάντων λέγεται, καὶ ὅμως ὑπερβαίνει τὸ ὄνομα τὴν ἡμετέραν ἀξίαν. εἰ δὲ ἑνὸς κλιθείη θῦ, ἐννόησον ὅσον τὸ μέγεθος. ὁ τῆς οἰκουμένης θῦ, οὐκ ἐπαισχύνεται πολιῶν καλεῖσθαι θῦ, εἰκότως. οὐ γὰρ τῆς οἰκουμένης, ἀλλὰ μυρίων τοιούτων εἰσὶν ἀντίῤῥοποι οἱ ἅγιοι. κρείττων γὰρ εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μυρίοι παρανόμοι. ὅτι δὲ οὕτως ἑαυτοὺς ξένους ἐκάλουν, δῆλον. ἐγὼ δὲ οὐ τοῖς αὐτὴν τὴν ξενίαν ἔλεγον εἶναι ξένοι, τί δαὶ καὶ ὁ Δαυΐδ, οὐχὶ καὶ βασιλεὺς ἦν; οὐχὶ πρωφήτης; οὐχὶ ἐν τῇ οἰκίᾳ παντοίᾳ διέτριβε; τίνος οὖν ἕνεκεν φησὶ ξένος καὶ παρεπίδημος εἰμί; πῶς εἰ ξένος; καθὼς πάντες οἱ πατέρες μου. ὁρᾷς ὅτι καὶ κεῖνοι ξένοι ἦσαν; ἔχομεν πατρίδα φησὶν, ἀλλὰ τὴν ὄντως πατρίδα. πῶς δὲ σὺ ξένος; τῆς γῆς. οὐκοῦν κἀκεῖνοι τῆς γῆς. καθὼς γάρφησιν ἐκεῖνοι, οὕτω κἀγὼ, καὶ καθὼς οὗτος, οὕτω κἀκεῖνοι, γενώμεθα ξένοι κἂν νοῦν, ἵνα μὴ ἐπαισχυνθῇ ἡμᾶς ὁ θῦ θῦ κληθῆναι ἡμῶν. οὐκ αἰσχύνη γὰρ αὐτῷ ὅταν ἀνδρῶν πονηρῶν κληθῆναι θῦ, καὶ ἐπαισχύνεται αὐτοὺς καὶ αὐτός, ὥσπερ οὖν δοξάζεται, ὅταν ἀγαθῶν ᾖ, καὶ χρηστῶν, καὶ ἀσκούντων ἀρετήν. εἰ γὰρ ἡμεῖς παραιτούμεθα κληθῆναι πονηρῶν ἡμῶν δούλων, καὶ ἀφίεμεν αὐτοὺς, κἂν εἰ πολιῶν ὁ δεῖνα μυρίας ἐργάζεται κακά, ἆρα σὸς δοῦλος ἐστίν; οὐ θεὸς φαμὲν, ὅτι οὐδαμῶς, ἀποτρεπόμενοι τὸ ὄνειδος. σχέσις γάρ ἐστι τῷ δούλῳ πρὸς τὸν δεσπότην, καὶ διαβαίνει ἡ ἀδοξία, καὶ εἰς ἐκεῖνον ἀπ' ἐκείνου. ἀλλ' ἐκεῖνοι οὕτως ἦσαν λαμπροὶ, οὕτως παῤῥησίασο μετοί, ὡς μὴ μόνον αὐτὸν, μὴ ἐπαισχύνεσθαι παρ' ἐκείνων καλούμενον, ἀλλὰ καὶ ἑαυτὸν λέγειν. ὅτι ἐγὼ ὁ θῦ Ἀβραάμ, καὶ ὁ θῦ Ἰσαάκ, καὶ ὁ θῦ Ἰακώβ.

Η΄ Ἦθον.

Γενώμεθα καὶ ἡμεῖς ἀγαπητοὶ ξένοι, ἵνα μὴ ἐπαισχυνθῇ ἡμᾶς ὁ θῦ, ἵνα μὴ ἐπαισχυνθῇ, καὶ τῇ γεέννῃ παραδῷ. τοιοῦτοι ἦσαν ἐκεῖνοι οἱ λέγοντες, κέ, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ τῷ σῷ ὀνόματι δαιμόνια πολλὰ ἐποιήσαμεν; ἀλλ' ὁρᾶτε τί φθέγγεται πρὸς αὐτοὺς ὁ χς. οὐκ οἶδα ὑμᾶς, ὅπερ αὖ ποιήσειαν δεσπόται οἰκετῶν πονηρῶν προσπεσόντων αὐτοῖς, βουλόμενοι τὸ ὄνειδος ἀποτρέψασθαι. οὐκ οἶδα ὑμᾶς φησί. πῶς οὖν κολάζεις, ὃς

λάξεις οὓς οὐκοῖδας; οὐκοῖδα ἑτέρως εἶπον, τοῦτ' ἔστιν ἀρνοῦμαι ὑμᾶς, καὶ παραιτοῦμαι. ἀλλὰ μὴ γένοιτο τοῦτον ἡμᾶς ἀκοῦσαι τὸν φωνὴν τὴν ἀλήθειαν, καὶ φεύγω. εἰ γὰρ οἱ δαίμονας ἐκβάλλοντες, καὶ προφητείας ἐργαζόμενοι, ὅτε δὴ βίον οὐκ ἔχον συμβαίνοντα ἠρνήθησαν, πόσῳ μᾶλλον ἡμεῖς. καὶ πῶς φησιν ἐνὶ προφητείας ὑπιδείξαμένους, καὶ σημεῖα ποιήσαντας, καὶ δαιμόνια ἐκβαλόντας, ἀρνηθῆναι; εἰκὸς αὐτοὺς ὕστερον μεταβεβλῆσθαι, καὶ γενέσθαι πονηρούς. ὅθεν οὐδὲν ἀπώναντο, οὐδὲ τῆς προτέρας ἀρετῆς. οὐ γὰρ τὰ προοίμια δεῖ μόνον ἔχειν λαμπρὰ, ἀλλὰ καὶ τὸ τέλος λαμπρότερον. εἰκότως γάρμοι, ὁ ῥήτωρ οὐχὶ τὰ ἐν τῷ τέλει τοῦ λόγου ποιοῦσι λαμπρὰ, ὥστε μετὰ κρότων ἀναχωρεῖν; οὐ τὰ ὑπ' ἐξόδῳ τῆς λειτουργίας λαμπρότερα ὑπιδείκνυται; ὁ ἀθλητὴς ἐὰν μὴ ἐκεῖνα δείκνυῃ λαμπρότερα, καὶ μέχρι τέλους νικήσῃ, κἂν πάντας νικήσας νικηθῇ ὑπὸ τοῦ τελευταίου, οὐχὶ πάντα αὐτῷ ἀνόνητα; ὁ κυβερνήτης οὐ ἅπαν τὸ πέλαγος διαλάβῃ πρὸς τῷ λιμένι καταῤῥάξας τὸ σκάφος, οὐχὶ πάντα ἀπώλεσε τὸν ἔμπροσθεν πόνον; τί δὲ ὁ ἰατρὸς οὐχὶ ἐὰν ἀπαλλάξας τὸν κάμνοντα, ἐὰν ὅταν μέλλῃ τέλεον ἀπαλλάττειν, τότε διαφθείρῃ, οὐχὶ τὸ πᾶν διέφθειρεν; οὕτω καὶ ὧν τῆς ἀρετῆς ὅσοι μὴ τῇ ἀρχῇ ἀκόλουθον τὸ τέλος ὑπέδηκαν, καὶ σύμφωνον, καὶ σωφρόνον, ἀπώλοντο καὶ διεφθάρησαν. τοιοῦτοί εἰσιν οἱ ἀπὸ μὲν τῶν βαλβίδων αὐτῶν λαμπροὶ, καὶ γαῦροι προσπηδήσαντες, μεταξὺ δὲ ἐκλυθέντες, καὶ χαῦνοι γενόμενοι. διὸ καὶ τοῦ βραβείου ἀπεστερήθησαν, καὶ παρὰ τοῦ δεσπότου οὐκ ἐστεφανώθησαν. ἀκούσωμεν ταῦτα οἱ χρημάτων ἐρῶντες. ἡ γὰρ μεγίστη ἀνομία, αὕτη τυγχάνει. ῥίζα γάρ ἐστι πάντων τῶν κακῶν, ἡ φιλαργυρία. ἀκούσωμεν οἱ βουλόμενοι πλείονα τοῦ ὑπάρχουσαν οὐσίαν ποιεῖν. ἀκούσωμεν καὶ παυσώμεθα τῆς πλεονεξίας ποτὲ, ἵνα μὴ ταῦτα ἀκούσωμεν ἅπερ κἀκεῖνοι. νῦν αὐτὰ ἀκούσωμεν, καὶ φυλαξώμεθα, ἵνα μὴ τότε ἀκούσωμεν. νῦν ἀκούσωμεν μετὰ φόβου, ἵνα μὴ τότε αὐτὰ ἀκούσωμεν μετὰ πικρίας. ἀπέλθητε ἀπ' ἐμοῦ, οὐδέποτε ἔγνων ὑμᾶς, οὐδὲ τότε φησὶν, ὅτε τὰς προφητείας ὑπεδείκνυσθε, καὶ τοὺς δαίμονας ἐξεβάλλετε. εἰκὸς οὖν ἐν τούτοις ἦσθα, καὶ ἕτερόν τι αἰνίττεται, ὃ καὶ τότε βίου ἦσαν πονηροῦ. παρὰ δὲ τὴν ἀρχὴν, καὶ δι' ἀναξίων ἐνήργει ἡ χάρις. εἰ γὰρ διὰ βαλαὰμ ἐνήργησε, πολλῷ μᾶλλον δι' ἀναξίων διὰ τοὺς μέλλοντας κερδαίνειν. εἰ δὲ καὶ σημεῖα, καὶ τέρατα οὐκ ὤχνησε κολάσεως ἀπαλλάξαι, πολλῷ μᾶλλον, κἂν ἐν ἀξιώματι ἱερατικῷ τις τύχῃ, κἂν εἰς τὴν ἀνωτάτω τιμὴν φθάσῃ, κἂν εἰς τὴν χειροτονίαν ἐνεργήσῃ ἡ χάρις, κἂν εἰς τὰ ἄλλα πάντα διὰ τοὺς τῆς προστασίας δεομένους, ἀκούσεται καὶ αὐτὸς, οὐδέποτε σε ἔγνων, οὐδὲ τότε ὅτε ἐνήργησεν ἐν σοὶ ἡ χάρις. βαβαὶ πόσης τῆς τοῦ βίου καθαρότητος ἡ ζήτησις ἐκεῖ. πῶς οὖν καθ' ἑαυτὴν ἀρκεῖ εἰς τὴν βασιλείαν ἡμᾶς ἀπαγαγεῖν. ἀπόντα δὲ προδίδωσι τὸν ἄνδρα, κἂν μυρία ἔχῃ τέρατα, καὶ σημεῖα ὑπιδείκνυται. οὐδὲν γὰρ οὕτως δυσφραίνει τὸν θεὸν, ὡς πολιτεία ἀρίστη. ἐὰν ἀγαπᾶτε με φησὶν, οὐκεῖτε σημεῖα ποιήσατε, ἀλλὰ τί; τὰς ἐντολάς μου τηρήσατε. μὴ πάλιν, φίλους ὑμᾶς λέγω, οὐχ' ὅταν δαιμόνια ἐκβάλλητε, ἀλλ' ἐὰν τηρήσητε τοὺς λόγους τοὺς ἐμούς. ἐκεῖνα μὲν γὰρ, τῆς τοῦ θεοῦ δωρεᾶς ὄντα, ταῦτα δὲ μὴ τὴν τοῦ θεοῦ δωρεὰν, καὶ τῆς ἡμετέρας ἀπουδῆς. ἀπουδάσωμεν γενέσθαι φίλοι τοῦ θεοῦ, μὴ μὴ μένωμεν ἐχθροί. ἀεὶ ταῦτα λέγομεν, ἀεὶ ταῦτα παραινοῦμεν, καὶ ἡμῖν αὐτοῖς, καὶ ὑμῖν. πλέον δὲ οὐδὲν γίνεται, διὸ καὶ δέ-

δοικα. καὶ

δοικα, καὶ ἐβουλόμην μὲν σιγῆσαι, ὥστε μὴ τὸν κίνδυνον ὑμῖν αὐξῆσαι. τὸ γὰρ πολλάκις ἀκούοντα μὴ δὲ οὕτω ποιεῖν, παροξῦναι τὸν δεσπότην ἐστίν. ἀλλὰ δέδοικα, καὶ αὖθις τὸν ἕτερον κίνδυνον τὸν τῆς σιγῆς, εἴγε εἰς λόγου διακονίαν τεταγμένος, μέλλοιμι σιγᾶν. τί οὖν ποιήσομεν, ἵνα σωθῶμεν; ἀρξώμεθα τῆς ἀρετῆς, ὡς καιρὸν ἔχομεν. διανείμωμεν ἑαυτοῖς τὰς ἀρετὰς καθάπερ τὴν γεωργίαν οἱ γεωπόνοι. ἐν τῷ μηνὶ τούτῳ κρατήσωμεν λοιδορίας, καὶ ὕβρεως, ὀργῆς ἀδίκου, καὶ θῶμεν ἑαυτοῖς νόμον, καὶ εἴπωμεν. σήμερον τόδε κατορθώσωμεν. καὶ ἐν τῷ μηνὶ τούτῳ, τὴν ἀνεξικακίαν ἑαυτοὺς ταμιεύσωμεν, καὶ ἐν ἑτέρῳ ἄλλην ἀρετήν. καὶ ὅταν ἐν ἕξει τούτης γενώμεθα τῆς ἀρετῆς, ἐφ' ἑτέραν ἔλθωμεν. καθάπερ ἐπὶ τῶν μαθημάτων, τότε ἤδη κτηθέντα φυλάττοντες, καὶ ἕτερα προσλαμβάνοντες. μετ' ἐκείνην ἔλθωμεν ἐπὶ τὴν τῶν χρημάτων ὑπεροψίαν. πρῶτον κατάσχωμεν τὰς χεῖρας ἀπὸ πλεονεξίας, καὶ τότε ποιήσωμεν ἐλεημοσύνην, μὴ πάντα ἁπλῶς συγχέωμεν, ταῖς αὐταῖς χερσὶ, καὶ ἁρπάζοντες, καὶ ἐλεοῦντες δήθεν. μεταβῶμεν ἐπ' ἄλλην ἀρετήν, καὶ ἀπ' ἐκείνης ἐπ' ἄλλην. αὐχρότης, καὶ μωρολογία, καὶ βωμολοχία, μὴ δὲ ὀνομαζέσθω παρ' ἡμῖν. ταῦτα τέως κατορθώσωμεν. οὐκ ὄθνειον διαπάνης, οὐκ ὄθνειον πόνων, οὐκ ὄθνειον ἱδρώτων. ἀρκεῖ θελῆσαι μόνον, καὶ πάντα ἰῶνται. οὐ δεῖ μακρὰν ὁδὸν βαδίσαι, οὐδὲ πέλαγος διαλαβεῖν ἄπειρον, ἀλλὰ ταπεινῶσαι, καὶ προθυμηθῆναι, καὶ χαλινὸν ἐπιθεῖναι τῇ γλώττῃ. τὰς ὕβρεις τὰς ἀκαίρους, τὰς ὀργὰς, τὰς ἐπιθυμίας τὰς ἀτόπους, τὴν τρυφὴν, τὴν πολυτέλειαν ἐκβάλωμεν, τὴν ἐπιθυμίαν τῶν χρημάτων ἀπὸ τῆς ψυχῆς τῆς ἡμετέρας, τὰς ἐπιορκίας, τοὺς ὅρκους τοὺς συνεχεῖς. αὐ οὕτως ἑαυτοὺς γεωργῶμεν, τὰς πρότερον ἀκάνθας ἐκβάλλοντες, καὶ τὸν οὐράνιον σπόρον ἐμβάλλοντες, δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν. ἥξει γὰρ ὁ γεωργὸς, καὶ ἀποδήσεται ἡμᾶς εἰς τὴν ἀποθήκην, καὶ ἐπιτευξόμεθα πάντων τῶν ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λόγος, κε'.

» Πίστει προσενήνοχε τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας
» δεξάμενος, πρὸς ὃν ἐλαλήθη, ὅτι Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, λογισάμενος ὅτι καὶ ἐκ
» νεκρῶν ἐγεῖραι δυνατὸς ὁ Θεός. ὅθεν αὐτὸν, καὶ ἐν παραβολαῖς ἐκομίσατο.

Μέγα ὄντως ἡ πίστις τοῦ Ἀβραάμ. οὗτος μὲν γὰρ τοῦ Ἄβελ, καὶ τοῦ Νῶε, καὶ τοῦ Ἐνὼχ, λογισμῶν ἦν μόνων, καὶ τοὺς ἀνθρωπίνους ὑπερβῆναι ἐχρῆν λογισμούς. ἐνταῦθα δὲ οὐ τοὺς ἀνθρωπίνους ὑπερβῆναι μόνον ἐχρῆν λογισμοὺς, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐπιδείξασθαι. τὰ γὰρ τοῦ Θεοῦ ἔδοκει τοῖς τοῦ Θεοῦ μάχεσθαι, καὶ πίστις ἐμάχετο πίστει, καὶ πρόσταγμα ἐπαγγελίᾳ. οἷον τί λέγω. εἶπεν ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δώσω σοι τὴν γῆν ταύτην, καὶ οὐκ ἔδωκεν αὐτῷ ἐν αὐτῇ κληρονομίαν οὐδὲ βῆμα ποδός. ὁρᾷς πῶς τὰ γινόμενα τῇ ἐπαγγελίᾳ ἐμάχετο; πάλιν φησὶν ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, καὶ ἐπίστευσε. μὴ πάλιν λέγει, δῦσον ἐμοὶ ἔχθραν, τὸν μέλλοντα τῆς οἰκουμένης πᾶσαν ἐκτᾶσθαι σπέρματος αὐτῷ πληροῦν. εἶδες μάχην προσταγμάτων, μὴ ἐπαγγελίας; ἐναντία τοῖς ἐπαγγελίαις προσέταξε, καὶ οὐδὲ οὕτως ὀλιγώρησεν ὁ δίκαιος, οὐδὲ ἠπατῆσθαι ἔφη. ὑμεῖς μὲν γὰρ φησὶν

οὐκ ἂν

οὐκαὶ ἔχοιτε δόξαν εἰπεῖν. ὅπι αὐτὸν ἐπηγγείλατο, καὶ θλῖψιν ἔδωκεν. ἐν ταύτῃ δὲ γὰρ ἅπερ ἐπηγγείλατο, ταῦτα ποιεῖ. πῶς; ἐν τῷ κόσμῳ φησὶ θλῖψιν ἕξετε. ὁ μὴ λαβὼν τὸν θεὸν αὐτὸν, καὶ ἀκολουθήσας μοι, οὐκέτιν μου ἄξιος. ὁ μὴ μισῶν τὴν ψυχὴν αὐτοῦ, οὐ μὴ δύῃ αὐτὴν. καὶ ὃς οὐκ ἀποτάσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστιμου ἄξιος. καὶ πάλιν. ὦὴ ἡγεμόνας, καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ. καὶ πάλιν. ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκειακοὶ αὐτοῦ. τὰ δὲ τῆς ἀνέσεως, ἐκεῖ. ὦὴ δὲ τοῦ ἀβραὰμ τοὐναντίον. ἐναντία ταῖς ὑποκείσεσι προσετάττετο ποιεῖν. καὶ οὐ δὲ οὕτως ἐθορυβήθη, οὐ δὲ ἐλιγγίασεν, οὐ δὲ ἠπατῆσθαι ἐνόμισεν. ὑμεῖς δὲ οὐδὲν ἔξωθεν τῆς ἐπαγγελίας ὑπομένετε, καὶ θορυβεῖσθε. ἐκεῖνος ἐναντία ὧν ἐπηγγείλατο ἤκουσε παρὰ τοῦ αὐτοῦ τοῦ ἐκείνα ἐπαγγειλαμένου, καὶ οὐκ ἐθορυβεῖτο, ἀλλ' ὡς σύμφωνα ἔπραττε. καὶ γὰρ ἦν σύμφωνα, ἐναντία μὲν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις, σύμφωνα δὲ ἀπὸ τῆς πίστεως. καὶ πῶς; αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ ἀπόστολος, εἰπών. λογισάμενος, ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ θεὸς, ἀπὸ τῆς αὐτῆς πίστεως φησὶ ἧς ἐπίστευσεν. ὅτι οὐκ ὄντα ἐκαλέσατο, μὴ νεκρὸν ἤγειρεν αὐ ἀπὸ τῆς αὐτῆς. καὶ ὅτι σφαγιασθέντα ἀναστήσει, ἐπέστευσε. ὁμοίως γὰρ ἄπορον ἦν ἀνθρωπίνῳ λέγω λογισμῷ, καὶ ἐκ μήτρας νεκρᾶς, καὶ γεγηρακυίας, καὶ ἀχρήστου ἤδη γεγενημένης πρὸς παιδοποιΐαν, δοῦναι παιδίον, καὶ σφαγιασθέντα ἀναστῆσαι. ἀλλὰ προσδοκία ἡ πίστις ἡ παρελθοῦσα, τοῖς μέλλουσι. καὶ ὅρα τὰ μὲν χρηστὰ πρῶτα, τὰ δὲ δυσχερῆ ὕστερα πρὸς τὴν ἡμέραν. ὑμῖν δὲ τοὐναντίον φησί. τὰ μὲν σκυθρωπὰ, πρῶτα. τὰ δὲ χρηστὰ, τελευταῖα. δόξῃ πρὸς τοὺς λέγειν τολμῶντας, ὅτι μὴ θάνατον ἡμῖν ἐπηγγείλατο τὰ ἀγαθά. ἢ πάσχειν ἴσως ἡμᾶς. δείκνυσιν, ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ θεός. εἰ δὲ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ θεὸς, πάντως πάντα ἀποδώσει. εἰ δὲ ἀβραὰμ ἐπίστευσε πρὸ τοσούτων ἐτῶν, ὅτι δυνατὸς ἐκ νεκρῶν ἐγεῖραι ὁ θεὸς, πολλῷ μᾶλλον ἡμεῖς πιστεύειν ὀφείλομεν. ὁρᾷς ὅτι ὅπερ ἐφθην εἰπών, οὔπω εἰσῆλθεν ὁ θάνατος, καὶ δι' ἐλπίδος αὐτοῖς εἰς τὴν τῆς ἀναστάσεως εἴλκυσεν ἐλπίδα; καὶ εἰς τοσαύτην πληροφορίαν ἤγαγεν, ὡς καὶ σφαγάζειν τοὺς ἑαυτῶν υἱοὺς κελευομένους, ἀφ' ὧν προσδόκων ἐκπλήσειν τὴν οἰκουμένην; καὶ ἕτερον δὲ δείκνυσι διὰ τοῦ εἰπεῖν ὃν ἐπείραζεν ὁ θεὸς τὸν ἀβραάμ. τί οὖν, οὐκ ἤδει ὁ θεὸς ὅτι γενναῖος ἦν, καὶ δόκιμος ἀνήρ; τίνος οὖν ἕνεκεν ἐπείραζεν αὐτόν; οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοῖς ἄλλοις δείξῃ, καὶ καταδήλον αὐτοῦ τὴν ἀνδρίαν πᾶσι καταστήσῃ. καὶ δείκνυσιν ἐν τούτοις, καὶ τῶν πειρασμῶν τὴν αἰτίαν, ἵνα μὴ νομίξωσιν, ὡς ἐγκαταλελειμμένοι ταῦτα πάσχειν. ἐν τούτοις μὲν γὰρ καὶ ἀνάγκη πειράζεσθαι, διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐλαύνοντας, τοὺς ἐπιβουλεύοντας, ἐκεῖ δὲ ποία ἀνάγκη ἦν τοὺς οὐκ ὄντας αὐτῷ πειρασμοὺς ἐπινοεῖν; οὗτος τοίνυν ὁ πειρασμὸς δῆλος ἦν, ὅτι αὐτοῦ προστάττοντος ἐγίνετο. οἱ μὲν οὖν ἄλλοι συγχωροῦντος αὐτοῦ συνέβαινον, οὗτος δὲ καὶ προστάττοντος. εἰ τοίνυν οὕτω δόκιμος τὰ τῶν πειρασμῶν ποιεῖ, ὡς καὶ μὴ οὐσης αἰτίας τὴν γυμνάζειν τοὺς ἑαυτοῦ ἀθλητὰς, πολλῷ μᾶλλον ἡμᾶς φέρειν πάντα χρὴ γενναίως. ἐμφανίζων δὲ εἶπεν ἐν τούτοις, ὅτι πίστει προσενήνοχε τὸν ἰσαάκ, πειραζόμενος. οὐδὲ μία γὰρ ἀλλὰ αἰτία ἦν τῆς προσαγωγῆς, ἢ αὕτη. εἶτα ἐπεξέρχεται τῷ νοήματι. οὐκεῖ χε φησὶ πίστις εἰπεῖν, ὅτι ἄλλον εἶχεν υἱὸν, καὶ ἐξ ἐκείνου προσεδόκα τὴν ἐπαγγελίαν πληρωθήσεσθαι, καὶ διατοῦτο θαρρῶν δόξαν προσήνεγκε. καὶ τὸν μονογενῆ φησι, προσφέρειν ὁ τὰς ἐπαγγελίας δεξάμενος. τί λέγεις

μενος. τί λέγεις μονογενῆ; τί οὖν, ὁ Ἰσμαὴλ πόθεν ἦν; μονογενῆ λέγω φησὶ ὅσον κατὰ τὴν τῆς ἐπαγγελίας λόγον. διὰ γὰρ θεὸν προσέθηκεν εἰπὼν μονογενῆ, δεικνὺς ὅτι διὰ θεὸν φησὶ γεγέννηται, ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, τουτέστιν ἐξ αὐτοῦ. ὁρᾷς πῶς θαυμάζει τὸ παρὰ τὸν παντοκράτορα γινόμενον; ἐν Ἰσαὰκ κληθήσεταί σοι φησὶ σπέρμα, καὶ προσέφερε σφαγιαζόμενον τὸν υἱόν. εἶτα ἵνα μὴ πῇς νομίσῃ, ὅτι ἀπογνοὺς θεὸν ποιεῖ, καὶ διὰ τοῦτο προστάγματος τούτου τὴν πίστιν ἐξέβαλεν ἐκείνῳ, ἀλλὰ μάθῃ, ὅτι οὕτως, καὶ θεὸν πίστεως ἦν φησὶ, ὅτι καὶ ἐκείνῳ εἶχε τὴν πίστιν, καίτοιγε δοκοῦσαν τοῦτο μάχεσθαι, ἀλλ' οὐκ ἐμάχετο. οὐ γὰρ λογισμοῖς ἀνθρωπίνοις ἐμέτρει τοῦ θεοῦ τὴν δύναμιν, ἀλλὰ τῇ πίστει πάντα ἐστήριζεν, ὅθεν οὐ διέδικει εἰπεῖν, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεός. ὅθεν αὐτὸν, καὶ ἐν παραβολῇ ἐνομίσατο. τουτέστιν ἐν ὑποδείγματι, ἐν τῷ κριῷ φησί. πῶς; τοῦ γὰρ κριοῦ σφαγιασθέντος, οὗτος ἐσώθη, ὥστε διὰ τοῦ κριοῦ αὐτὸν ἔλαβεν, ἀντ' ἐκείνου σφάξας ἐκεῖνον. ταῦτα δὲ τύποι τινὲς ἦσαν. ἐν τούτῳ δὴ γὰρ ὁ υἱὸς ὅτι τοῦ θεοῦ σφαγιαζόμενος, καὶ θέαμα τὴν φιλανθρωπίαν ὅση. ἐπειδὴ γὰρ μεγάλη τις ἔμελλε δίδοσθαι χάρις τοῖς ἀνθρώποις, βουλόμενος μὴ χάριτα αὐτὸ ποιῆσαι, ἀλλ' ὡς ὀφειλέτης, παρασκευάζει πρῶτον τὸν ἄνθρωπον τὸν υἱὸν τὸν ἑαυτοῦ ἐπιδοῦναι ὑπὲρ τοῦ πράγματος τοῦ θεοῦ. ἵνα μηδὲν δόξῃ μέγα ποιεῖν, τὸν ἑαυτοῦ ἐπιδοὺς υἱόν, εἴγε ἄνθρωπος πρὸ αὐτοῦ τοῦ θεοῦ ἐποίησεν, ἵνα μὴ χάριτα νομισθῇ τοῦ θεοῦ ποιεῖν, ἀλλ' ὀφειλῇ. οὓς γὰρ αὖ φιλῶμεν, καὶ τοῦ αὐτοῖς χαρίζεσθαι βουλόμεθα, τὸ δοκεῖν παρ' αὐτῶν τι πρότερον λαβόντας μικρὸν, οὕτως αὐτοῖς τὸ πᾶν δίδωμι. καὶ καυχώμεθα τῇ λήψει μᾶλλον, ἢ τῇ δόσει. καὶ οὐ λέγομεν τόδε ἐδώκαμεν αὐτῷ, ἀλλὰ τόδε ἐλάβομεν παρ' αὐτοῦ. ὅθεν αὐτὸν φησι, καὶ ἐν παραβολῇ ἐνομίσατο. τουτέστιν ὡς ἐν αἰνίγματι. ὥσπερ γὰρ, παραβολὴ ἦν ὁ κριὸς τοῦ Ἰσαὰκ, ἢ ὡς ἐν τῷ τύπῳ. ἐπειδὴ γὰρ ἀπήρτισο ἡ θυσία, καὶ ἔσφακτο ὁ Ἰσαὰκ τῇ προαιρέσει, διὰ θεὸν αὐτὸν χαρίζεται τῷ πατριάρχῃ.

Ἡ θεωρία.

Ὁρᾷς ὅτι ὃ ἀεὶ λέγω θεὸν, καὶ νῦν δείκνυται; ὅταν παρασκήσωμεν ἡμῶν τὴν διάνοιαν ἀπηρτισμένην, καὶ δείξωμεν, ὅτι ὑπερορῶμεν τῶν γηΐνων πραγμάτων, τότε ἡμῖν, καὶ τὰ γήϊνα χαρίζεται, πρότερον δὲ οὔ, ἵνα μὴ τὸ λαβεῖν, πρόφασιν δεδεμένους ἡμᾶς αὐτοῖς, ἔτι πρὸς δήσῃ; λῦσον φησὶ σαυτὸν πρῶτον τῆς δουλείας, καὶ τότε λάβε, ἵνα μηκέτι, ὡς δοῦλος λάβῃς, ἀλλ' ὡς δεσπότης. καταφρόνησον πλούτου, καὶ ἔσῃ πλούσιος. καταφρόνησον δόξης, καὶ ἔσῃ ἔνδοξος. καταφρόνησον τῆς ζημιρίας τῶν ἐχθρῶν, καὶ τότε αὐτῆς ἐπιτεύξῃ. καταφρόνησον αὐτέσεως, καὶ τότε αὐτὴν λήψῃ. ἵνα λαβὼν, μὴ ὡς δέσμιος λάβῃς, μὴ δὲ ὡς δοῦλος, ἀλλ' ὡς ἐλεύθερος. καθάπερ γὰρ ἐπὶ τῶν παιδίων τῶν μικρῶν, ὅταν μὲν ἐπιθυμῇ τὸ παιδίον παιδικῶν ἀθυρμάτων, μὴ πολλῆς ταπεινώσεως ἐκεῖνα κρύπτομεν, οἷον σφαῖραν, καὶ ὅσα τοιαῦτα, ἵνα μὴ ἐμποδίσῃ τὰ ἀναγκαῖα, ὅταν δὲ αὐτὰ καταφρονήσῃ, καὶ μηκέτι ἐπιθυμῇ, ἀδεῶς αὐτὰ μεταδιδόαμεν, εἰδότες ὡς οὐδεμία βλάβη λοιπὸν αὐτῷ ἐντεῦθεν γίνεται, τὰ ἐπιθυμίας ἐκείνης οὐκέτι ἰσχυούσης ἀπαγαγεῖν αὐτὰ τὰ ἀναγκαῖα. οὕτω καὶ ὁ θεὸς, ὅταν ἴδῃ μηκέτι ἐπιθυμοῦντας τῶν ἐνταῦθα, λοιπὸν ἀφίησιν αὐτοῖς κεχρῆσθαι. ὡς γὰρ ἐλεύθεροι, καὶ αὐθέρες αὐτὰ ἐχόμεν.

αὐτὰ ἔχομεν, οὐχ ὡς πᾶσιν. ὅπου γὰρ ἐὰν καταφρονήσῃς τῆς ζημιώσασ τῶν ἐχθρῶν τότε ἐπιτεύξῃ, ἄκουε τί φησι. ἐὰν πεινᾷ ὁ ἐχθρόσου, ψώμιζε αὐτόν. ἐὰν διψᾷ, πότιζε αὐτὸν, καὶ ἐπισωρεύσεις. τοῦτο γὰρ ποιῶν, οὐ θρανεῖς σαυτὸν ὀργῇ τινὶ τῷ κεφαλῷ αὐτοῦ. καὶ πάλιν ὅπου ἐὰν καταφρονήσῃς τοῦ πλούτου, τότε αὐτῷ ἐπιτεύξῃ, ἄκουε τοῦ χῦ λέγοντος. οὐκ ἔστιν ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, ἢ οἰκίασ, ἢ ἀδελφούς, ὃς οὐχὶ ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. καὶ ὅπου ἐὰν καταφρονήσῃς δόξης, τότε αὐτῆς ἐπιτεύξῃ, ἄκουε αὐτοῦ πάλιν τοῦ χῦ λέγοντος. ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι, ἔστω ὑμῶν διάκονος. καὶ πάλιν. ὃς γὰρ αὐταπεινώσῃ ἑαυτὸν οὗτος ὑψωθήσεται. τί λέγεις, ἐὰν ποτίζω τὸν ἐχθρὸν τότε αὐτὸν κολάζω; ἐὰν ἀφῶ τὰ ὑπάρχοντα, τότε αὐτὰ ἔχω; ἐὰν ταπεινώσω ἐμαυτὸν τότε ὑψηλὸς ἔσομαι; ναί φησι. τοιαύτη γὰρ ἡ ἐμὴ δύναμις, μᾶλλον τῶν ἐναντίων τὰ ἐναντία παρέχειν. δύπορος εἰμὶ, καὶ δύμήχανος. μὴ δείσῃς. τῷ ἐμῷ θελήματι ἡ τῶν πραγμάτων ἀκολουθεῖ φύσις. οὐκ ἐγὼ τῇ φύσει ἕπομαι. ἐγὼ πάντα ἐργάζομαι, οὐκ ἐγὼ ὑπ' ἐκείνων ἄγομαι. διὸ καὶ μεταπλάττειν, καὶ μεταῤῥυθμίζειν αὐτὰ δύναμαι. καὶ τί θαυμάζεις εἰ ἐν τούτοις; τὸ αὐτὸ γὰρ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν δύρήσεις. ἐὰν ἀδικήσῃς, ἠδικήθης. ἐὰν ἀδικηθῇς, τότε οὐκ ἠδικήθης. ἐὰν ἀμυνῇ, τότε οὐκ ἠμύνω, ἀλλὰ σαυτὸν ἠμύνω. ὁ γὰρ ἀγαπῶν τὴν ἀδικίαν φησὶ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. ὁρᾷς ὅπου οὐκ ἠδικήθης, ἀλλ' ἀδικεῖς; διὰ τοῦτο καὶ παῦλος φησί. διατί οὐ μᾶλλον ἀδικεῖσθε. εἰδὲς, ὅπου οὐκ ὀφθῇ τοῦτο ἀδικεῖσθαι; ὅταν ὑβρίσῃς, τότε ὑβρίσθης. καὶ τοῦτο ἐκμέρους ἴσασιν, οἱ πολλοί. ὡς ὅταν λέγωσι πρὸς ἀλλήλους. ἄγωμεν ἐντεῦθεν μὴ ὑβρίσῃς σαυτόν. διατί; ὅτι πολὺ τὸ μέσον σου καὶ ἐκείνου. ὅσα γὰρ αὐτὸν ὑβρίσῃς, ἐκεῖνος δόξαν ἤγειται. τοῦτο ἁπάντων ἐννοῶμεν. μὴ γινόμεθα ὑψηλότεροι τῶν ὕβρεων. πῶς; ἐγὼ λέγω, ἐὰν πρὸς αὐτὸν τὸν τῆς ἀλουργίδας ἔχοντα μάχῃ ἔχωμεν, τῷ ὑβρίζειν αὐτὸν, ἡμᾶς αὐτοὺς ὑβρίζειν ἡγούμεθα. τῷ γὰρ πλουτεῖσθαι ἀξιοι γινόμεθα. τί λέγεις εἰ πένομαι; τῶν οὐρανῶν πολίτης εἶ, καὶ τῆς ἄνω φιλοσοφίαν ἔχων, μὴ τῷ τὰ χείνα φρονοῦντος πλουτεῖς σαυτόν; κἂν γὰρ μυρία χρήματα κέκτηται, κἂν ἐν δυναστείᾳ ᾖ, οὔπω οἶδε τὸ καλὸν τὸ σόν. μὴ ὑβρίζῃς σαυτὸν, ἐκεῖνον ὑβρίζων. σαυτῷ φείσαι, μὴ ἐκείνου. σαυτὸν τίμησον μὴ ἐκεῖνον. οὐχὶ παροιμία τοιαύτη ἐστίν; ὁ ζημῶν, ἑαυτὸν ζημιοῖ; εἰκότως. οὐ γὰρ ἐκεῖνον ζημιοῖ, ἀλλ' ἑαυτόν. ἄκουε σοφοῦ τινος λέγοντος. ποίησον τὴν ψυχήν σου ζημίαν κατὰ τὴν ἀξίαν αὐτῆς. τί ἐστιν; ἐπλεονέκτησε φησὶ, μὴ πλεονεκτήσῃς, ὕβρισε, μὴ ὑβρίσῃς. εἰ θέμοι παρακαλῶ, εἴπῃς πένης πηλὸν ἐῤῥιμμένον ἀπὸ τῆς αὐλῆς ἔλαβε τῆς σῆς, ἆρα οὐχ ὑπὲρ τούτου δικαιότερον σωφρονίσας; οὐδαμῶς. διατί; ἵνα μὴ ὑβρίσῃς σαυτόν, ἵνα μὴ πάντεσσου καταγνῶσι. τοῦτο καὶ νῦν γίνεται. πένης γάρ ἐστιν ὁ πλούσιος, καὶ ὅσῳ πλουτεῖ, τοσούτῳ πένεται τῶν ὄντως πενίαν. πηλός ἐστιν ὁ χρυσὸς ἀναλῆ ἐῤῥιμμένος, οὐκ ἐν τῇ οἰκίᾳ σου κείμενος. ἡ γὰρ οἰκίασου ὁ οὐρανός ἐστιν. ὑπὲρ τούτου οὖν συγκρότησεις δικαστήριον, μὴ οὐ καταγνώσονταί σου οἱ ἄνω πολῖται, οὐκ ἐκβαλοῦσισε τῆς ἑαυτῶν πατρίδος, τὸν οὕτω πένητα, τὸν οὕτως βδελυκτὸν, ὡς ὑπὲρ ὀλίγου πηλοῦ μάχεσθαι αἱρεῖσθαι. εἰ γὰρ ὁ κόσμος ἦν σός, εἶτα αὐτὸν ἐλάβεν, ἐπισφραφῆναι ἐχρῆν. οὐκοῖδας ὅτι δεκάκις τῆ οἰκουμένῃ ἐὰν θῇς, καὶ ἑκατοντάκις, καὶ μυριάκις, καὶ μὴ τοσοῦτον, οὐδὲ πρὸς τὸ πολλοστὸν τῶν ἐν τοῖς οὐρανοῖς ἐστιν ἀγαθῶν; ὁ τοίνυν τὰ ἐνταῦθα θαυμάζων, ἐκεῖνα ὕβρισεν, εἴγε

ταῦτα ἄξια

ζωῦτα ἀξια ασυδσῆς ἡγεῖ), τοσοῦτον ἐκείνων ἀπολιμπανόμενα, μᾶλλ οὐδὲ θαυμάσαι ἐκεῖνα δωήσῃ. πῶς γὰρ, πρὸς ταῦτα ἐωρῶμενος; διατέμωμεν τὰ ὄρινία, καὶ τὰς πλεκτάνας. ὅδε γὰρ τὰ γῆϊνα πράγματα. μέχρι πότε κάτω κύπτωμεν; μέχρι τίνος ἀλλήλοις ἐπιβουλεύωμεν; καθάπερ τὰ θηρία, καθάπερ οἱ ἰχθύες; μᾶλλ δὲ τὰ θηρία οὐκ ἐπιβουλεύει ἀλλήλοις, ἀλλὰ τοῖς ἀλλοφύλοις. οἷον ἄρκος ἄρκον οὐκ ἀναιρεῖ τα χέως, οὐδὲ ὄφις ὄφιν ἀναιρεῖ τὸ ὁμόφυλον αἰδούμενος. σὺ δὲ μᾶ τὸ ὁμοφύλου, καὶ μυρία ἔχων δικαιώματα, τὸ συγγενές, τὸ λογικόν, τὸ θεὸν εἰδέναι, μυρία ἄλλα ἕτερα, τῆς φύσεως τὴν ἰσχύν, τὸν συγγενῆ, καὶ τῆς αὐτῆς φύσεως κεκοινωνηκότα, ὅδε ἀναιρεῖς, καὶ μυρίοις περιβάλλεις κακοῖς. τί γὰρ, εἰ μὴ τὸ ξίφος ὠθεῖς, μὴ δὲ βαπτίζεις εἰς τὴν δεξιὰν, ἕτερα χαλεπώτερα τούτου ποιεῖς, λύτας δικηκέσι περιβάλλων. ἐκεῖνο γὰρ εἰ εἰργάσω, ἀπήλλαξας αὐ αὐτὸν φροντίδος. νῦν δὲ λιμῷ, δουλείᾳ περιβάλλεις, ἀποδυσωτήσεσιν, ἁμαρτίαις πολλαῖς. ζωῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, οὐχὶ φονᾶν ἡμᾶς παρασκευάζων, οὐδὲ ὡς ᾶπ ἐλαττον ἐκείνου κακὸν ἔρχεσθαι προτρεπόμενος, ἀλλὰ μὴ θαρρεῖν, ὡς μὴ μέλλοντας δώσειν δίκην. ὁ ἀφαιρούμενος γάρ φησι ζῶν βίωσιν, καὶ ἄρζον αὐτῶν φησι. κατάσχωμεν παρ ἑαυτοῖς τας χεῖρας ποτέ. μᾶλλ δὲ μὴ κατάσχωμεν, ἀλλ ἐκτείνωμεν αὐτὰς καλῶς, μὴ πρὸς πλεονεξίαν. ἀλλὰ πρὸς ἐλεημοσύνῃ. μὴ ἄκαρπον ἔχωμεν τὴν χεῖρα μὴ δὲ ξηράν. ἡ μὲν γὰρ μὴ ποιοῦσα ἐλεημοσύνῃ, ξηρά. ἡ δὲ καὶ πλεονεκτοῦσα, μαρὰ κὴ ἀκάθαρτος. μηδεὶς μᾶ τοιούτων ἐθιέτω χειρῶν. ὕβεις γὰρ τῶν κεκλημένων ὅδε. εἰ δὲ γάρμοι, εἴπις ᾶπ τα πήτων, καὶ σφωμνῆς ἁπαλῆς, καὶ χρυσοπάστων σινδόνων κατακλίνασ ἡμᾶς ἐν οἴκῳ λαμπρῷ, καὶ μεγάλῳ, καὶ πολὺ πλῆθος διακόνων παρασκευάμενος, εἶτα πίνακα ἐξ ἀργύρου παρασκευασάμενος, καὶ χρυσοῦ, καὶ πολλῶν ἐμπλήσας ἐδεσμάτων, καὶ πολυτελῶν, καὶ παντοδαπῶν ἠνάγκαζεν ἐθίειν, εἰ μόνον ἀνεξόμεθα αὐτῦ, τας χεῖρας, εἰς βόρβορον χρίοντος, ἢ μᾶ πρὸ ἀνθρωπίνῳ, καὶ οὕτως συγκατακλινομένου, ἆρα ἂν τις ταύτην ἠνέχετο τὴν κόλασιν, ἀλλ οὐχ ὕβριν τὸ πρᾶγμα ἂν ὁμοσεν αὖ; ἔγωγε οἶμαι, καὶ δὴ θεὸς ἂν ἀπεπήδησε. νῦν δὲ βορβόρου τοῦ ὄντος οὐχὶ τας χεῖρας ὁρᾶς ἐμπεπλησμένας, ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα, καὶ οὐκ ἀποπηδᾶς; οὐ φεύγεις; οὐκ ἐπιτιμᾶς; ἀλλ ἐὰν ἐν δωσεβείᾳ ᾖ, μέγα τὸ πρᾶγμα τίθεσαι, καὶ τὴν ψυχὴν ἀπολλύεις τὴν σαυτῦ, τοιαῦτα, σιζύμενος. πανὸς γὰρ βορβόρου πλεονεξία χειρῶν. ψυχὴν γὰρ οὐ σῶμα μολύνει, καὶ ποιεῖ δυσέκπλυτον. σὺ τοίνυν ὁρῶν τοῦ βορβόρου τούτου ἀνακεχρωσμένον μὲν τὸν κατακλινόμενον, καὶ τας χεῖρας, καὶ τὴν ὄψιν, ἐμπεπλησμένην δὲ τὴν οἰκίαν, ἐμπεπλησμένην δὲ καὶ τὴν τράπεζαν, βολβίτων γὰρ καὶ εἴπ τούτων ἀκάθαρτότερον ἐκεῖνα, καὶ μαρώτερα τὰ ἐδέσματα, ὡς δὴ ζημιθεὶς διάκεισαι, καὶ ὡς μέλλων πρυφᾶν; καὶ οὐδὲ τὸν παῦλον δέδοικας; εἰς μὲν ἑλλήνων τράπεζαν, εἰ βουλοίμεθα ἀκωλύτως συγχωροῦντα ἀπελθεῖν, εἰς τὰς τῶν πλεονεκτῶν δὲ οὐ δὲ βουλομένους ἐῶντας; ἐὰν γάρ τις ἀδελφὸς ὀνομαζόμενος ᾖφησι. ἀδελφὸν ἐν ζωῦ θα λέγων πάντα τὸν πιστὸν ἁπλῶς, οὐ τ μοναίζοντα. τί γὰρ ὄφελος τὸ ποιοῦ τ ἀδελφότητος; τὸ λουτρὸν τ παλιγγενεσίας, τὸ δωωνθῆναι καλέσαι πρᾶ τὸν θεόν. ὥστε ὁ μὲν κατηχούμ, κᾶν μοναχὸς ᾖ, οὐκ ἀδελφός. ὁ δὲ πιστὸς, κᾶν κοσμικὸς ᾖ, ἀδελφός ὄφελος. εἰ τις φῇ ἀδελφὸς ὀνομαζόμ. οὐ δὲ γὰρ ἴχνος τότε μοναίζοντ ἦν, ἀλλὰ πάντα πρὸς κοσμικοὺς διελέγετο ὁ μακάριος οὗτος.

ἐάν τις φῇ

ἑαυτὸς φησὶν ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ μέθυσος, τῷ τοιούτῳ μὴ δὲ συνεσθίειν. ἀλλ' οὐκέτι τῶν ἑλλιμένων οὕτως, ἀλλ' ἑαυτὸς ὑμᾶς καλέσῃ τῶν ἀπίστων τοὺς ἑλλιμένας λέγων, καὶ θέλητε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν, ἐσθίετε. ἑαυτὸς ἀδελφὸς ὀνομαζόμενος ἢ φησι μέθυσος, βαβαὶ πόση ἡ ἀκρίβεια. ἡμεῖς δὲ οὐ μόνον, οὐ φεύγομεν τοὺς μεθύσους, ἀλλὰ καὶ ἀπερχόμεθα πρὸς αὐτοὺς, μεταδέξοντες τῶν πρὸς αὐτὸ. διαβολὸς πάντα αὖ, καὶ κάτω γενέσθαι, πάντα συγκέχυται, καὶ ἀνατέτραπται, καὶ ἀπόλωλεν. εἰ δὲ γάρμοι, εἰ καλέσειε σέ τις τῶν τοιούτων ἐπὶ ἑστίασιν, σὲ δὲν ἐσθίοντα, καὶ βέλτιον νομιζόμενον, εἶτα ἀκούσειε παρὰ σοῦ, ὅτι ἐπειδὴ ἀπὸ πλεονεξίας εἰσὶ τὰ παρατιθέμενα, οὐκ ἀνέξομαι μολύνειν τὴν ἐμαυτοῦ ψυχὴν, οὐκ ἂν ἡδέσθη; οὐκ ἂν ἐνετράπη; οὐκ ἂν κατῃσχύνθη; βέλτιον μόνον ἱκανὸν ἵν' διορθώσαι, μὴ ποιῆσαι ταλανίσαι μὲν ἐπὶ τῷ πλούτῳ ἑαυτὸν, θαυμάσαι δὲ ἐπὶ τῇ φρενίᾳ σε, εἴγε εἶδε ἑαυτὸν μετὰ τοσαύτης ἀσυνδέτης καταφρονούμενον ὑπὸ σοῦ. ἀλλὰ γεγόναμεν δοῦλοι ἀνθρώπων οὐκοῖδα πόθεν, τοῦ παύλου αὖ, καὶ κάτω βοῶντος, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων, ἐπειδὴ πρότερον ἀφεῖς ἐγενόμεθα δοῦλοι, καὶ χρημάτων, καὶ δόξης, καὶ τῶν ἄλλων ἁπάντων. προεδώκαμεν τὴν ἐλευθερίαν ἵν' ἐχείσατο ἡμῖν ὁ χς'. πῶς οὖν μένει τὸν γενόμενον δοῦλον εἰσέρχεσθαι; κἂν τοῦ χριστοῦ λέγοντος, ὁ δοῦλος, οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ἔχεις ἀπόφασιν αὖ τελῆ, ὅτι οὐδέποτε εἰς βασιλείαν εἰσέρχεται. ἡ γὰρ οἰκία, βέλτιόν ἐστιν, ἐν γὰρ τῇ οἰκίᾳ φησὶ τοῦ πατρός μου, μοναὶ πολλαί εἰσιν. ὁ τοίνυν δοῦλος, οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. δοῦλον ἐκεῖνον λέγει, τὸν τῆς ἁμαρτίας δοῦλον. ὁ δὲ μὴ μένων ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ἐν τῇ γεέννῃ μένει εἰς τὸν αἰῶνα, οὐδαμόθεν ἔχων παραμυθίαν. ἀμὰ γὰρ εἰς βέλτιον καὶ σὰ τὰ πράγματα ἦλθεν, ὡς καὶ ἐλεημοσύνας αὐτοὺς ἀπὸ τούτων ποιεῖν, καὶ πολλοὺς δέχεσθαι. διαβολὸς ἡ παῤῥησία ἡμῶν ἐγκεκοπται, καὶ οὐδὲ ἐπιζημῆσαι τινὶ δυνάμεθα, ἀλλ' ὅμως κἂν ἀπὸ τοῦ νῦν, φεύγωμεν τὴν ἐντεῦθεν βλάβην, ὑμεῖς τε οἱ τὸν βόρβορον βέλτιον ἀνελίττοντες, παύσασθε τῆς τοιαύτης λύμης, καὶ ἐπίσχετε τὴν ἐν τοῖς τοιούτοις συμποσίοις ὁρμὴν, εἴπως κἂν νῦν δυνηθῶμεν ἐξιλεώσασθαι τὸν θεὸν, καὶ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ.

Λόγος, κε'.

» Πίστει περὶ μελλόντων εὐλόγησεν ἰσαὰκ τὸν ἰακὼβ, καὶ τὸν ἡσαῦ, πίστει ἰακὼβ ἀποθνήσκων, » ἕκαστον τῶν υἱῶν ἰωσὴφ εὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. πίστει » ἰωσὴφ τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐνε» τείλατο. Πολλοί φησι προφῆται, καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ἆρα πάντα τὰ μέλλοντα ἤδεσαν οἱ δίκαιοι; καὶ σφόδρα, εἰ γὰρ διὰ βέλτιον οὐκ ἐπεκαλύπτετο ὁ υἱὸς ἀμὰ τὴν ἀσθένειαν τῶν μὴ δυναμένων αὐτὸν δέξασθαι, τοῖς ἐν ἀρετῇ διαλάμπουσιν, εἰκότως ἐπεκαλύπτετο. βέλτιον καὶ ὁ παῦλος φησὶν, ὅτι τὰ μέλλοντα ἤδεσαν, τουτέστι τὴν ἀνάστασιν τοῦ χριστοῦ. ἢ οὐ βέλτιον φησὶν, ἀλλὰ πίστει περὶ μελλόντων, οὐ τοῦ μέλλοντος αἰῶνος, ἀλλὰ περὶ μελλόντων τῶν ἐν τούτῳ. θαι. πῶς γὰρ ἄνθρωπος καθήμενος ἐν ξένῃ τοιαύτας εὐλογίας ἐδίδου; ἀλλὰ πάλιν, ἐπέτυχεν εὐλογίας, καὶ οὐκ ἔλαβεν αὐτήν. ὁρᾷς ὅτι ὅπερ ἔφθη μὲν τοῦ ἀβραὰμ εἰπεῖν εἰπεῖν, ὃ οὐκ ἠδύνατο τῆς εὐλογίας, ἀλλ' εἰς ἐγγόνους ἐξῆλθε τὰ τῶν εὐλογιῶν; αὐτὸς δὲ τῶν

μελλόντων ἔτυχεν. δύσομεν γὰρ τὸν ἀδελφὸν μᾶλλον ἀπολελαυκότα. ὁ μὲν γὰρ ἐν δουλείᾳ, καὶ θητείᾳ, καὶ κινδύνοις, καὶ ἐπιβουλαῖς, καὶ ἀπάταις, καὶ φόβοις τὸν ἅπαντα διεγένετο χρόνον, ἐρωτώμενός τε παρὰ τοῦ φαραὼ, φησί. μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου γεγόνασιν. ἐκεῖνος δὲ ἐν ἀδείᾳ, καὶ αὐθεντίᾳ πολλῇ, καὶ μετὰ ταῦτα ἰῶ αὐτῷ φοβερός. πού οὖν ἐξέβησαν αἱ δυλογίαι, ἀλλ' ἢ ἐν τῷ μέλλοντι; ὁρᾷς ὅτι ἀνωθεν οἱ πονηροὶ τῶν ἐναντίων ἀπέλαυον; οἱ δὲ δίκαιοι, τοὐναντίον; οὐ μὴν πάντες, ἰδοὺ γὰρ ὁ ἀβραὰμ δίκαιος ἰῶ, καὶ ἀπέλαυσε, καὶ τῶν ἐναντίων, πλὴν μετὰ θλίψεως, καὶ πειρασμῶν. καὶ γὰρ πλοῦτος ἰῶ αὐτῷ μόνον, ὅπου τὰ ἄλλα πάντα, θλίψεως ἔγεμε τὰ κατ' αὐτόν. οὐ γάρ ἐστι τὸν δίκαιον μὴ θλίβεσθαι, κἂν πλουτῇ. ὅταν γὰρ βούληται πλεονεκτεῖσθαι, ἀδικεῖσθαι, τὰ ἄλλα πάσχειν, ἀνάγκη θλίβεσθαι, ὥστε κἂν ἀπολαύῃ τοῦ πλούτου, οὐκ ἀλύπως. τί δήποτε; ὅτι ἐν θλίψει ἐστὶ, καὶ ὀδύνῃ. εἰ δὲ τότε ἐν θλίψει οἱ δίκαιοι, πολλῷ μᾶλλον νῦν. πίστει περὶ μελλόντων φησὶν δυλόγησε ἰσαὰκ τὸν ἰακὼβ, καὶ τὸν ἠσαῦ. καίτοιγε μείζων ἰῶ ὁ ἠσαῦ, ἀλλὰ προτιθησιν ἀπὸ τῆς ἀρετῆς τὸν ἰακώβ. ὁρᾷς ὅσον ἰῶ ἡ πίστις; πόθεν ἐπηγγέλλετο τοῖς υἱοῖς τοσαῦτα ἀγαθά; ἀπὸ τοῦ πιστεύειν τῷ θεῷ πάντως. πίστει ἰακὼβ ἀποθνήσκων, ἕκαστον τῶν υἱῶν ἰωσὴφ δυλόγησεν. ἐναντία χρὴ θεῖναι τὰς δυλογίας ὅλας, ἵνα καὶ ἡ πίστις, καὶ ἡ προφητεία αὐτοῦ κατάδηλος γένηται. καὶ προσεκύνησε φησὶν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. ἐνταῦθα φησὶν, οὐ μόνον εἶπεν, ἀλλὰ καὶ οὕτως ἐπαίρει τοὺς ἐσομένους, ὡς καὶ τῷ ἔργῳ αὐτῷ ἐπιδεῖξαι. ἐπειδὴ γὰρ ἔμελλεν ἀπὸ τοῦ ἐφραὶμ ἀνίστασθαι βασιλεὺς ἕτερος, διαδοχὴν φησὶ, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. συντέτριπται καὶ γέρων ὤν, ἤδη προσεκύνει τῷ ἰωσὴφ, πλὴν πάντες τοῦ λαοῦ προσκυνήσιν δηλῶν τὴν ἐσομένην αὐτῷ. καὶ ἔδει ἐξέβη μὲν ἤδη, ὅτε αὐτῷ οἱ ἀδελφοὶ προσεκύνησαν. ἐνέβαινε δὲ ἔμελλε καὶ ὕστερον διὰ τῶν δέκα φυλῶν. ὁρᾷς πῶς τὰ ὕστερον ἐσόμενα προεῖπεν; ὁρᾷς ὅσην εἶχον πίστιν; πῶς ὑπὲρ τῶν ἐσομένων ἐπίστευον; τὰ μὲν γὰρ ὑπομονῆς ἐν ζωῇ ἐστὶν ὑποδείγματα μόνης, τὰ παρόντα, καὶ τοῦ παθεῖν κακῶς, καὶ τοῦ μηδὲν ἀπολαύειν ἀγαθόν. οἷον τὸ τῷ ἀβραὰμ, τὸ τῷ ἄβελ. τὰ δὲ πίστεως, οἷον τῷ νῶε, ὅτι ἐστὶν ὁ θεὸς, ὅτι ἐστὶν ἀνταπόδοσις. ἡ πίστις γὰρ πολύτροπός ἐστιν ἐν ζωῇ ἐνταῦθα, τό τε εἶναι ἀνταπόδοσιν, καὶ τὸ μὴ τοῖς αὐτοῖς αὐτὴν ἀναμένειν, καὶ τὸ πρὸ τῶν ἐπάθλων, ἀθλεῖν. καὶ τὰ κατὰ τὸν ἰακὼβ πίστεως μόνης ἐστὶν, ὅτι ἐπηγγείλατο τῷ ἀβραὰμ, ὅτι ὑπέσχετο σοὶ δώσω, καὶ τῷ σπέρματί σου τὴν γῆν ταύτην. ἤκουσεν ὁ ἰωσὴφ, καὶ ἐν ἀλλοτρίᾳ ὤν, καὶ οὐδέπω ὁρᾷς ἐκβεβηκυῖαν τὴν ὑπόσχεσιν. οὐδὲ οὕτω κατέπεσεν, ἀλλ' οὕτως ἐπίστευσεν, ὡς καὶ περὶ τῆς ἐξόδου εἰπεῖν, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐντείλασθαι. οὐκ ἄρα μόνος αὐτὸς ἐπίστευσεν, ἀλλὰ καὶ τοὺς ἄλλους ἐποίησεν εἰς πίστιν, ἵνα ἀεὶ μεμνημένοι, ὅτι οὐκοῦν περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο, εἰ μὴ πεπληροφόρητο, προσδοκῶσι τὴν ἔξοδον. ὥστε ὅταν τινὲς λέγωσιν ἰδοὺ, καὶ δίκαιοι ἐφρόντισαν μνημείων, λέγωμεν πρὸς αὐτούς, ὅτι διαδοχὴν. ἤδει γὰρ ὅτι τοῦ κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς, οὐκοῦν οὐκ ἐν τοσαύτῃ ξένῃ σας φιλοσοφίᾳ δοξαν ἠγώνισεν, ὁ τὸν ἅπαντα χρόνον ἐν αἰγύπτῳ ζήσας. καίτοιγε ἐξὸν ἦν αὐτῷ ἐβούλετο, ἐπανελθεῖν, καὶ μὴ πενθῆσαι, μηδὲ δυσχεραῦναι, ἀλλὰ καὶ τὸν πατέρα ἐκεῖ ἀναγαγὼν, τίνος ἕνεκεν, καὶ τὰ αὐτοῦ ὀστᾶ ἀναγαγεῖν ἐκεῖθεν ἐπέσκηψεν; ἢ δηλονότι δια-

δοχὴν. τί δὲ

πίωμεν. ὁρᾷς ὅσον ἡ τρυφὴ κακόν; τοῖς μὲν, τὰ χρήματα. τοῖς δὲ ἡ κοιλία ὁ θεός. οὐχὶ εἰδωλολάτραι καὶ οὗτοι, καὶ ἐκείνων χείρους; καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν; τινὲς τὴν περιτομὴν φασίν. ἐγὼ δὲ οὐ τοῦτο φημί, ἀλλὰ τοῦτ' ἔστιν, ἐφ' οἷς ἔδει ἐγκαλύπτεσθαι, τούτοις τούτοις σεμνύονται. δεινὸν μὲν γὰρ τὸ αἰσχρὰ πράττειν, τὸ δὲ πράττοντα αἰσχύνεσθαι, ἐξημισέασο ἐπὶ δεινόν. ὅταν μέντοι τις, καὶ ἐγκαλλωπίζηται, ὑπερβολὴν ἀναισθησίας. ἆρα περὶ ἐκείνων μόνον ταῦτα εἴρηται; οἱ δὲ παρόντες ἡμῶν ἐν ταῦθα ἐξέφυγον τὸ ἔγκλημα; καὶ οὐδείς ἐστιν ὑπεύθυνος τούτῳ; οὐδὲ θεὸν ἔχει τὴν κοιλίαν; οὐδὲ τὴν δόξαν ἐν τῇ αἰσχύνῃ; βούλομαι καὶ σφόδρα βούλομαι μηδὲν τούτων εἶναι πρὸς ἡμᾶς μᾶλλον, ἢ τοῖς τότε λέγεσθαι. ὅταν γὰρ πάντα τὸν βίον ἐν πότοις, καὶ κώμοις ἀναλίσκηταί, καὶ εἰς μὲν πένητας ὀλίγα τινὰ δαπανᾷ, τὸ δὲ πλέον ἀναλίσκηται εἰς τὴν κοιλίαν, οὐκεικότως καὶ περὶ αὐτῶν λεχθήσεται; οὐδὲν ἂν τρεπτικώτερον τῆς λέξεως, οὐδὲν ἐμπληκτικώτερον. ὧν ὁ θεός φησιν ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. τίνες οὗτοι εἰσίν; οἱ τὰ ἐπίγεια φρονοῦντες. οἰκοδομήσωμεν οἰκίας. ποῦ; ἐν τῇ γῇ φησί. κτησώμεθα ἀγρούς, ἐν τῇ γῇ πάλιν, ἐπιτύχωμεν ἀρχῆς, πάλιν ἐν τῇ γῇ, τύχωμεν δόξης, πάλιν ἐν τῇ γῇ, πλουτήσωμεν, πάντα ἐν τῇ γῇ. οὗτοί εἰσιν ὧν ὁ θεὸς ἡ κοιλία. οἱ γὰρ μηδὲν πνευματικὸν φρονοῦντες, ἀλλ' ἐν ταῦθα πάντα κεκτημένοι, καὶ ταῦτα φρονοῦντες, εἰκότως τὴν κοιλίαν θεὸν ἔχουσι, λέγοντες. φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. καὶ περὶ μὲν τοῦ σώματος ἀλγεῖς εἰκότως, ὅτι χοϊκόν ἐστι, καίτοι οὔτως οὐδὲν παραβλάπτει, καὶ τὴν ψυχὴν καταπατᾷς εἰς τὴν γῆν; δέον καὶ ταύτην ποιῆσαι πνευματικόν; ἔξεστι γὰρ σοὶ θέλῃς. τὴν κοιλίαν ἔλαβες, ἵνα τρέφῃς, οὐχ ἵνα διαπατᾷς, ἵνα κρατῇς αὐτῆς, οὐχ ἵνα δέσποιναν ἔχῃς, ἵνα σοι ὑπηρετῇ πρὸς τὴν τῶν λοιπῶν μερῶν διατροφήν, οὐχ ἵνα σὺ αὐτῇ ὑπηρετῇς, οὐχ ἵνα τοὺς ὅρους ἐκβαίνῃς. οὐ τοσαῦτα κακὰ ἐργάζεται ἡ θάλασσα τοὺς ὅρους ὑπερβαίνουσα, ὅσα ἡ γαστὴρ τὸ σῶμα τὸ ἡμέτερον μετὰ τῆς ψυχῆς. πᾶσαν ἐπικλύζει τὴν οἰκουμένην ἐκείνη, καὶ αὐτὴ ἅπαν τὸ σῶμα. θὲς αὐτῇ ὅρον τὴν αὐτάρκειαν, καθὼς ἔθετο τῇ θαλάσσῃ τὴν ἄμμον, κἂν κυμαίνῃ, κἂν ἀχριαίνῃ, ἐπίπαν τῇ δυναμένῃ τῇ οὔσῃ ἐν σοί. ὅρα πῶς σε ἐτίμησεν ὁ θεὸς, ἵνα αὐτὸν μιμῇ. σὺ δὲ οὐ θέλεις, ἀλλ' ὁρᾷς αὐτὴν ὑπερβαίνουσαν, καὶ πᾶσαν διαφθείρουσαν τὴν φύσιν, καὶ λιμνάζουσαν, καὶ οὐ τολμᾷς καταχεῖν, οὐδὲ σωφρονίσαι. ὧν ὁ θεός φησιν ἡ κοιλία. ἴδωμεν πῶς παῦλος ἐδούλευσε τῷ θεῷ. ἴδωμεν πῶς καὶ οἱ γαστρίμαργοι τῇ κοιλίᾳ. οὐχὶ μυρίους τοιούτους ὑπομένουσι θανάτους; οὐχ ἅπερ αὐ προστάττῃ δεδοίκασι παρακοῦσαι; οὐχὶ τὰ ἀδύνατα διακονοῦνται αὐτῇ; οὐχὶ ἀνδραπόδων χείρους εἰσίν; ἡμῶν δὲ φησι τὸ πολίτευμα ἐν οὐρανῷ ὑπάρχει. μὴ τοίνυν ἐν ταῦθα ζητῶμεν αὐτὸ εἶναι. ἐκεῖ ἐσμὲν λαμπροὶ, ἔνθα καὶ πολιτευόμεθα. ἐξ οὗ καὶ σωτῆρα φησὶν ἀπεκδεχόμεθα κύριον Ἰησοῦν, ὃς μεταχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. κατὰ μικρὸν ἀνήγαγεν ἡμᾶς. ἀπὸ οὐρανοῦ φησιν ὁ ἡμέτερος σωτὴρ, ἀπὸ τοῦ τόπου ἀπὸ τοῦ προσώπου τὸ σεμνὸν δεικνύς. ὃς μεταχηματίσει τὸ σῶμα φησὶ τῆς ταπεινώσεως ἡμῶν. πολλὰ πάσχει νῦν τὸ σῶμα, δεσμεῖται, μαστίζεται, μυρία πάσχει δεινὰ, ἀλλὰ καὶ τοῦ χριστοῦ πεπόνθασι ταῦτα. οὐδὲν γοῦν ἠνίξατο εἰπών, εἰς τὸ γενέσθαι αὐτῷ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. ἆρα τὸ αὐτὸ μένει ἐστὶν, συνδύεται δὲ ἀφθαρσίαν, μεταχηματίσει. ἆρα καὶ τὸ σχῆμα ἕτερον, ἢ τὴν μετα-

βολὴν οὕτω καταχρηστικῶς ἐκάλεσε. σῶμα δὲ ταπεινώσεως ἡμῶν εἶπεν, ὅτι τεταπείνωται νῦν, τῇ φθορᾷ ὄντι ὑποτεύθυνον, τῇ ἀλγηδόνι. δοκεῖ δὲ τέλεις εἶναι, μὴ οὐδὲν τῶν λοιπῶν ἔχειν πλέον. εἰς τὸ γενέσθαι αὐτὸ φησι συμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. βαθμὸν ἐκείνῳ τῷ κεκοσμημένῳ ἐν δεξιᾷ τοῦ πατρὸς, σύμμορφον ἔδει τὸ σῶμα γίνεται, ἐκείνῳ τῷ προσκυνουμένῳ ὑπὸ ἀγγέλων, ἐκείνῳ ᾧ παρεστήκεσαν αἱ ἀσώματοι δυνάμεις, ἐκείνῳ τῷ ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, ἐκείνῳ σύμμορφον γίνεται. ἆρα οὖν ἡ οἰκουμένη πᾶσα λαβοῦσα δάκρυα τοὺς ζωῆς τῆς ἐλπίδος ἐκπεπτωκότας δακρύῃ, ἀξίως δακρύσει; ὃ δὲ ἐπαγγελίας ἡμῖν κειμένης ἐκείνῳ γενέσθαι σύμμορφον, μετὰ τῶν δαιμόνων ἀπερχεται. οὐ μέλλει μοι γεέννης λοιπὸν, ὅσα οὖν εἴρηκε, οὐδὲν νομίζω πρὸς τὴν ἔκπληξιν ζωήν. τί λέγεις ὦ παῦλε; ἐκείνῳ σύμμορφον γίνεται; ναί φησιν. εἶτα ἵνα μὴ ἀπιστήσῃς, καὶ λογισμὸν ἐπήγαγε. κατὰ τὴν ἐνέργειαν φησὶ τοῦ δύνασθαι αὐτὸν, καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα. δύναμιν ἔχει φησὶν, ὥστε τὰ πάντα ὑποτάξαι, ὥστε καὶ τὴν φθορὰν, καὶ τὸν θάνατον. μᾶλλον δὲ ἀπὸ τῆς αὐτῆς δυνάμεως, καὶ ἔδει ποιεῖ. ποίασ γὰρ δυνάμεως ἐστὶ μείζων εἰπέμοι, δαίμονας μὴ ἀγγέλους, καὶ ἀρχαγγέλους, καὶ χερουβὶμ, καὶ σεραφὶμ ὑποτάξαι, ἢ σῶμα ποιῆσαι ἀφθαρτον, καὶ ἀθάνατον; πολλῷ δὴ μᾶλλον ἔδει, ἢ ἐκεῖνο. ἔδειξε μείζονα ἔργα τῆς δυνάμεως αὐτοῦ, ἵνα καὶ τούτοις πίστιν, ὥστε κἂν ὁρᾶτε τούτους χαίροντας, κἂν ὁρᾶτε δεδοξασμένους, φήκετε. μηδὲν παραβλάπτεσθε παρ' αὐτῶν, μηδὲν πτύρεσθε, ἱκαναὶ αὗται αἱ ἐλπίδες, καὶ τὸν σφόδρα νωθρὸν, καὶ ὑπνηλὸν ἀνορθῶσαι. Ὥστε ἀδελφοί μου φησὶν
» ἀγαπητοὶ, καὶ ἐπιπόθητοι, χαρά μου καὶ στέφανός μου οὕτω φήκετε ἐν κυρίῳ ἀγαπητοί.
Οὕτω. πῶς; ἀκλινεῖς. ὅρα πῶς μετὰ τὴν παραίνεσιν τὰ ἐγκώμια. χαρὰ καὶ στέφανός μου. οὐχ ἁπλῶς χαρὰ, ἀλλὰ καὶ δόξα, οὐχ ἁπλῶς δόξα, ἀλλὰ καὶ στέφανος. ἧς δόξης οὐκ ὄντιν ἴσον ὅταν παύλου στέφανος ᾖσιν. οὕτως φήκετε ἐν κυρίῳ ἀγαπητοί. τουτέστιν ἐν τῇ ἐλπίδι
» τοῦ θεοῦ. Εὐωδίαν παρακαλῶ, καὶ συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν κυρίῳ. ναί
» ἐρωτῶ, καὶ σὲ σύζυγε γνήσιε. συναντιλαμβάνου αὐταῖς. Τινὲς τὴν γυναῖκα αὐτοῦ παρακαλεῖν ἐνταῦθα φασίν. ἀλλ' οὐκ ὄντιν, ἀλλὰ πιᾶ γυναῖκα, ἢ καὶ αὐθαιρέτως αὐτῶν.
» Συναντιλαμβάνου αὐταῖς φησὶν, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι μετὰ καὶ κλήμεντος, καὶ τῶν λοιπῶν συνεργῶν μου. ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. Ὁρᾷς ὅσην αὐταῖς ἀρετὴν μαρτυρεῖ; ὅπερ τοῖς ἀποστόλοις εἶπεν ὁ Χς, μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγεγραμμένα ἐν βίβλῳ ζωῆς. ἔδει αὐτοῖς μαρτυρεῖ λέγων. ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. δοκοῦσι δέμοι αὗται αἱ γυναῖκες τὸ κεφάλαιον εἶναι τῆς ἐκκλησίας τῆς ἐκεῖ, καὶ παρατίθεται αὐτὰς ἀνδρὶ ἴσως θαυμαστῷ, καὶ ὃν σύζυγον καλεῖ. ἴσως εἰώθει παρατίθεσθαι, ὡς συνεργῷ, καὶ συμφραπώτῃ, καὶ κοινωνῷ, καὶ ἀδελφῷ. ὅπερ καὶ ἐν τῇ πρὸς ῥωμαίους ποιεῖ λέγων. συνίστημι ὑμῖν φοίβην τὴν ἀδελφὴν ἡμῶν, διάκονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν κεγχραίαις. ἢ ἀδελφόντινα αὐτῶν, ἢ καὶ ἀνδρα αὐτῆς, ὡς αὖ εἴ ἔλεγε. νῦν ἀδελφὸς εἴ γνήσιος, νῦν ἀνὴρ γνήσιος, ὅτι μέλος γέγονας. αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι. τί λέγεις; γυναῖκες συνήθλησαν; ναί φησιν. οὐ μικρὸν, καὶ αὗται συνεβάλοντο μέρος. καίτοι πολλῶν ὄντων τῶν συνεργούντων, ὅμως ἐν πολλοῖς, καὶ αὗται συνέπραττον. οὐ μικρῶς οὖν τότε συνεκροτοῦντο αἱ ἐκκλησίαι.

τῷ γὰρ

τῷ γὰρ τοὺς δυσδαίμονας, ἤτοι αὐθράσος, ἤτοι γνωμάνικας τοσαύτης παρὰ τῶν λοιπῶν ἀπολαύειν τιμῆς, πολλὰὲγίνετο τὰκακά. πρῶτον μὲν οἱ λοιποὶ πρὸς τὸν ἴσον ἤγοντο ζῆλον. δεύτερον δὲ καὶ ἐκέρδαινον ἀπὸ τῆς τιμῆς. τρίτον καὶ αὐτοὺς ἐκείνους προθυμοτέρους ἐποίουν, καὶ σφοδροτέρους. διὰ τοῦτο παντάχου ὁρᾷς ἐπιμελούμενον τούτου τὸν παῦλον, καὶ παρατιθέμενον τοὺς τοιούτους. ὅπερ καὶ ἐν τῇ πρὸς κορινθίους φησὶν, οἵτινές εἰσιν ἀπαρχὴ τῆς ἀχαΐας. τινὲς φασὶν ὄνομα ἐκεῖνο κύριον εἶναι τὸ σύζυγε. τί γὰρ εἴτε διὰ τοῦτο, εἴτε ἐκεῖνος; οὐ σφόδρα ἀκριβολογεῖσθαι δεῖ, ἀλλ' ὅτι πολλῆς κελεύει αὐτὰς προφασίσασθαι ἀπολαῦσαι. πάντα ἡμῖν ἐν οὐρανοῖς φησι, καὶ σωτὴρ, καὶ πόλις, καὶ ὅπλα καὶ ποιητής. ἐξ οὗ γάρ φησι, καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον ἰησοῦν χριστόν.

Η' ἐπόν.

Κ αὶ διὰ τῆς φιλανθρωπίας αὐτοῦ. αὖθις πάλιν ἔρχεται πρὸς ἡμᾶς, οὐχ ἡμᾶς ἕλκει ἐκεῖ, καὶ οὕτως λαβὼν ἡμᾶς ἀπεισι, καὶ διὰ πολλῆς τῆς τιμῆς. εἰ γὰρ πρὸς ἐχθροὺς ὄντας ἦλθε, πολλῷ μᾶλλον πρὸς φίλους γενομένους. οὐκέτι πρέπει διὰ ἀγγέλοις, οὐδὲ δούλοις, ἀλλ' αὖθις ἔρχεται καλέσων ἡμᾶς εἰς τὰ βασίλεια αὐτοῦ. ἴδε ἁρπαγησόμεθα καὶ ἡμεῖς ἐν νεφέλαις πρῶτοι αὐτόν. τίς ἄρα εὑρεθῇ ὁπόσος δοῦλος, καὶ φρόνιμος; πόσοι ἄρα οἱ καταξιούμενοι τῶν τοσούτων ἀγαθῶν; πῶς ἐλεεινοὶ οἱ ἀποπίπτοντες. εἰ γὰρ τὸν πάντα χρόνον ἐκλαίομεν, ἆρά τι ἄξιον ποιοῦμεν; εἰ γὰρ μυρίας γεέννας εἴπῃς, οὐδὲν ἴσον ἐρεῖς τῆς ὀδύνης ἐκείνης, ἣν ὑφίσταται ψυχὴ τῆς οἰκουμένης κλονουμένης ἁπάσης, τῶν σαλπίγγων ἠχουσῶν, τῶν ἀγγέλων προτρεχόντων τῶν πρώτων, εἶτα δευτέρων, εἶτα τρίτων, εἶτα μυρίων ταγμάτων ἐπιχεομένων εἰς τὴν γῆν, εἶτα τῶν χερουβὶμ, πολλὰ δὲ ζῶντα ἐφ', καὶ ἄτερα, τῶν σεραφὶμ, αὐτοῦ ἐρχομένου σὺν τῇ δόξῃ ἐκείνῃ τῇ ἀφράστου, τῶν ἁπάντων ἀφισομένων τοὺς ἐκλεκτοὺς ἄγεσθαι εἰς μέσον, τῶν περὶ παῦλον, καὶ πάντων ὅσοι δεδοκίμησαν παρ' αὐτῷ στεφανουμένων, ἀναγκηρυττομένων, τιμωμένων παρὰ τοῦ βασιλέως σὺν πάσῃ τῇ στρατιᾷ τῆς οὐρανίου. εἰ γὰρ μὴ γέενα ἦγεῖτο, τὸ τοὺς μὲν τιμᾶσθαι, ἐκείνους δὲ ἀτιμάζεσθαι, πόσον ἐστίν; ἀφόρητος ἡ γέεννα ὁμολογῶ, καὶ σφόδρα ἀφόρητος. πλὴν ἀφορητοτέρα αὕτη τῆς βασιλείας ἡ ἐκπλῆξις. ἐννοήσατε, εἴτις βασιλεὺς, ἢ υἱὸς βασιλέως ἀπελθὼν, καὶ πολέμους καταστησάμενος μυρίους, καὶ θαυμασθεὶς, καὶ ἔχων στρατὸν ἄπειρον ὁλόκληρον, ἐπιβαίνει πόλεως τινὸς μετὰ τοῦ ξύλου, μετὰ τροπαίων, μετὰ μυρίων ταγμάτων, τῶν ἀστράπτοντων χρυσῶν, μετὰ τῶν δορυφόρων τῶν περὶ αὐτὸν ἁπάντων, καὶ πᾶσα ἡ πόλις ἐστεφανωμένη εἴη, καὶ πάντες οἱ τῆς οἰκουμένης ἄρχοντες μετ' αὐτοῦ, ἕποιτο δὲ αὐτῷ, καὶ πᾶσα ἡλικία ὀπίσω ἀλλογενῶν ἐθνῶν δεσμωτῶν, εἶτα ὑπάρχουσα τραπέζας παρόντων τῶν ἀρχόντων ἁπάντων ἀπάσης τῆς λαμπρότητος ἐκείνης, τοὺς ἀπαντῶντας τῶν πολιτῶν δέχοιτο, καὶ καταφιλεῖ, καὶ χεῖρα ὀρέγει, καὶ πάσης μεταδιδοῖ παῤῥησίας, καὶ πάντων ἐφώτων διαλέγοιτο, ὥσπερ πρὸς φίλους, καὶ λέγοι πᾶσαν τὴν ὁδὸν ἐκείνην δι' αὐτοὺς πεποιῆσθαι, καὶ εἰς τὰ βασίλεια ἄγοι, καὶ αὐτῶν μεταδιδῷ, κἂν μὴ κολάζωνται οἱ λοιποὶ, πόσης κολάσεως ταῦτα οὐκ ἄξια; εἰ δὲ ἐπ' ἀνθρώπου οὕτω πικρὸν τὸ τῆς δόξης ταύτης ἀποστερεῖν, πολλῷ μᾶλλον τοῦ θεοῦ, ὅταν οἱ ἄνω δυνάμεις πᾶσαι παρῶσι μετὰ τοῦ βασιλέως, ὅταν οἱ δαίμονες δεδεμένοι, καὶ κάτω νεύοντες, ὁ διά-

βολος αὐτὸς δέσμιος ἄγηται, καὶ πᾶσα ἡλικία ἀντικειμένη, ὅταν αἱ δυνάμεις τῶν οὐρανῶν, ὅταν αὐτὸς ἔρχηται ἐπὶ τῶν νεφελῶν· πιστεύσατέ μοι, οὐδὲ τῆς ὀδύνης ταύτης καταχυσθησόμεθα τὴν ψυχὴν τῷ διηγήματι τούτῳ, οὐδὲ ἐξανύσαι τὸν λόγον δυνησόμεθα. ἐννοήσωμεν πόσης ἀποστερούμεθα δόξης, ἐξὸν μὴ ἀποστερηθῆναι. τὸ γὰρ δεινὸν, οὐδέν ἐστιν, ὅτι κύριοι ὄντες τοῦ μὴ ταῦτα παθεῖν, πάσχομεν· ὅταν τοὺς μὲν, δέχηται καὶ ἀπάγῃ πρὸς τὸν πατέρα εἰς τοὺς οὐρανούς· τοὺς δὲ, ἀφίησι, καὶ λαβόντες ἄγγελοι τινὲς ἕλκωσιν ἄκοντας, καὶ δακρυμένους, καὶ κάτω νεύοντας ἐπὶ τὸ τῆς γεέννης πῦρ, πρῶτον παραδείγματι θέντας ἐπὶ τῆς οἰκουμένης ἁπάσης, πόσην οἴει τὴν ὀδύνην εἶναι; σπεύδωμεν οὖν ἕως ἐστὶ καιρὸς, καὶ πολλὴν τῆς ἑαυτῶν σωτηρίας τὴν φροντίδα ποιώμεθα· πόσα τοιαῦτα ἔχομεν εἰπεῖν οἷα ὁ πλούσιος· εἴπῃς ἡμᾶς ναῦν σωρεύειν, ἐβουλευσάμεθα ἀπὸ τῶν συμφερόντων, ἀλλ' οὐδεὶς ἀφίησι· καὶ ὅτι ἐρῦμεν, οὐχὶ τὰ ἐκείνου μόνου δῆλον, ἀλλὰ καὶ ἀπὸ ἄλλων πολλῶν· καὶ ἵνα μάθῃς, πόσοι ἐν πυρετῷ ἐγένοντο, καὶ εἶπον ἐὰν ἀνακτησώμεθα ἑαυτοὺς, οὐκέτι τοῖς αὐτοῖς περιπεσούμεθα· πολλὰ τοιαῦτα ἐρῦμεν τότε, ἀλλὰ ἀκουσόμεθα ἅπερ ὁ πλούσιος, ὅτι χάσμα ἐστὶν, ὅτι ἀπελάβομεν τὰ ἀγαθὰ ἐν ταύτῃ· γένωμεν οὖν παρακαλῶ πυρόν· μᾶλλον δὲ μὴ μόνον γένωμεν, ἀλλὰ μετέλθωμεν τὴν ἀρετήν· πενθήσωμεν ναῦν ἐπὶ σωτηρίᾳ, ἵνα μὴ τότε πενθήσωμεν εἰκῆ· κλαύσωμεν ναῦν, καὶ μὴ τότε κλαύσωμεν ἐπὶ κακίᾳ· οὗτος ὁ κλαυθμὸς, ἀρετῆς· ἐκεῖνος ἀνωφελοῦς διανοίας· θλίψωμεν ἑαυτοὺς ναῦν, ἵνα μὴ τότε θλιβῶμεν· οὐκ ὄδυνι ἴσον ἐνταῦθα θλιβῆναι, καὶ ἐκεῖ· ἐνταῦθα πρὸς βραχὺν θλῖψιν χρόνον, μᾶλλον δὲ οὐδὲ αὐθησιν λαμβανεῖς τῆς θλίψεως, εἰδὼς ὅτι ἐπ' ἀγαθῷ θλῖψις· ἐκεῖ δὲ χαλεπωτέρα ἡ θλῖψις, ὅτι οὐκέτ' ἐλπίδι, οὐδὲ ἐπίπνοι διεξόδῳ, ἀλλὰ ἀπείρως, καὶ διαπαντός· γένοιτο δὲ πάντας ἡμᾶς ἀπαλλαγέντας, τυχεῖν τῆς ἀνέσεως· ἀλλ' εὐχώμεθα, καὶ σπουδάζωμεν τυχεῖν τῆς ἀνέσεως· σπουδάζωμεν παρακαλῶ· αὖ γὰρ σπουδάζωμεν, καὶ εὐχώμεθα, ἀνύσομεν· ἐὰν εὐχώμεθα ἐκτενῶς, δίδωσιν ὁ θεός· αὖ δὲ μήτε αἰτῶμεν αὐτὸν, μήτε ἐνεργῶμέν τι τοιοῦτον, μὴ δὲ ἐργαζώμεθα, πῶς ἐνικατορθῶσαι ποτὲ καθεύδοντας; οὐδαμῶς· ἀγαπητὸν γὰρ τρέχοντας, καὶ σπεύδοντας, καὶ συμμορφουμένους τῷ θανάτῳ αὐτοῦ, ὡς παῦλος εἶπε, δυνηθῆναι ἐπιτυχεῖν· εἴπῃς καταντήσω φησίν· εἰ δὲ παῦλος ἔλεγεν, εἴπῃς καταντήσω, τί ἡμεῖς ἐροῦμεν; μήτοιγε δὴ καθεύδοντες· καθεύδοντα γὰρ οὐδὲ κοσμικὰ πράγματα ἐᾷ λαβεῖν ποτὲ, μήτοιγε πνευματικά· καθεύδοντας οὐδὲ παρὰ τῶν φίλων ἐᾷ λαβεῖν ποτὲ, μήτοιγε παρὰ θεοῦ· καθεύδοντας οὐδὲ πατέρες ἐλεῶσι, μήτοιγε ὁ θεός· μικρὸν πονέσωμεν, ἵνα διαπαντὸς ἀναπαυσώμεθα· πάντως θλιβῶμεν δεῖ, κἂν μὴ θλιβῶμεν ἐνταῦθα, ἐκεῖ δῆλον μένει· διατὶ μὴ αἱρούμεθα ἐνταῦθα θλιβῶμεν, ἵνα ἐκεῖ ἀναπαυσώμεθα; καὶ τύχωμεν τῶν ἀπορρήτων ἀγαθῶν;

» Χαίρετε ἐν κυρίῳ πάντοτε, πάλιν ἐρῶ χαίρετε. τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώ-
» ποις· ὁ κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ, καὶ τῇ δεήσει μετὰ εὐ-
» χαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεόν, καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα
» πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν ἐν χριστῷ ἰησοῦ.

Μ ακάριοι οἱ πενθοῦντες, καὶ οὐαὶ τοῖς γελῶσι φησὶν ὁ χριστός. τί οὖν ὁ παῦλος φησὶ, χαίρετε ἐν κυρίῳ πάντοτε; οὐαὶ δὲ τοῖς γελῶσιν εἶπεν ὁ χριστὸς, τὸν γέλωτα τοῦ κόσμου τούτου τὸν νῦν τοῖς παροῦσι γινόμενον πράγμασι, καὶ τοὺς πενθοῦντας ἐμακάρισεν, οὐ τοὺς ἁπλῶς πενθοῦντας νῦν ταῖς τῶν οἰκείων ἀποβολαῖς, ἀλλὰ τοὺς κατανενυγμένους, καὶ τὰ οἰκεῖα πενθοῦντας κακὰ, καὶ τὰ ἑαυτῶν ἁμαρτήματα ἀναλογιζομένους, ἢ καὶ τὰ ἀλλότρια. οὐκ ὄθεν δὲ αὕτη ἡ χαρὰ ἐναντία τῷ πένθει ἐκείνῳ. ἀλλὰ γὰρ ἀπ' ἐκείνου τοῦ πένθους, καὶ αὕτη πίκτεται. ὁ γὰρ πενθῶν τὰ ἑαυτοῦ κακὰ, καὶ ἐξομολογούμενος, χαίρει. ἄλλως δὲ, ἔνεστι μὲν πενθεῖν ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, χαίρειν δὲ ἐν τῷ χριστῷ. ἐπειδὴ οὖν συνεβλίβοντο δι' ὧν ἔπαχον. ἐχαίρομεν γὰρ ὑμῶν φησιν οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, διαζεύξας λέγει. ἐν κυρίῳ χαίρετε. ζοῦτα γὰρ οὐδέν ὄθεν, εἰ θριοῦτον ἐπιδείκνυσθε βίον, ὥστε χαίρειν, ἢ ὅταν τὰ κατὰ θεὸν ὑμῖν μὴ ἦ ἐμποδισμένα. χαίρετε, ἢ τὸ ἐν σοὶ ὄθεν. αὐτὴ τοῦ σοῦ κυρίου πάντοτε. πάλιν ἐρῶ χαίρετε διαῤῥοιοῦντος ἐστὶν. οἷον ὁ ἐν θεῷ ὤν, ἀεὶ χαίρει. κἂν τε θλίβηται, κἂν ὁτιοῦν πάσχῃ, ἀεὶ χαίρει ὁ τοιοῦτος. ἄκουσον γὰρ τοῦ λουκᾶ λέγοντος, ὅτι ὑπέστρεφον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες οἱ ἀπόστολοι, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μαστιγωθῆναι. εἰ μάστιγες, καὶ δεσμὰ ἃ πάντων εἶναι δοκεῖ λυπηρότερα, χαρὰν τίκτει, τί τῶν ἄλλων διωπήσεται ἐμποιῆσαι λύπην ἡμῖν; πάλιν ἐρῶ χαίρετε. καλῶς ἐδιπλασίασεν, ἐπειδὴ τῶν πραγμάτων ἡ φύσις λύπην ἔτικτε. διὰ τοῦ διπλασιασμοῦ δείκνυσιν, ὅτι πάντως δεῖ χαίρειν. τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. εἶπεν ἀνωτέρω ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, καὶ ὅτι τὰ ἐπίγεια φρονοῦσιν. εἰκὸς οὖν ἦν αὐτοὺς, καὶ ἀπεχθῶς πρὸς τοὺς πονηροὺς διακεῖσθαι. παραινεῖ τοίνυν αὐτοῖς μηδὲν ἔχειν πρὸς ἐκείνους κοινὸν, ἀλλὰ μετὰ πολλῆς αὐτοῖς κεχρῆσθαι ἐπιεικείας, μὴ τοῖς ἀδελφοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἐχθροῖς, καὶ τοῖς ἐναντίοις. ὁ κς ἐγγύς, μηδὲν μεριμνᾶτε. τί γὰρ εἰ τέμοι, καὶ ἀνθήσανται; καὶ εἰ ὁρᾶτε τρυφῶντας αὐτοὺς, τίνος ἕνεκεν ἀλύετε; ἤδη ἡ κρίσις ἐφέστηκεν. οὐκεὶς μακρὰν δώσουσι λόγον τῶν πεπραγμένων αὐτοῖς. ὑμεῖς ἐνθλίψει, ἐκεῖνοι δὲ ἐν τρυφαῖς. ἀλλ' ἤδη ταῦτα λήψεται τέλος. ἀλλ' ἐπιβλύουσι, καὶ ἀπειλοῦσι, μηδὲν μεριμνᾶτε. ἤδη ἐφέστηκεν ἡ κρίσις, ὅτε τἀναντία ἕξομεν, μηδὲν μεριμνᾶτε. κἂν ἐπιεικῶς προσενεχθῆτε τοῖς τὰ δεινὰ ὑμᾶς διαπαθεῖσιν, ἀλλ' οὐκεὶς τέλος αὐτοῖς προχωρήσει. ἤδη τὰ τῆς ἀνταποδόσεως ἐφέστηκε, κἂν πενία, κἂν θάνατος, κἂν ὁτιοῦν ἄλλο δεινόν ἦ. ἀλλ' ἐν παντὶ τῇ προσευχῇ, καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεόν. μία μὲν οὖν ἐκείνη παραμυθία, τὸ ὁ κς ἐγγύς, καὶ ἐκεῖνο τὸ ἔσομαι μεθ' ὑμῶν πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἑτέρα καὶ ἄλλη παραμυθία, καὶ λύτρωσις, καὶ περιστάσεως, καὶ πάντων τῶν ἀναιρῶν φάρμακον λυτήριον. ποῖον δὴ τοῦτο; τὸ εὔχεσθαι, τὸ ἐν παντὶ εὐχαριστεῖν δεῖ, ὥστε τὰς εὐχὰς, οὐ

μόνον αἰτησιν εἶναι βούλεται, ἀλλὰ καὶ δυχαριστίαν ὑπὲρ ὧν ἔχομεν. πῶς γὰρ αἰτήσει τὰς τὰ μέλλοντα, ὁ τῶν προτέρων χάριν οὐκ εἰδώς; ἀλλ' ἐν παντὶ πράγματι, τῇ προσευχῇ, καὶ τῇ δεήσει. ὥστε ὑπὲρ ἁπάντων δυχαριστεῖν δεῖ, καὶ τῶν δοκούντων εἶναι λυπηρῶν. τοῦτο γὰρ ὄντως δυχαρίστου. ἐκεῖνο μὲν γὰρ ἡ φύσις τῶν πραγμάτων ἀπαιτεῖ. ἔθος δὲ ἀπὸ ψυχῆς γίνεται δυγνώμονος, καὶ σφόδρα διακειμένης πρὸς τὸν θεόν. ταύτας ἐπιγνώσεται τὰς δυχὰς ὁ θεὸς, τὰς δὲ ἄλλας οὐκ οἶδε. τοιαῦτα δυχεσθε, ὥστε ἐπιγνώσεσθε. πάντα γὰρ ὑπὲρ τοῦ συμφέροντος οἰκονομεῖ, κἂν ἡμεῖς μὴ εἰδῶμεν. καὶ ἔθος τοῦ σφόδρα συμφέρειν ἡμῖν ὀδὶ τεκμήριον, τὸ ἡμᾶς μὴ εἰδέναι. καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν ἐν χριστῷ ἰησοῦ. τί ὀδὶ ἔθος; ἡ εἰρήνη τοῦ θεοῦ ἃ πρὸς τοὺς ἀνθρώπους εἰργάσατο, πάντα νοῦν ὑπερέχει. τίς γὰρ αὖ προσεδόκησε, τίς αὖ ἤλπισε τοσαῦτα ἔσεσθαι ἀγαθά; ἅπασαν ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν, οὐχὶ λόγον μόνον, ὑπὲρ τῶν ἐχθρῶν, ὑπὲρ τῶν μισούντων αὐτὸν, ὑπὲρ τῶν ἀποστρεφομένων, ὑπὲρ τούτων τὸν υἱὸν ἐκδοῦναι τὸν μονογενῆ, οὐ παρῃτήσατο, ὥστε εἰρήνην ποιῆσαι πρὸς ἡμᾶς. αὕτη δὴ οὖν ἡ εἰρήνη τοῦτ' ἔστιν ἡ καταλλαγὴ ἡ ἀγάπη τοῦ θεοῦ, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν. ἔθος γὰρ διδασκάλου, μὴ μόνον παραινεῖν, ἀλλὰ καὶ δυχεσθαι, καὶ ἀπὸ δεήσεως βοηθεῖν, ὥστε μήτε ὑπὸ πειρασμῶν καταβαπτίζεσθαι, μήτε ὑπὸ ἀπάτης περιφέρεσθαι, ὡς αὖ εἴ τις ἔλεγεν. ὁ ῥυσάμενος ὑμᾶς, οὗτος οὐ δύναται καταλαβεῖν, αὐτὸς ὑμᾶς φυλάξει, καὶ ἀσφαλίσαιτο, ὥστε μηδὲν παθεῖν. ἡ ἔθος φησὶν, ὅτι ἡ εἰρήνη ἣν φησιν ὁ χς, εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, αὕτη φρουρήσει ὑμᾶς. ἡ γὰρ εἰρήνη, ὑπερέχει πάντα νοῦν ἀνθρώπινον. πῶς γὰρ ὅταν λέγῃ πρὸς τοὺς ἐχθροὺς εἰρηνεύειν πρὸς τοὺς ἀδικοῦντας, πρὸς τοὺς ἐκστρατευομένους, καὶ ἀπεχθῶς πρὸς ἡμᾶς ἔχοντας, πῶς οὐχ ὑπὲρ νοῦν ἐστιν ἀνθρώπινον; μᾶλλον δὲ τὸ πρότερον εἴρωμεν, εἰ ἡ εἰρήνη ὑπερέχει πάντα νοῦν, πολλῷ μᾶλλον αὐτὸς ὁ θεὸς ὁ τὴν εἰρήνην δούς, πάντα νοῦν, οὐ τὸν ἡμέτερον μόνον, ἀλλὰ καὶ τὸν τῶν ἀγγέλων, καὶ τῶν ἄνω δυνάμεων. τί ὄφελος ἐν χριστῷ ἰῦ; ἐν αὐτῷ φυλάξει, ὥστε μένειν, καὶ μὴ ἐκπεσεῖν αὐτὸν τῆς πίστεως. Τοιπὸν ἀδελφοὶ ὅσα ἔθος σεμνὰ, ὅσα ἀληθῆ, ὅσα δίκαια. Τί ὀδὶ τοιπὸν; ἀντὶ τοῦ πάντα ἡμῖν εἴρηται. ἑπόμενον τὸ ῥῆμα ἐστὶ, καὶ οὐδὲν κοινὸν ἔχοντος πρὸς τὰ παρόντα. Λοιπὸν ἀδελφοὶ ὅσα ἔθος ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα δύφημα, εἴτις ἀρετὴ, καὶ εἴτις ἔπαινος, ταῦτα λογίζεσθε, ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί. Τί ὀδὶν ὅσα προσφιλῆ; προσφιλῆ τοῖς πιστοῖς, προσφιλῆ τῷ θεῷ. ὅσα ἔθος ἀληθῆ. ταῦτα γὰρ ὄντως ἀληθῆ, ἡ ἀρετὴ, ψεῦδος δὲ ἡ κακία. καὶ γὰρ ἡ ἡδονὴ αὐτῆς, ψεῦδος καὶ ἡ δύξα αὐτῆς, ψεῦδος καὶ πάντα τὰ τοῦ κόσμου, ψεῦδος ὅσα ἁγνά. πρὸς τὸ, ὧν θεὸς ἡ κοιλία. ὅσα δίκαια. ταῦτά ἔθος φησίν. ὅσα δύφημα, εἴτις ἀρετὴ, καὶ εἴτις ἔπαινος. ἐν ταῦθα βούλεται αὐτοὺς, καὶ τῶν πρὸς ἀνθρώπους προνοεῖν. ταῦτα λογίζεσθε φησίν. ὁρᾷς ὅτι πᾶσαν ἔννοιαν βούλεται ἐξορίσαι πονηρὰν ἐκ τῶν ἡμετέρων ψυχῶν; ἀπὸ γὰρ ἐννοιῶν αἱ πράξεις αἱ πονηραὶ γίνονται. ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε. ἔθος διδασκάλου, ἐν πάσαις ταῖς παραινέσεσιν ἑαυτὸν παρέχειν τύπον, καθὼς, καὶ ἀλλαχοῦ φησί. καθὼς ἔχετε τύπον ἡμᾶς. καὶ πάλιν ἐν ταῦθα, ἃ καὶ

ἃ ἠκούσατε, καὶ ἐμάθετε, καὶ παρελάβετε, τοιαῦτα διδάχθητε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοὶ, καὶ ῥήματων ἕνεκεν, καὶ πράξεων, καὶ ἀναφορᾶς· ὁρᾶς ὅτι μέχρι παντὸς πράγματος ταῦτα διατάττεται; ὅπου γὰρ οὐκ ἐνδεῶς ἀκριβολογεῖσθαι δεῖ περὶ πάντων, καὶ εἰσόδων, καὶ ἐξόδων, καὶ ῥήματος, καὶ χήματος, καὶ συνουσίας, πάντων τούτων χρὴ προνοεῖν τὸν χριστιανὸν, σωτόμως εἶναι, καὶ ὡς ἐν κεφαλαίῳ· ἐν ἐμοὶ ἠκούσατε, καὶ εἴδετε· τοιαῦτα παρ' ἐμοῦ, καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῶν ῥημάτων ὑμᾶς ἐνήγαγον· οὐδὲν γὰρ οὕτως ἐχθρὸν τῆς ἡμετέρας φύσεως, ὡς κακία. Ταῦτα πράττετε· Οὐχὶ λόγοις μόνον, » διὰ καὶ πράξεσι. Καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. Τοιαῦτα ἐν γαλήνῃ ἐστάθε, ἐν ἀσφαλείᾳ πολλῇ, οὐδὲν δεισάθε λυπηρὸν, οὐδὲ τῶν ἀβουλήτων· ὅταν γὰρ ἡμεῖς εἰρηνεύωμεν πρὸς αὐτὸν, εἰρηνεύωμεν δὲ διὰ τῆς ἀρετῆς, πολλῷ μᾶλλον αὐτὸς μεθ' ἡμῶν ἔσται· ὁ γὰρ οὕτως ἡμᾶς ἀγαπήσας, ὡς καὶ μὴ βουλομένους προσιέσθαι, ἂν ἴδῃ προσιόντας, οὐ πολλῷ πλέον προσδέξεται τὴν φιλίαν;

Ἡ αὐτή.

Γ ὡς δὲ ἐχθρὸν ἡμῶν ἡ κακία, καὶ φίλον ἡ ἀρετὴ, πολλαχόθεν δῆλον· τί βούλεσθε, πορνείαν εἰσελθεῖν; ἐπορνείασε Λίσους καθῆκεν, πένητας, καταγελάστους, βδελυκτοὺς πρὸς πάντας· ἅπερ ἐχθρῶν ἴδια διαπεφύκασι· πολλάκις δὲ καὶ νόσοις, καὶ κινδύνοις περιέβαλε· πολλοὶ δὲ ὑπὲρ τῆς πορνῶν ἀπώλοντο, καὶ τραύματα ἔλαβον· εἰ δὲ τὸ πορνεύειν ταῦτα προξενεῖ, τὸ μοιχεύειν πολλῷ μᾶλλον· ἆρα οὖν καὶ ἡ ἐλεημοσύνη οὕτως; οὐδαμῶς, ἀλλ' ὡς μήτηρ φιλόστοργος ἐν οἰκουμένῃ πολλῇ τὸ ταμεῖον καθῆκεν, ἐν δυσταξίᾳ, ἐν χρησῇ δόξῃ· πρὸς τὴν τῶν ἀναγκαίων ποιεῖ σχολάζειν διαπρεπῶς, οὐκ ἀφίησιν ἡμᾶς, οὐδὲ ἀπάγει τῶν ἀναγκαίων, ἀλλὰ καὶ τὴν ψυχὴν σωφρονεστέραν ἐργάζεται· οὐδὲν γὰρ πορνῶν ἀσωφρονέστερον· ἀλλὰ τί βούλει τὴν πλεονεξίαν ἰδεῖν; καὶ αὕτη ἅπερ αὖ ἐχθρὸς ἡμᾶς διέθηκε, διαπέφυκεν· πῶς; μισεῖσθαι καὶ αὕτη ποιεῖ παρὰ πάντων· πάντας ἡμῶν κατεύχεσθαι παρασκευάζει, καὶ τοὺς ἠδικημένους, ἐκείνους μὲν σωφρονοῦντας, ὑπὲρ δὲ ἑαυτῶν δεδοικότας, ὡς ἐχθροὺς κοινοὺς πάντες ὁρῶσιν, ὡς θηρία, ὡς δαίμονας, μυρίαν πανταχοῦ κατηγορίαν, ἐπιβουλαὶ, φθόνοι, ἅπερ ἐστὶν ἐχθρῶν· ἡ δὲ δικαιοσύνη, τοὐναντίον· πάντας φίλους, πάντας συμπαθεῖς, πάντας εὐνοϊκῶς διατίθησι πρὸς ἡμᾶς, παρὰ πάντων ὑπὲρ ἡμῶν εὐχαὶ γίνονται· ἐν ἀσφαλείᾳ πολλῇ τὰ καθ' ἡμᾶς, οὐδεὶς κίνδυνος, οὐδὲ μία ὑποψία, ἀλλὰ καὶ ὕπνος ἀδεῶς ἕπεται μετὰ ἀσφαλείας, οὐδὲ μία φροντὶς, οὐδεὶς πόθος· ὁρᾶς ὅτι μᾶλλον αὕτη βελτίων; τί δὲ, τὸ φθονεῖν, ἢ τὸ συμπάσχεσθαι βέλτιον; ταῦτα πάντα ἐξετάσωμεν, καὶ εὑρήσομεν, ὅτι ἡ μὲν ἀρετὴ καθάπερ μήτηρ οὖσα φιλόστοργος ἐν ἀσφαλείᾳ καθίστησιν· ἡ δὲ κακία, πρᾶγμα ἐπισφαλές, καὶ ἐπικίνδυνον· ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, κραταιώμα κύριος τῶν φοβουμένων αὐτὸν, καὶ ἡ διαθήκη αὐτοῦ δηλῶσαι αὐτοῖς· οὐδένα δέδωκεν ὁ μισθὸν ἑαυτῷ συμπαθῶς πονηρόν· οὐδενὶ πάλιν θαρρεῖ ὁ ἐν κακίᾳ ζῶν, ἀλλὰ καὶ τοὺς οἰκέτας τρέμει, καὶ μετὰ ὑποψίας ὁρᾷ· τί δὲ λέγω τοὺς οἰκέτας; τοῦ συμπαθοῦς οὐ φέρει τὸ διλαφήλιον· οὐχ οἱ ἔξω μόνον, ἀλλὰ καὶ οἱ ἔνδον αὐτὸν κόπτουσι λογισμοὶ, οὐκ ἀφιέντες αὐτὸν ἡρεμεῖν· τί οὖν φησι, πρὸς ἐπαίνους προσέχοντα δεῖ ζῆν; οὐκ εἶπε πρὸς ἔπαινον, ὅρα, ἀλλὰ καὶ τὰ ἐπαινετὰ ποιεῖ, μὴ πρὸς ἔπαινον μέντοι, ὅσα ἀληθῆ· ψεῦδος γὰρ τοῦ-

τα, ὅσα σεμνὰ, τὸ σεμνὸν, τῆς ἔξω ἐφὶ δικαίως, τὸ δεδιγνὸν, τῆς ψυχῆς. μὴ δίδοτε φησὶ πρόσκομμα μηδὲ λαβήν. ὅπερ δὴ εἶπεν ὅσα δύφημα, ἵνα μὴ νομίσῃς, ὅτι τὰ παρὰ ἀνθρώποις ἁπλῶς φησιν, ἐπήγαγεν. εἴτις ἀρετὴ φησι, καὶ εἴτις ἔπαινος, ταῦτα λογίζεσθε, ταῦτα πράττετε. διαπαντὸς βούλεται ἡμᾶς ἐν τούτοις εἶναι, ταῦτα μελεμνᾶν, ταῦτα ἐννοεῖν. εἰ γὰρ μέλλομεν πρὸς ἑαυτοὺς εἰρηνεύειν, καὶ ὁ θεὸς ἕπεται μεθ' ἡμῶν. αὐ δὲ πόλεμον ἐγείρωμεν, ὁ τῆς εἰρήνης δὲ οὐκέπεται μεθ' ἡμῶν. οὐδὲν γὰρ οὕτω πολέμιον τῇ ψυχῇ, ὡς κακία, τουτέστιν ἐν ἀσφαλείᾳ καθίστησιν αὐτὴν ἡ εἰρήνη, καὶ ἡ ἀρετὴ, ὥστε τὰ παρ' ἡμῶν ἄρχεσθαι δεῖ, καὶ τότε τὸν θεὸν ἐπισπασόμεθα. οὐκοῦν ὁ θεὸς πολέμου, καὶ μάχης. καταλύσωμεν, καὶ τὸν πόλεμον, καὶ τὴν μάχην, καὶ τὴν πρὸς αὐτὸν, καὶ τὴν πρὸς τὸν πλησίον, εἰρηνικὸς ἔσο πρὸς πάντας. συνόησον τίνα σε ὄντα ὁ θεὸς σώζει. μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι υἱοὶ θεοῦ κληθήσονται. διαπαντὸς τὸν υἱὸν τοῦ θεοῦ μιμῶμεθα οἱ τοιοῦτοι, καὶ μίμησαι καὶ σὺ αὐτὸν, εἰρήνευσον. ὅσῳ γὰρ σε πολεμεῖ ὁ ἀδελφὸς, τοσούτῳ μείζων ὁ μισθός. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, μὴ τῶν μισούντων τὴν εἰρήνην εἰρηνικός. κἂν ἀρετὴ, κἂν μεῖζον αὐτί νου λογισμοῦ, κἂν θεοῦ ἐγγὺς εἶναι ποιεῖ. οὐδὲν οὕτως δυφραίνει τὸν θεὸν, ὡς τὸ μὴ εἶναι μνησίκακον, κἂν ἀφίησί σε τῶν ἁμαρτημάτων, κἂν σοι λύει τὰ ἐγκλήματα. αὐ δὲ μαχώμεθα, καὶ πωκτεύωμεν, ἔχθραν πίκτονται. ἀπὸ δὲ τῆς ἔχθρας, μνησικακίαι, ἐκκοψον τὴν ῥίζαν, καὶ οὐκέπεται ὁ καρπὸς, οὕτως μαθησόμεθα τῶν βιωτικῶν καταφρονεῖν. οὐ γάρ ἐστιν οὐκ ἔστιν ἐν τοῖς πυλεμικοῖς μάχη, ἀλλ' ὅπερ αὐ ἰδικῆς γενόμενον, ἡ μάχασ, ἡ φθόνον, ἢ ὅπερ αὐ εἴποιτις, βιωτικῶν ἕνεκεν γίνεται. ἡ γὰρ πλεονεξίασ, ἡ φθόνου, ἢ κενοδοξίασ ἔχει ἀρχὴν πᾶσα μάχη. αὐ τοίνυν εἰρηνεύωμεν, μαθησόμεθα καὶ τῶν ἐν τῇ γῇ καταφρονεῖν. ἥρπασέ τις τὰ χρήματα; ἀλλ' οὐδὲν ἠδίκησε, μόνον μὴ τὸν αὐτῷ πλοῦτον ἁρπάσῃ φησίν. ἐνεπόδισέ σου τῇ δόξῃ; ἀλλ' οὐ τῇ πρὸς θεὸν, ἀλλὰ τῇ οὐδαμινῇ. οὐδὲ γὰρ δόξα αὕτη ἐστὶν, ἀλλ' ὄνομα δόξης, μᾶλλον δὲ καὶ ἀδοξία. ἥρπασέ σου τὴν τιμήν; οὐχὶ τὴν σὴν, ἀλλὰ τὴν ἑαυτοῦ. ὥσπερ γὰρ ὁ ἀδικῶν οὐκ ἀδικεῖ, ἀλλ' ἀδικεῖται, οὕτω καὶ ὁ τῷ πλησίον ἐπιβουλεύων, ἑαυτὸν ἀναιρεῖ πρῶτον. ὁ γὰρ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ, εἰς αὐτὸν ἐμπίπτει. μὴ τοίνυν ἐπιβουλεύωμεν ἑτέροις, ἵνα μὴ ἑαυτοὺς βλάπτωμεν. ὅταν τὴν ἑτέρων δόξαν ὑποσκελίσωμεν, συννοήσωμεν ὅτι ἑαυτοὺς βλάπτομεν, ὅτι μὴ ἑαυτῆς ἐπιβουλεύομεν. ἐκεῖνον μὲν γὰρ ἴσως κἂν ἰσχύσωμεν, παρὰ τοῖς ἀνθρώποις βλάπτομεν. ἑαυτοὺς δὲ παρὰ τῷ θεῷ ἀδικοῦμεν, παροξυνόντες αὐτόν. μὴ δὲ βλάπτωμεν ἑαυτούς. ὥσπερ γὰρ εἰ ἀδικοῦμεν τοὺς πλησίον ἑαυτοὺς, ἀδικοῦμεν, οὕτως δὴ ποιοῦντες, ἑαυτοὺς δὴ ποιοῦμεν. ὅταν οὖν σε βλάψῃ ὁ ἐχθρὸς, δύνηται σε, ἐὰν νήφῃς, καὶ μὴ μόνον τοῖς ἴσοις αὐτὸν μὴ ἀμείψῃ, ἀλλὰ καὶ δύνεργέτησον. ἀλλ' ἡ πληγὴ μένει σφοδρά φησι. δι' ὃ τοίνυν συνόησον, ὅτι οὐκ ἐκεῖνον δὴ ποιεῖς, ἀλλ' ἐκεῖνον μὲν κολάζεις, σαυτὸν δὲ δὴ ποιεῖς, καὶ ταχέως ἥξεις πρὸς τὸ δὴ ποιῆσαι. τί οὖν σιωπῶ δεῖ τοιούτῳ ποιεῖν; οὐ δεῖ μὲν τούτῳ ποιεῖν τῷ σιωπῶ. ὅταν δὲ μὴ φέρῃ καρδίαν φησὶ, κἂν τούτῳ αὐτὴν ἀνάγαγε, καὶ ταχέως αὐτὴν πείσεις ἀφεῖναι τὴν ἔχθραν, καὶ ὡς φίλον δύνεργέτησεις λοιπὸν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτεύξῃ.

Ε' χάρις

» Ἐχάρην ἐν κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ ἐ-
» φρονεῖτε, ἠκαιρεῖσθε δὲ, οὐχ ὅτι καθ' ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμὶ αὐτάρ-
» κης εἶναι· οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν, ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι,
» καὶ χορτάζεσθαι, καὶ πεινᾶν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι· πάντα ἰσχύω ἐν τῷ ἐνδυ-
» ναμοῦντί με χριστῷ· πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει.

Πολλάκις εἶπον ὅτι ἡ ἐλεημοσύνη, οὐ τῶν λαμβανόντων ἕνεκεν, ἀλλὰ τῶν διδόντων ἐστὶ σπουδαστή· καὶ γὰρ ἐκεῖνοι εἰσὶν οἱ τὰ μέγιστα κερδαίνοντες· διὸ καὶ ἐν ζῶσι δείκνυσιν ὁ παῦλος, πῶς ἀπέστειλαν αὐτῷ τινὰ καὶ μακροῦ χρόνου φιλιππήσιοι, αὐτοὶ δὴ ζῶντα ἐπαφρόδιτον ἐγχειρήσαντες, μέλλων τίνων αὐτὸν πέμπειν τὴν ἐπιστολὴν ἐπικομίζοντα, ὅρα πῶς καὶ ἐπαινεῖ αὐτοὺς, καὶ δείκνυσιν, ὅτι οὐ τῆς τῶν λαμβανόντων χρείας, ἀλλὰ τῆς τῶν διδόντων ἕνεκεν διὸ γεγένηται· διὸ δὲ ποιεῖ, ἵνα μήτε εἰς ἀπόνοιαν αἴρωνται οἱ δι' ὃ ποιοῦντες, καὶ προθυμότεροι γίνωνται πρὸς τὸ δι' ὃ ποιεῖν, ἅτε ἑαυτοὺς μᾶλλον ὠφελοῦντες, οἵτε λαμβάνοντες, μὴ ἐπιτρέχωσιν ἀδεῶς τῷ λαμβάνειν, ἵνα μὴ κρίμα ἔχωσι· μακάριον γάρ ἐστι φησὶ διδόναι μᾶλλον, ἢ λαμβάνειν· τί οὖν φησιν; ἐχάρην δὲ ἐν κυρίῳ μεγάλως, οὐ κοσμικῶς ἐχάρην φησὶν, οὐδὲ βιωτικῶς, ἀλλ' ἐν κυρίῳ· οὐχ ὅτι ἀνάπαυσιν ἔσχον ἐγὼ, ἀλλ' ὅτι ὑμεῖς προεκόψατε· ἡ γὰρ ἐμὴ ἀνάπαυσις, αὖπι ἐστί· διὸ δὲ καὶ μεγάλως· ἐπεὶ δὴ οὐ σωματικὴ ἦν ἡ χάρις, οὐδὲ ὑπὲρ τῆς αὐτοῦ ἀναπαύσεως ἔχαιρεν, ἀλλ' ὑπὲρ τῆς ἐκείνων προκοπῆς· καὶ ὅρα πῶς ἡρέμα ἐπιζημίσας ὑπὲρ τοῦ παρελθόντος χρόνου, ταχέως αὐτὸ συνεσκίασε, ὡσανεὶ δύων συνεχῶς, καὶ διαπαντὸς ἐν δυσωδίᾳ εἶναι· ὅτι ἤδη ποτέ φησι· τὸ ἤδη ποτὲ, χρόνον δηλοῖ τινος ἐστὶ μακρόν· ἀνεθάλλετε, ὡς ἐπὶ καρπῶν βλαστησάντων, ξηρανθέντων, καὶ ὑστέρου βλαστησάντων· διὸ δὲ δεικνύντος ἐστὶν, ὅτι πρότερον ὄντες αὐθηροὶ, εἶτα μαρανθέντες, πάλιν ἐβλάστησαν, ὥστε καὶ ἐπιτίμησις ἐστὶ, καὶ ἔπαινος τὸ ἀνεθάλλετε· οὐ γάρ ἐστι μικρὸν, τὸ μαρανθέντα αὖ ἀναθάλλαι, καὶ τὸ πᾶν ἀπορρᾳθυμῆσαι τοὺς τοσούτους ἐπανθοῦντας δείκνυσιν· ἐν ζῶσι δὲ δηλοῖ, ὅτι ἔθος εἶχον, καὶ πρὸ τούτου ἐν τοῖς τοιούτοις φιλοτιμεῖσθαι· διὸ δὲ ἐπήγαγεν, εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· καὶ ἵνα μὴ νομίσῃς, καὶ ἐν τοῖς λοιποῖς προθυμοτέρους αὐτοὺς γεγενῆσθαι, καὶ μεμαρανθαι, ἀλλ' ἐν τούτῳ μόνῳ, ὅρα πῶς ἐπήγαγεν, εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· εἰς διὸ φησὶ μόνον ἤδη ποτὲ, ἐν γὰρ τοῖς ἄλλοις οὐχ οὕτως· ζητήσειε δ' ἄν τις ἐν ζῶσι, πῶς λέγων μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν, καὶ ὅτι αἱ χεῖρες μου ὑπηρέτησαν ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ· καὶ πάλιν πρὸς κοσμικοὺς γράφων ἔλεγε· καλὸν γάρ μοι ἀποθανεῖν μᾶλλον, ἢ τὸ καύχημά μου, ἵνα τις κενώσῃ· περιορᾷ κενούμενον ἑαυτοῦ τὸ καύχημα· πῶς; λαβών· εἰ γὰρ τὸ καύχημά μου διὸ ἦν τὸ μηδὲν λαβεῖν, πῶς νῦν ἀνέχεται; τί οὖν ἐστιν; ἐκεῖ εἰκότως οὐκ ἐλάμβανε, διὰ τοὺς ψευδαποστόλους, ἵνα ἐν ᾧ καυχῶνται φησὶν εὑρεθῶσι, καθὼς καὶ ἡμεῖς· καὶ οὐκ εἶπεν ἐν ᾧ καυχῶνται, ἐλάμβανον μὲν γὰρ λανθανόντως δὲ· διὰ τοῦτο εἶπεν ἐν ᾧ καυχῶνται, διὰ τοῦτο μὴ αὐτὸς ἔλεγεν, οὐ φραγήσεται τὸ καύχημά μου· μὴ οὐχ ἁπλῶς εἶπεν, οὐ φραγήσεται, ἀλλὰ τί· ἐν ταῖς κλίμασι τῆς Ἀχαΐας, καὶ τὸ, ἄμφασο

ἐκκλησίας

ἐκκλησίασε ἐσύλησα λαβὼν ὀψώνια πρὸς τ ὑμῶν διακονίαν, δηλοῦντος ὧ, ὅτι ἐλάμβανεν. ἀλλὰ παῦλος μὲν εἰκότως ἐλάμβανεν, ἔργον ἔχων τοιοῦτον, εἶπου καὶ ἐλάμβανεν. οἱ δὲ μηδὲν ἐργαζόμενοι, πῶς ἂν δύναιντο λαμβάνειν; ἀλλ' δ' χομαι φησίν. ἀλλ' οὐκ ὄβι δ' χ ἔργον. δ' χ γάρ ἐφι, καὶ μὴ ἔργου ποιεῖν. ἀλλὰ νηφεύω. ἀλλ' οὐδὲ δ' χ ἔργον. ἀλλ' ὅρα τὸν μακάριον δ' χν πολλαχοῦ κηρύττοντα, καὶ ἐργαζόμενον. ἠκαιρεῖσθε δέ φησι. τί ἐφιν ἠκαιρεῖσθε; οὐ τῆς ῥᾳθυμίας ὑμῶν φησιν, ἀλλὰ τῆς ἀνάγκης. οὐκεῖ χετε ἂν χερσὶν, οὐδὲ ἂν ἀφθονίᾳ ἦτε. δ' χ γάρ ὄβιν ἠκαιρεῖσθε δὲ, ἀπὸ τῆς κοινῆς αὐτὸ συνηθείας ἔλαβεν. οὕτω γὰρ οἱ πλείους λέγουσιν, ὅταν αὐτοῖς μὴ μετὰ ἀφθονίας ἐπιῤῥέῃ τὰ βιωτικὰ, ἀλλ' ἂν τενοχωρείᾳ ἦ. οὐχ ὅτι καθ' ὑστέρησιν λέγω. εἶπον φησὶν ἤδη ποτὲ, καὶ ἐωτέμησα, οὐχὶ τὰ ἐμαυτοῦ ζητήσας, οὐδὲ διὰ δ' χ μεμφόμενος, ὡς ἂν ἀνδεὶᾳ ὤν. οὐδὲ γὰρ διὰ δ' χ ἐζήτουν. πόθεν δ' χ, ὅτι οὐ κομπάζεις ὦ παῦλε; κοινωνίοις μὲν οἷς φησιν. οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. καὶ ἓξ τούτων δὲ οὐκ ἂν ὥστε ἀλῶναι ἔλεγεν. οὐκ ἂν εἴγε ἐκόμπαζε, ζαῦτα εἶτε. παρὰ γὰρ εἰδόσιν ἔλεγε, καὶ πλείων ὢν ἡ αἰχύνη ἀλῶναι. ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμὶ, αὐτάρκης εἶναι. ἆρα διδασκαλίας ἐφι τὸ πρᾶγμα, καὶ γυμνασίας, καὶ μελέτης. οὐ γὰρ δυνατὸν δωτόν ὄβιν, ἀλλὰ καὶ σφόδρα δύσκολον, καὶ καινόν. ἐν οἷς εἰμί φησιν αὐτάρκης εἶναι. οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν. ἐν παντὶ, καὶ ἐν πᾶσι μεμύημαι, τουτέστι καὶ ὀλίγοις κεχρῆσθαι. οἶδα καὶ λιμὸν φέρειν, καὶ ἐνδεῖαν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι. ἀλλὰ δ' χ οὐκ ὄβιν ἐπιτήμης φησὶν, οὐδὲ ἀρετῆς τὸ περισσεύειν. καὶ σφόδρα ἀρετῆς, οὐχ ἧττον ἢ ἐκεῖνο. πῶς; ὅτι ὡσπερ ἡ τενοχωρεία πολλὰ παρασκευάζει καὶ ποιεῖν, οὕτω καὶ ἡ πλησμονή. πολλοὶ γὰρ πολλάκις ἐν ἀφθονίᾳ γενόμενοι, ῥᾳθυμότεροι ἐγένοντο, καὶ οὐκ ἐγώσαν ἐνεγκεῖν τὴν δυπραγίαν. πολλοὶ πολλάκις ἀφορμὴν ἔλαβον τοῦ μηκέτι ἐργάζεσθαι, ἀλλ' οὐχ ὁ παῦλος. καὶ γὰρ λαμβάνων εἰς ἄλλους ἀνήλισκε, καὶ εἰς ἄλλους ἐκείνου. δ' χ δὲ ὄβιν εἰδέναι. οὐχὶ διεκεῖτο, οὐδὲ ἔχαιρεν τῇ περιουσίᾳ αὐτῦ, ἀλλ' ἴσως ὦ, ἔντε ἐνδεία, ἔντε πλησμονῇ. οὔτε ἐκεῖθεν πιεζόμενος, οὔτε ἐντεῦθεν χαυνούμενος. καὶ χορτάζεσθαι φησὶ, καὶ τενᾶν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι. πολλοὶ οὐκ ἴσασι χορτάζεσθαι, οἷον οἱ ἰσραηλῖται ἔφαγον, καὶ ἀπελάκτισαν. ἀλλ' τῇ τῆς αὐτῆς δυναξίας ἐγὼ μένω. δείκνυσιν ὅτι οὔτε νῦν ἤδη, οὔτε πρότερον ἐλυπεῖτο. οὐκ αὐτῦ τε ἕνεκεν, ἀλλ' αὐτῶν. αὐτὸς γὰρ ὁμοίως διέκειτο. ἐν παντὶ φησι, καὶ ἐν πᾶσι μεμύημαι. τουτέστι πεῖραν ἔλαβον ἐν τῷ μακρῷ τούτῳ χρόνῳ πάντων, καὶ ταῦταμοι πάντα κατώρθωται. ἀλλ' ἐπειδὴ μεγαληγορεία τὸ πρᾶγμα ὦ, ὅρα πῶς ἐπιλαμβάνεται ταχέως. πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με χριστῷ φησιν. οὐκέμὸν τὸ κατόρθωμα, ἀλλὰ τῦ τὴν ἰσχὺν δεδωκότος ἐφίν. ἀλλ' ἐπειδὴ οἱ ποιοῦντες, ὅταν ἴδωσιν, οὐ διαζεύγνυσι τὸν λαμβάνοντα, ἀλλὰ καταφρονοῦσι τῶν διδομένων, ῥᾳθυμότεροι γίνονται. αὐτοὶ γὰρ ὡς χαιρόμενοι διέκειντο, καὶ οὐ παύοντες, εἰ τοίνυν καταφρονεῖ τῆς ἀναπαύσεως παῦλος, ἀνάγκη καὶ τούτους ῥᾳθυμοτέρους γενέσθαι. ἵνα οὖν μὴ δ' χ γένηται, ὅρα πῶς πάλιν αὐτὸ ἰᾶται. διὰ μὲν γὰρ τῶν εἰρημένων, τὸ φρόνημα αὐτῶν κατέστασε. διὰ δὲ τῶν ἑξῆς, τὴν προθυμίαν αὐτῶν ἀναζωοποιεῖ, λέγων.

πλὴν καλῶς

πλῶ καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει. ὁρᾷς καὶ πῶς ἀπέφηνεν ἑαυτὸν, καὶ πῶς πάλιν ἰδίως; δῆλον γνήσιος φιλίας ἐστὶ, καὶ πνευματικῆς. μὴ ἐπειδὴ ἐν χρείᾳ οὐ κατέφηνα, νομίσητε μὴ δεῖσθαι με τῶν πραγμάτων, δέομαι δ' ὑμῶν. πῶς ἐκοινώνησαν αὐτῷ τῶν θλίψεων; λέγε τοῦτο. ὅπερ καὶ δεσμούμενος ἔλεγε. συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς. χάρις γάρ ἐστι τὸ παθεῖν ὑπὲρ τοῦ χριστοῦ. ὡς περ καὶ αὐτός φησιν, ὅτι ὑμῖν ἐχαρίσθη ἀπὸ θεοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. ἐπειδὴ γὰρ ἐκεῖνα κατεμάνασε λεγόμενα ἀλογῆσαι αὐτοὺς ἵνα καὶ ἰδίως δοξασθείη, καὶ ἀποδέχεται, καὶ ἐπαινεῖ, καὶ πάλιν μεμετριμένως. οὐ γὰρ εἶπε δόντες, ἀλλὰ πᾶσι δείκνυσιν αὐτοὺς περιβέναντας, εἴγε τῶν ἄθλων ἐγένοντο κοινωνοί. οὐκεῖθεν ἐπικουφίσαντές μου τὰς θλίψεις, ἀλλὰ συγκοινωνήσαντές μου τῇ θλίψει, ὅπερ ἰδίᾳ σεμνότερον. ὁρᾷς τὸ ταπεινὸν παύλου; ὁρᾷς τὸ εὐγενές; ὅτε ἔδειξεν οὐδὲν δεόμενον τῶν παρ' ἐκείνων αὐτῷ ἔνεκεν, τότε λοιπὸν ἀδεῶς, καὶ ταπεινὰ φθέγγεται ῥήματα, ἅπερ οἱ προσαιτοῦντες λέγουσιν, ὡς ἔθος ἔχεις δοῦναι. οὐδὲν γὰρ παραιτεῖται, οὔτε ποιεῖν, οὔτε λέγειν, τούτῳ μὴ νομίσητε ἀναισχυντίας εἶναι τὰ ῥήματα τὸ ἐγκαλεῖν, καὶ λέγειν, ἤδη ποτὲ ἀνεθάλλετε, καὶ τῷ ἐν χρείᾳ εἶναι. οὐ γὰρ δεόμενος ταῦτα λέγω, ἀλλὰ πρὸς ἐκτῆσθαι σφόδρα θαρρεῖν ὑμᾶς, καὶ τοῦτο δὲ ὑμεῖς αὐτοί. ὁρᾷς πῶς αὐτοὺς δοξάζειν; πῶς ὑμεῖς αὐτοί, περὶ τῶν ἄλλων ἐπιπηδήσαντες τῷ πράγματι, καὶ παῤῥησίαν ἡμῖν δόντες ὑπὲρ τῶν τοιούτων ὑπομιμνήσκειν ὑμᾶς. καὶ θέα τὸ σεμνόν, μὴ πέμπουσι μὲν οὐκ ἐγκαλεῖ, ἵνα μὴ δόξῃ τὸ ἑαυτῷ δοξάζειν. ἐπειδὴ δὲ ἔπεμψαν, τότε ἐπῄνησεν ὑπὲρ τοῦ παρελθόντος χρόνου, καὶ ἰδίᾳ ἐγκαλεῖ. λοιπὸν γὰρ οὐκ ἂν ἔδοξε τὸ αὐτῷ δοξάζειν. Οἴδατε φησὶ, καὶ ὑμεῖς φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως, καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. Βαβαὶ ἥλιον τὸ ἐγκώμιον, εἴγε κορίνθιοι μὲν ἐκτὸς ἀκούειν ἐκείνα παρ' αὐτοῦ, καὶ ῥωμαῖοι προτρέπονται, οὗτοι δὲ οὐδὲ μιᾶς ἐκκλησίας ἀρξαμένης. καὶ γὰρ ἐν ἀρχῇ τοῦ εὐαγγελίου φησί. τοσαύτην περὶ τὸν ἀγῶνα ἐπεδείξαντο σπουδήν, ὡς μὴ δὲ παράδειγμα ἔχοντες, αὐτοὶ πρῶτοι τῆς κηρυφοείας ἄρχεσθαι ταύτης. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι παραμένοντι, οὐδὲ τῶν πρὸς αὐτοὺς ἕνεκεν ταῦτα ἐποίουν. ὅτε ἐξῆλθον γάρφησιν ἀπὸ μακεδονίας, οὐδεμία ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως, καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. τί δέ ἐστι λήψεως; τί δέ ἐστιν ἐκοινώνησε; διατί μὴ εἶπεν ὅτι οὐδὲ μιᾶς ἐκκλησίας ἔδωκεν, ἀλλ' ἐκοινώνησεν εἰς λόγον δόσεως, καὶ λήψεως; κοινωνία γάρ ἐστι τὸ πρᾶγμα ἐστὶν. εἰ γὰρ ἡμεῖς τὰ πνευματικὰ ὑμῶν φησιν ἐσπείραμεν, τί μέγα εἰ ἡμεῖς τὰ σαρκικὰ ὑμῶν θερίσομεν; καὶ πάλιν. τὸ ὑμῶν περίσσευμα, ἵνα γένηται εἰς τὸ ἐκείνων ὑστέρημα. πῶς; ἐκοινώνησαν εἰς λόγον δόσεως τῶν σαρκικῶν, καὶ λήψεως τῶν πνευματικῶν. ὥσπερ γὰρ οἱ πωλοῦντες, καὶ ἀγοράζοντες κοινωνοῦσιν ἀλλήλοις τὰ παρ' ἀλλήλων ἀντιδιδόντες, δόξα γάρ ἐστι κοινωνία, οὕτω δὴ καὶ ἐν ταῦθα. οὐ γάρ ἐστιν οὐκ ἔστι ταύτης τῆς ἀγορείας, καὶ ἐμπορείας κερδαλεώτερον. γίνεται μὲν γὰρ ἐν τῇ γῇ, τελεῖται δὲ ἐν τῷ οὐρανῷ. οἱ μὲν ἀγοράζοντες, ἐν τῇ γῇ ἑστήκασιν. ἀγοράζουσι δὲ καὶ συμφωνοῦσι τὰ ἐν τοῖς οὐρανοῖς, μήνιμα καταζιδέντες τιμὴν τιμήν. ἀλλὰ μὴ καταγωγῆς, οὐ χρημάτων ἐστὶν ὠνητὰ τὰ οὐράνια, οὐ τὰ χρήματα αὐτὰ ἀγοράζει, ἀλλ' ἡ

προαίρεσις

προαίρεσις ζωὴ τὰ χρήματα καταβάλλοντος. ἡ φιλοσοφία, τὸ τῶν βιωτικῶν ἀνωτέρω εἶναι, ἡ φιλανθρωπία, ἡ ἐλεημοσύνη. ἐπεὶ εἰ τὸ ἀργύριον ἠγόραζεν, ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα, οὐδὲν ἂν ἔλαβε μέγα. ἐπεὶ δὲ οὐ τὸ ἀργύριον, ἀλλ' ἡ προαίρεσις ἴσχυσεν, ἐκείνη πᾶσαν προαίρεσιν ἐπιδεξαμένη, πάντα ἔλαβε. μὴ τοίνυν λέγωμεν, ὅτι ὠνητὴ χρημάτων ἐστὶν ἡ βασιλεία, οὐ χρημάτων, ἀλλὰ προαιρέσεως τ ἀξίᾳ χρημάτων ἐπιδεικνυμένης. οὐκοῦν δεῖ χρημάτων φησίν. οὐ δεῖ χρημάτων, ἀλλὰ προαιρέσεως. ἂν ταύτην ἔχῃς, δυνήσῃ καὶ ἀξίᾳ δύο λεπτῶν ἀγοράσαι τὸν οὐρανὸν, μὴ οὔσης δὲ ταύτης, οὐδὲ μυρία τάλαντα χρυσοῦ ῥᾴδιον δυνήσεται, ὅπερ τὰ δύο λεπτά. διατί; ὅταν γὰρ πολλὰ ἔχων ἐλάττονα καταβάλῃς, ἐποίησας μὲν ἐλεημοσύνην, οὐ τοσαύτην δὲ ὅσην ἡ χήρα. οὐ γὰρ μετὰ τοσαύτης προθυμίας κατέβαλες, μεθ' ὅσης ἐκείνη. πάντων γὰρ ἑαυτὴν ἀπεστέρησε. μᾶλλον δὲ οὐκ ἀπεστέρησεν, ἀλλὰ πάντα ἑαυτῇ ἐχαρίσατο. οὐ ποτηρίου ψυχροῦ τὴν βασιλείαν ὑπέσχετο ὁ θεὸς, ἀλλὰ προαιρέσεως, καὶ προθυμίας, οὐ θανάτου, ἀλλὰ προαιρέσεως. ἐπεὶ οὐδὲ μέγα τί ἐστι μίαν
» ψυχὴν δοῦναι. ἔδωκεν ἕνα ἄνθρωπον. εἰς δὲ ἄνθρωπος οὐκ ἔστιν ἀνταξίως. Ὅπου καὶ ἐν
» Θεσσαλονίκῃ, καὶ ἅπαξ, καὶ δὶς εἰς τὰς χρείας μοι ἐπέμψατε. Πάλιν μέγα τὸ ἐγκώμιον, εἰγε ἐν τῇ μητροπόλει καθημένος παρὰ τῆς μητρὸς ἐτρέφετο πόλεως. καὶ ὅρα ἵνα μὴ διὰ πάντος ἐξέλκων ἑαυτὸν τῆς χρείας, ὅπερ εἶπον προλαβὼν ῥᾳθυμοτέρους ποιήσῃ, διὰ τοσούτων δείξας, ὅπου δεῖται, ἐνίοτε ἔστι ποιήσεν εἰπὼν εἰς τὰς χρείας, μὴ οὐκ εἶπε τὰς ἐμὰς, ἀλλ' ἁπλῶς τὸ σεμνοῦ ἐπιμελόμενος, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἑξῆς. ἐπεὶ δὴ γὰρ συνεῖδε σφόδρα τὸ ταπεινὸν ὄν, πάλιν αὖ τῇ ἐπιδιορθώσει ἀσφαλίζεται. οὐχ ὅπου ἐπιτιθῶσι τὸ δόμα. ὅπερ εἴωθεν αὖ, οὐχ ὅπου καθυφαίνουσιν λέγω. ἐκεῖνο τοῦτου μεῖζον ἐστίν. ἕτερον γάρ ἐστιν
» ὑφαιρούμενα μὴ ζητῆσαι, καὶ ἕτερον ἐν ὑστερήσει ὄντα, μὴ δὲ νομίζειν ὑστερεῖσθαι. Οὐχ ὅταν
» ἐπιτιθῶ τὸ δόμα φησὶν, ἀλλ' ἐπιτιθῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν οὐκέμοῦ.
Ὁρᾷς ὅτι ὁ καρπὸς ἐκείνοις πίπτεται; δι' ὑμᾶς ταῦτα λέγω φησὶν, οὐ δι' ἐμαυτὸν, εἰς τὴν ὑμετέραν σωτηρίαν. ἐγὼ γὰρ οὐδὲν κερδαίνω λαμβάνων, τῶν διδόντων ἐστὶν ἡ χάρις. τοῖς μὲν γὰρ διδοῦσιν ἐκεῖ φυλάττεται ἡ ἀμοιβή. τοῖς δὲ λαμβάνουσιν ἐνταῦθα ἀναλίσκεται τὰ διδόμενα. πάλιν μετ' ἐγκωμίου, καὶ συμπαθείας, καὶ τὸ χρῄζειν. ἐπεὶ δὴ εἶπεν, οὐ ζητῶ, ἵνα μὴ
» πάλιν ῥᾳθυμοτέρους ποιήσῃ, φησίν. Ἀπέχω δὲ πάντα, καὶ περισσεύω. Τουτέστι διὰ ταύτης τῆς δόσεως, καὶ τὰ παραλειφθέντα ἐπληρώσατε. ὅπερ μάλιστα προθυμοτέρους ὑμᾶς ποιῆσαι. ὅσῳ γὰρ ἂν ὦσι φιλοσοφώτεροι, ζητοῦσι καὶ τὰς παρὰ τῶν μὴ παθόντων χάριτας οἱ δι' ὧν ποιοῦντες, τουτέστιν. οὐ μόνον ἀνεπληρώσατε τὰ ἐλλειφθέντα ἐν τῷ παρελθόντι χρόνῳ, ἀλλὰ καὶ ὑπερεβάλετε. ἵνα γὰρ μὴ δόξῃ διαβολὴν ἐγκαλεῖν, ὁρᾷ πῶς ἐπισφαλίζεται. ἐπεὶ δὴ εἶπεν οὐχ ὅπου ἐπιτιθῶ τὸ δόμα, καὶ ὅπου ἤδη ποτὲ, καὶ δείκνυσιν, ὅτι ὀφειλὴν ὄντι τὸ
» πρᾶγμα. διὰ γάρ ὄντι ἀπέχω, εἶτα πάλιν δείκνυσιν, ὅτι ὑπὲρ ὀφειλομένου ἐπράξαν. Ἀπέ-
» χω δέ φησι πάντα, καὶ περισσεύω, πεπλήρωμαι. Οὐχ ἁπλῶς οὐδὲ ἀπὸ διαθέσεως ταῦτα λέγω, ἀλλὰ τί; δεξάμενος παρὰ ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας
» θυσίαν δεκτὴν, εὐάρεστον τῷ θεῷ. Βαβαὶ πολὺ τὸ δῶρον αὐτῶν ἀνήγαγεν. οὐκ ἐγὼ φη-
» σὶν ἔλαβον, ἀλλ' ὁ θεὸς δι' ἐμοῦ, ὥστε κἂν ἐγὼ μὴ χρήζω, μὴ μελέτω ὑμῖν. ἐπεὶ οὐδὲ ὁ θεὸς
» ἐχρῄζε, καὶ ἀπεδέχετο, οὕτως ὡς μὴ παρατεῖσθαι εἰπεῖν τὴν θείαν γραφὴν, ὅτι ὠσφράν-

θη ὁ θεὸς

θη ὁ θεὸς ὁσημὼ δυωδίασε, ὅπερ ὧν δυφραινομένου. ἴστε γὰρ ἴστε πῶς διατίθεται ἡμῶν ἡ ψυχὴ ὑπὸ τῆς δυωδίασε, πῶς δυφραίνεται, πῶς γάννυται. οὐ παρῆπται σοι τὸ τίνων εἰρῆσθαι ἀνθρώπινον οὕτω ῥῆμα, καὶ τὰ σεινὸν ἡ μαφὴ, ἵνα τοῖς ἀνθρώποις δείξῃ, ὅτι δεκτὰ τὰ παρ' αὐτῶν δῶρα γέγονεν. οὐ γὰρ ἡνίωσα, οὐδὲ ὁ καπνὸς δεκτὰ ἐποίει, ἀλλ' ἡ προαίρεσις ἡ προσφέρουσα. ἐπεὶ εἰ δόξε ὧν, καὶ τὰ παρὰ τᾶ κάϊν αὖ ἐδέχθη. εἴρηται ὅτι δυφραίνεται. καὶ πῶς δυφραίνεται; οὐ γὰρ αὖ λόγως ἔμαθον οἱ ἄνθρωποι, ὁ τίνων μὴ ἂν χρείᾳ καθεστῶς λέγει οὕτως δυφραίνεσθαι, ἵνα μὴ δόξῃ τὸ ἀνενδεὲς ῥᾴθυμοι γένωνται. καὶ ὅτε λοιπὸν τῆς ἀληθοῦς ἀρετῆς ἀμελήσαντες, ταύτας ἐπαίρρουσι. ὅρα πῶς πάλιν διορθοῦται αὐτοὺς λέγων. μὴ φάγωμαι κρέα ταύρων, ἢ αἷμα τράγων πίωμαι. οὐκ ἐπιζητῶ φησι τὸ δόμα.

» Ὁ δὲ θεός μου πληρῶσαι πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ ἐν χριστῷ
» ἰησοῦ. Ὅρα πῶς καὶ ἐπ' δύχεται, καθάπερ οἱ πένητες. εἰ δὲ παῦλος ἐπ' δύχεται τοῖς διδοῦσι, πολλῷ μᾶλλον ἡμεῖς μὴ αἰσχυνώμεθα λαμβάνοντες δόξε ποιεῖν. μὴ δὴ λαμβάνωμεν, ὡς αὐτοὶ χρήζοντες. μὴ δὲ χαίρωμεν ὑμῶν ἕνεκεν, ἀλλὰ τῶν διδόντων αὐτῶν. οὕτως ἡμῖν ἔσται μισθὸς, καὶ λαμβάνουσιν αὖ δι' ἐκείνους χαίρωμεν. οὕτως οὐκ ἀγαπακτήσωμεν, μὴ διδόντων, μᾶλλον δὲ ἀληθήσομεν δι' αὐτούς. οὕτως καὶ προθυμοτέρους ἐργασόμεθα, αὖ διδάσκωμεν, ὅτι οὐχ ἡμῶν ἕνεκεν ταῦτα πράττωμεν. ὁ δὲ θεός μου φησὶ πληρῶσαι πᾶσαν χρείαν ὑμῶν. ἢ πᾶσαν χάριν, ἢ πᾶσαν χαράν. αὖτε πᾶσαν χάριν, μὴ ταύτην μόνον φησὶ τὴν ἐπὶ γῆς ἐλεημοσύνην, ἀλλὰ πᾶν κατόρθωμα. αὖ δὲ πᾶσαν χρείαν, ὅπερ οἶμαι μᾶλλον λέγεσθαι, δόξε ἐστίν. ἐπεὶ δὴ εἶπεν ἠκαιρεῖσθε, ἐπάγει ἐνταῦθα ὅπερ ἐν τῇ πρὸς κορινθίους ποιεῖ λέγων. ὁ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν, χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γενήματα τῆς δικαιοσύνης ὑμῶν. ἐπ' δύχεται αὐτοῖς, ὥστε εἶναι ἐν ἀφθονίᾳ, καὶ ἔχειν σπείρειν. καὶ ἐπ' δύχεται οὐχ' ἁπλῶς ἐν ἀφθονίᾳ εἶναι, ἀλλὰ κατὰ τὸν πλοῦτον αὐτᾶ, ὥστε καὶ δόξε συμμετρημένως. εἰ μὲν γὰρ κατ' αὐτὸν ἦσαν, καὶ οὕτω φιλόσοφοι, καὶ οὕτω ἐσταυρωμένοι, οὐκ ἂν δόξε ἐποίησεν. ἐπεὶ δὲ αὖ δρες ἦσαν χειροτέχναι, πένητες, γυναῖκας ἔχοντες, παῖδας τρέφοντες, οἰκίσκους προεστῶτες, καὶ ἀπὸ ὀλίγων, καὶ ταῦτα ἔδοσαν, καίτοι ἂν εἶχον ἐπιθυμίαν καὶ τῶν παρόντων, ἐπεύχεται συγκαταβαίνων. τοῖς γὰρ οὕτω κεχρημένοις, οὐδὲν ἄτοπον ἐπεύχεσθαι δόξε τὴν αὐτάρκειαν, καὶ τὴν ἀφθονίαν. ὅρα γοῦν τί εἶπεν. οὐκ εἶπεν ὅτι ποιήσαι πλουσίους, καὶ δυπόρους σφόδρα, ἀλλὰ τί; πληρώσαι πᾶσαν χρείαν ὑμῶν, ὥστε μὴ εἶναι ἐν ἐνδείᾳ, ἀλλὰ τὰ πρὸς χρείαν ἔχειν. ἐπεὶ καὶ ὁ χς ὅρον δυχῆς ἡμῖν διδοὺς, δόξε τῇ δυχῇ ἐνέθηκε, διδάσκων ἡμᾶς τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον λέγειν δὸς ἡμῖν σήμερον. κατὰ τὸν πλοῦτον αὐτᾶ, τουτέστι κατὰ τὴν δωρεὰν αὐτᾶ, τουτέστιν ὅτι δύκολον αὐτῷ, καὶ δωρεὰν, καὶ ταχέως, καὶ ἐπειδὴ χρείαν εἶπον, μὴ νομίσητε, ὅτι πενοχωρήσει ὑμᾶς. διὰ δόξε ἐπήγαγε, κατὰ τὸν πλοῦτον αὐτᾶ ἐν δόξῃ ἐν χριστῷ ἰησοῦ. οὕτως περιστρέφει ὑμῖν ἅπαντα, ὥστε ἐν δόξῃ αὐτᾶ ἔχειν, ἢ ὅτι οὐδενὸς ὑστερεῖσθαι. καὶ χάρις γὰρ μεγάλη φησὶν ὧν ἐπὶ πάντας αὐτούς. οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς. ἢ ὥστε εἰς δόξαν αὐτᾶ πάντα ποιεῖν, ἵνα
» εἰς δόξαν αὐτᾶ κεχρηθε τῇ περιουσίᾳ. Τῷ δὲ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας
» τῶν αἰώνων ἀμήν. Αὕτη δὲ ἡ δόξα οὐχὶ τᾶ γοῦν μόνον, ἀλλὰ καὶ τᾶ πατρὸς γίνεται.

ὅταν γὰρ

ὅταν γὰρ ὁ υἱὸς δοξάζηται, τότε καὶ ὁ πατήρ. Ὅπου δὲ γὰρ εἰρήνη εἰς δόξαν χριστοῦ δεῖ γενέσθαι,
ἵνα μὴ τις νομίσῃ αὐτῶ μόνου, ὅπηγαγε. τῷ δὲ θεῷ, καὶ παρ' ἡμῶν ἡ δόξα αὕτη ἡ γενομέ-
» νη τῷ υἱῷ. Ἀσπάσασθε πάντα ἅγιον ἐν χριστῷ ἰησοῦ. Οὐ μικρόν, καὶ δεῖ, καὶ πολ
» λῆς δυμενείας τὸ μὴ γράμματων αὐτοὺς ἀσπάζεσθαι. Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ
» ἀδελφοί. Καὶ μὴν ἔλεγες, ὅτι οὐδένα ἔχεις ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μερι-
μνήσει. πῶς οὖν λέγεις, ὅτι οἱ σὺν ἐμοὶ ἀδελφοί; ἢ τοὺς μετ' αὐτοῦ ἀδελφοὺς φησίν. ἢ ὅτι
οὐδένα τὸν μετ' ἐμαυτοῦ ἔχω ἰσόψυχον, οὐ περὶ τῶν ἐν τῇ πόλει λέγων. ποίαν γὰρ ἀνάγ-
κην εἶχον ἐκεῖνοι τὰ τῶν ἀποστόλων ἀναδέχεσθαι πράγματα; ἢ ὅτι οὐ παραιτεῖται, καὶ
» τούτους ἀδελφοὺς καλεῖν. Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι μάλιστα δὲ οἱ ἐκ τῆς καί-
» σαρος οἰκίας. ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀνέφηνεν αὐ-
τοὺς, καὶ ἀνέῤῥωσε, δεικνὺς ὅτι καὶ τῆς βασιλικῆς οἰκίας τὸ κήρυγμα ἥψατο. εἰ γὰρ οἱ ἐν
τοῖς βασιλείοις πάντων κατεφρόνησαν διὰ τὸν βασιλέα τῶν οὐρανῶν, πολλῷ μᾶλλον αὐ-
τοὺς χρὴ θαῤῥεῖν ποιεῖν. καὶ θαῤῥεῖν δὲ τεκμήριον ἦν τῆς παύλου ἀγάπης, καὶ τοῦ πολλὰ περὶ
αὐτῶν διηγεῖσθαι, καὶ μεγάλα λέγειν. ὅθεν ἤγαγε τοὺς ἐν τοῖς βασιλείοις, ὥστε ἀσπάσα
σθαι αὐτοὺς τοὺς οὐχ ἑωρακότας. μάλιστα γὰρ ὅπου ἐν θλίψει ἦσαν οἱ πιστοὶ, τότε πολ
λὴ ἦν ἡ ἀγάπη. καὶ οἱ πόῤῥωθεν, ὡς γνήσια μέλη ἦσαν ἀλλήλοις συγκεκολλημένοι. καὶ ὁ
πένης πρὸς τὸν πλούσιον ὁμοίως διέκειτο, καὶ ὁ πλούσιος πρὸς τὸν πένητα. καὶ οὐδὲ μία ἦν
ὑπεροχὴ τῷ πάντας ὁμοίως μισεῖσθαι, καὶ ἐλαύνεσθαι, καὶ θλίβεσθαι τοῖς αὐτοῖς. ὥσπερ γὰρ αἱ
ἐκλαφόρων πόλεων αἰχμάλωτοί τινες ἀναστάντες εἰς μίαν ἐλθοῦσιν πόλιν, σφόδρα ἀλλή-
λοις συμπλέκονται, τῷ κοινοῦ τῆς συμφορᾶς συγκολλῶντος αὐτοὺς, οὕτω δὴ καὶ τότε τῆς
κοινωνίας τῶν παθημάτων, καὶ τῆς θλίψεως σωματούσης, πολλὴ εἶχον πρὸς ἀλλήλους
ἀγάπην.

Η' ὅπου.

Δ εσμὸς γάρ ἐστιν ἡ θλῖψις ἀῤῥαγὴς, ἀγάπης αὔξησις, κατανύξεως καὶ δυλαβείας ὑπόθε-
σις. ἄκουε γὰρ τοῦ δαβὶδ λέγοντος. ἀγαθύνθητι κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως αὖ μάθω τὰ
δικαιώματά σου, καὶ πάλιν ἑτέρου προφήτου λέγοντος. ἀγαθὸν ἀνθρώπῳ, ὅταν ἄρηξυ-
γὸν ἐκ νεότητος αὐτοῦ. καὶ πάλιν. μακάριος ἀνθρωπος ὃν αὐ παιδεύσῃς κύριε. καὶ ἑτέρου
τινὸς λέγοντος. μὴ ὀλιγώρει παιδείας κυρίου, καὶ εἰ προσέρχῃ δουλεύειν κυρίῳ, ἑτοίμα
σον τὴν ψυχήν σου εἰς πειρασμόν. καὶ ὁ χς δὲ πάλιν ἔλεγεν. ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε,
ἀλλὰ θαῤῥεῖτε. καὶ πάλιν, κλαύσετε, καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται. καὶ
πάλιν. πενὴ καὶ τεθλιμμένη ἡ ὁδός. ὁρᾷς πανταχοῦ τὴν θλῖψιν ἐπαινουμένην; πανταχοῦ
παραλαμβανομένην, ὡς ἀναγκαίαν οὖσαν ἡμῖν; εἰ γὰρ ἐν τοῖς ἔξω θεν ἀγῶσιν οὐδεὶς αὖ
θαύτης χωρὶς στέφανον λάβῃ, εἰ καὶ μὴ πόνοις, καὶ σπουδῇ παραπίσει, καὶ νόμῳ διαίτης,
καὶ ἀγρυπνίαις, καὶ μυρίοις ἑτέροις ἑαυτὸν ὀχυρώσειε, πολλῷ μᾶλλον ἐν ζωῇ θα. τίνα γὰρ
βούλει τὸν βασιλέα εἰσιέναι; ἀλλ' οὐδὲ ἐκεῖνος ἀμέριμνον ζῇ βίον, ἀλλὰ καὶ πολλῶν θλί-
ψεων, καὶ φροντίδων γέμοντα. μὴ γὰρ εἰς τὸ διάδημα βλέπῃς, ἀλλ' εἰς τὸ κλυδώνιον τῶν φρον
τίδων, δι' οὗ αὐτῷ ὁ στέφανος πέπλεται. μὴ δὲ εἰς τὴν ἁλουργίδα βλέπε, ἀλλ' εἰς τὴν ψυ
χὴν τὴν μᾶλλον ἐκείνης τῆς ἁλουργίδος μελαινομένην. οὐχ οὕτως ὁ στέφανος δεσμεῖ τὴν
κεφαλὴν, ὡς τὴν ψυχὴν ἡ φροντίς. μὴ δὲ εἰς τὸ τῶν δορυφόρων πλῆθος βλέπῃς, ἀλλ' εἰς τὸ τῶν
ἀδυμῶν

ἀδυμιῶν πλῆθος. οὐδὲ γάρ ἐστιν ἰδιωτικῶι οἰκίαν εὑρεῖν τοσούτων γέμουσαν φροντίδων, ὅσων τὰ βασίλεια. θανάτοι καθ' ἑκάστην ἡμέραν προσδόκιμοι, καὶ πρὸ τῆς πραωτέξης τὸ αἷμα ὁρᾶται, καὶ πρὸ τοῦ ποτοῦ. ἐν δὲ ταῖς νυξὶν, οὐδὲ εἰπεῖν ἐστιν ὅσαις ἄλλεται, καὶ ἀναπηδῶσα φαντασιοῦται, καὶ ταῦτα δὲ ἐν εἰρήνῃ. εἰ δὲ πόλεμος καταλάβοι, τί τοῦ βίου τούτου ἐλεεινότερον γένοιτ' ἄν; τὰ δὲ παρὰ τῶν οἰκείων, ὅσα τῶν ἀρχομένων λέγω, ἀμέλει συγγενικῶν αἱμάτων ἀεὶ γέμει τὸ ἔδαφος τὸ βασιλικόν. καὶ εἰ βούλεσθε, τινὰ καὶ διηγήσομαι, καὶ τάχα ἐπιγνώσεσθε, μάλιστα μὲν καὶ παλαιά, καὶ ἐπὶ τῶν χρόνων δὲ γενόμενα τῶν ἡμετέρων, πλὴν ἀλλ' ὅμως ἔτι τῇ μνήμῃ φυλαττόμενα. ὁ δεῖνα φησὶ τὴν γυναῖκα ὑποβαλόμενος ἐπὶ μοιχείᾳ, γυμνὴν προσέδησεν ὄρεσιν, καὶ θηρίοις ἐξέδωκεν, ἤδη μητέρα γεγονυῖαν αὐτῷ βασιλέων πολλῶν. οἵαν οἴεσθε ζῶσαν ζῶν ἐκείνου; οὐχ ἥδ' ἂν εἰ μὴ σφόδρα κατετάκη τῷ πάθει, εἰς τοσαύτην ἐξῆξε ζημίαν. ὁ αὐτὸς δὴ οὗτος ἦν ὁ γὰρ ἀπέσφαξε τὸν αὐτοῦ. μᾶλλον δὲ ὁ τούτου ἀδελφὸς ἦν παῖδα αὐτοῦ, ὃν μὲν ἑαυτὸν ἀνεῖλεν ὑπὸ τυραννίδος καταληφθείς. ὁ δὲ ἦν ἀνεψιὸν τοῦ αὐτοῦ. κοινωνοῦντα τῆς βασιλείας αὐτῷ, ὃν αὐτὸς ἀνεχείρισε. καὶ τὴν γυναῖκα εἶδεν ὑπὸ περσῶν διαφθαρεῖσαν. ὡς γὰρ οὐκέτικτε, γυμνάζις ἀθλίαν, καὶ ταλαίπωρος. ἀθλία γὰρ καὶ ταλαίπωρος, ἣ τὸ τοῦ θεοῦ δῶρον ἤλπισε δι' οἰκοίας παρέξειν σοφίας πεντάδας δοῦσα, διέφθειρε τὴν βασιλίδα, καὶ σωδιεφθάρη, καὶ αὐτή. λέγεται δὲ καὶ ἦν ἀδελφὸν ἀνηρηκέναι οὗτος ἦν αὐτοῦ. ἕτερος πάλιν ὁ μετὰ τοῦτον, ὑπὸ δηλητηρίων ἀνῃρέτο φαρμάκων, καὶ τὸ ποτήριον ὃν αὐτῷ οὐκέτι πόμα, ἀλλὰ θάνατος. καὶ ὁ υἱὸς αὐτῷ ἦν ὀφθαλμὸν ἐξορύττεται φόβῳ τῶν μελλόντων, οὐδὲν ἀδικικώς. ἄλλος οὐδὲ εἰπεῖν καλὸν, οὐδὲ ὅπως κατέλυσε ἦν βίον ἐλεεινῶς. τῶν δὲ μετὰ τούτων, ὁ μὲν, κατεηγὴς καθάπερ τις ἄθλιος, καὶ ταλαίπωρος μετὰ ἵππων, καὶ θηλῶν, καὶ τῶν ἄλλων ἁπάντων, καὶ τὸ γύναιον ἐν χηρείᾳ. τὰς γὰρ ἐν τῷ ζῆν λύπας, οὐδὲ εἰπεῖν ἐνί. ἃς ὅτε οὖν ἔπανέσχη, ἵνα ἀγκάζετο ἔχειν. οὗτος δὲ ὁ νῦν κρατῶν, οὐχὶ ἐξ οὗ τὸ διάδημα ἔθετο, ἐν πόνοις, ἐν κινδύνοις, ἐν λύπαις, ἐν ἀδυμίαις, ἐν συμφοραῖς, ἐν ἐπιβουλαῖς; ἀλλ' οὐχ ἡ βασιλεία τοιαύτη τῶν οὐρανῶν, ἀλλὰ μετὰ τὸ λαβεῖν αὐτὴν, εἰρήνη ζωὴ, χαρὰ, εὐφροσύνη. ἀλλ' ὅπερ ἔλεγον οὐκέτι βίος ἀταλαιπώρητος. εἰ δὲ ἐν τοῖς βιωτικοῖς, καὶ ὁ μάλιστα μακαριώτερος ὁ ἐν βασιλείᾳ τοσούτων γέμει συμφορῶν, τί οἴει ἐν τοῖς ἰδιωτικοῖς; καὶ πόσα ἕτερα κακὰ, οὐδὲ εἰπεῖν ἐστι. πόσοι πολλάκις μῦθοι ἀπὸ τούτων ἐπλάκησαν. πᾶσαι σχεδὸν αἱ ἐπὶ τῆς σκηνῆς τραγῳδίαι ἀπὸ τῶν βασιλέων φαίνονται, καὶ οἱ μῦθοι. τὰ γὰρ πλείονα τῶν ἐν τοῖς μύθοις, ἀπὸ τῶν γενομένων πλάττεται. οὕτω γὰρ ἔχει, καὶ ἡδονὴν τὰ ἀνύποπτα δεῖπνα, καὶ πᾶσα ἐκείνη ἡ οἰκία, ἀφ' ἧς συμφορῶν κατέσχεψεν. ἀλλὰ ταῦτα μὲν ἀπὸ τῶν παρὰ τῶν ἔξω θεν σωτεθέντων ἴσμεν. εἰ δὲ βούλεσθε, καὶ ἀπὸ τῶν γραφῶν ἐροῦμεν. ὁ σαοὺλ πρῶτος ἐβασίλευσεν, ἀλλ' ἴστε πῶς μετ' ἐκεῖνον ὁ δαβὶδ, μὴ οὗτος ἀπώλεσε μυρίων πειρασθεὶς κακῶν. ὁ σολομῶν, ὁ ἀβιὰ, ὁ ἐζεκίας, ὁ ἰωσίας ὁμοίως. οὐ γάρ ἐστι θλίψεως χωρὶς, οὐκ ἔστι πόνων χωρὶς, οὐκ ἔστιν ἀδυμίας ἐκτὸς τὸν παρόντα βίον διελθεῖν, ἵνα μὴ ἡμεῖς ἀδυμῶμεν μὴ ὑπὲρ τούτων ὑπὲρ ὧν οἱ βασιλεῖς, ἀλλ' ὑπὲρ τούτων ὑπὲρ ὧν μὴ κέρδος ἔχομεν μέγα. ἡ γὰρ κατὰ θεὸν λύπη, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. ὑπὲρ τούτων χρὴ λυπεῖσθαι, ὑπὲρ τούτων ἀλγεῖν, ὑπὲρ τούτων δάκνεσθαι. οὕτως ἐλυπεῖτο παῦλος.

ὑπὲρ γὰρ

ΠΑῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰ̃υ Χ̃υ, καὶ Θ̃υ πρ̃ς τὸν ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ, ταῖς ἐκκλησίαις τῆς γαλατίας, χάρις ὑμῖν, καὶ εἰρήνη ἀπὸ Θ̃υ πρ̃ς ἡμῶν, καὶ κ̃υ Ἰ̃υ Χ̃υ. Πολλοῦ τὸ προοίμιον γέμει θυμοῦ, καὶ μεγάλου φρονήματος, οὐ τὸ προοίμιον δὲ μόνον, ἀλλὰ καὶ πᾶσα ὡς εἰπεῖν ἡ ἐπιστολή. τὸ γὰρ μετ' ἐπιτάσεως ἀεὶ τοῖς μανθανομένοις διαλέγεσθαι καὶ σφοδρότητος δέονται, οὐ διδασκάλου, ἀλλὰ λυμεῶνος ἂν εἴη, καὶ πολεμίου. διαρρ̃δὴν καὶ ὁ κ̃ς πολλὰ προσηνῶς τοῖς μαθηταῖς διαλεχθεὶς, ὅθεν ὅπου, καὶ αὐστηρότερον κέχρηται τῷ λόγῳ, καὶ νῦν μὲν μανθάνει, νῦν δὲ ἐπιτιμᾷ. τῷ γοῦν πέτρῳ εἰπὼν μακάριος εἶ σίμων βαριωνᾶ, καὶ ἐπαγγελάμενος τὰ θεμέλια τῆς ἐκκλησίας ἐπὶ τῆς ὁμολογίας αὐτὸν καταθήσεσθαι, μετ' οὐ πολὺ τ̃ λόγων φησὶν. ὕπαγε ὀπίσω μου σατανᾶ, σκάνδαλον μου εἶ. καὶ πάλιν ἀλλαχοῦ, ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε. καὶ πολὺν τὸν αὐτοῖς φόβον ἐνέβαλεν, ὡς καὶ τὸν ἰωάννην εἰπεῖν, ὁπόρῶντες αὐτὸν πρὸ γυναικὸς σαμαρείτιδος λαλοῦντα, πρὸ μὲν τῆς τροφῆς ὑπέμνησαν, οὐδεὶς δὲ ἐτόλμησεν εἰπεῖν τί λαλεῖς, ἢ τί ζητεῖς μετ' αὐτῆς; ταῦτα μαθὼν ὁ παῦλος ὁ κατ' ἴχνος τὸ διδασκάλου βαίνων, ἐποίκιλε τὸν λόγον πρὸς τὴν τῶν μανθανομένων χρείαν. νῦν μὲν καίων καὶ τέμνων, νῦν δὲ προσηνῆ φάρμακα ἐπιτιθεὶς. καὶ κορινθίοις μὲν ἔλεγε. τί θέλετε ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνί τε πραότητος, γαλάται δὲ ὦ ἀνόητοι γαλάται., καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον κέχρηται ταύτῃ τῇ ἐπιτιμήσει, καὶ πρὸς τῷ τέλει δὲ καθαπτόμενος αὐτῶν, ἔλεγε μόποιεμοι μηδεὶς παρέχετω, καὶ δοξαζωνεύει δὲ πάλιν, ὡς ὅταν λέγῃ, τεκνία μου οὓς πάλιν ὠδίνω, μέχρις οὗ μορφωθῇ χ̃ς ἐν ὑμῖν. καὶ ἕτερα πολλὰ τοιαῦτα, ἀλλ' ὅτι μὲν θυμοῦ ἡ ἐπιστολὴ γέμει, παντὶ που δῆλον, καὶ ἐκ πρώτης ἀναγνώσεως, δεῖ δὲ εἰπεῖν τί τὸ παροξυσμὸν αὐτὸν κατὰ τῶν μαθητῶν. οὐ γὰρ μικρὸν ἔβλαψε, οὐδὲ ὀλίγους. ἐπεὶ οὐδὲ αὐτὸς τοσαύτῃ αὖ ἐχρήσατο τῇ καταφορᾷ. τὸ γὰρ ἰδιωτικοῖς τυχοῦσι παροξύνεσθαι μικροψύχων ἀνδρῶν, καὶ σκληρῶν, καὶ ταλαιπώρων. ὥσπερ οὖν τὸ ἰδιωτικοῖς μεγάλοις ἀναπίπτειν, νωθροτέρων καὶ ὑπνηλοτέρων, ἀλλ' οὐχ ὁ παῦλος τοιοῦτος. τί οὖν ἐκίνησαν αὐτὸν

ἁμάρτημα,

ἁμάρτημα μέγα καὶ ὑπέρογκον, καὶ ὁ τῦ χῦ πάντας αὐτοὺς ἠλλοτρίου, ὡς καὶ αὐτὸς προϊὼν ἔλεγεν, ἵδε ἐγὼ παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, χς ὑμᾶς οὐδὲν ὠφελήσει. καὶ πάλιν, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε. τί ποτ' οὖν ἐβόα ἐφ' ἡμῖν δεῖ γὰρ αὐτὸ σαφέστερον ἀναπλῶσαι. οἱ ἐξ ἰουδαίων πιστεύσαντες, ὁμῶς μὲν τῇ προλήψει τῦ ἰουδαϊσμοῦ κατεχόμενοι, ὁμῶς δὲ καινοδοξίᾳ μεδύοντες, καὶ βουλόμενοι ἀξίωμα διδασκάλων ἑαυτοῖς περιθεῖναι, ἐλθόντες εἰς τὸ γαλατῶν ἔθνος ἐδίδασκον, ὅτι δεῖ περιτέμνεσθαι, καὶ σάββατα, καὶ νουμηνίας τηρεῖν, καὶ μὴ ἀνέχεσθαι παύλου ταῦτα ἀναιροῦντος. οἱ γὰρ πρὸ ἑτέρου, ἢ ἰάκωβον, ἢ ἰωάννην, ταῦτα φῶς οὐ κωλύουσιν, οἱ πρῶτοι τῶν ἀποστόλων, οἱ μὴ χῦ γενόμενοι. καὶ ἀληθῶς οὐκ ἐκώλυον, ἀλλ' οὐ δογματίζοντες ἐβόων ἐποίουν, ἀλλὰ τῇ ἀσθενείᾳ συγκαταβαίνοντες τῶν ἐξ ἰουδαίων πιστευόντων. ὁ δὲ παῦλος εἰς τὰ ἔθνη κηρύττων, οὐ χρείαν εἶχε τῆς συγκαταβάσεως ταύτης. ὅτε οὖν ἐν ἰουδαίᾳ γέγονε, καὶ αὐτὸς τῇ συγκαταβάσει ἐχρήσατο ταύτῃ. ἀλλ' οἱ ἀπατῶντες οὐ λέγοντες τὰς αἰτίας δι' ἃς, καὶ οὗτος, μὴ ἐκεῖνοι συγκατέβαινον, παρελογίζοντο τοὺς ἀφελεστέρους λέγοντες, ὅτι οὐ δεῖ παύλῳ ἀνέχεσθε. οὗτος γὰρ χθὲς, καὶ σήμερον ἐφάνη. ἐκεῖνοι δὲ πρῶτοι οἱ πρὸ ἑτέρου. καὶ οὗτος μὲν μαθητὴς τῶν ἀποστόλων γέγονεν, ἐκεῖνοι δὲ τῦ χῦ καὶ οὗτος μόνος, ἐκεῖνοι δὲ πολλοὶ, καὶ φύλοι τῆς ἐκκλησίας. καὶ εἰς ὑπόκρισιν δὲ αὐτὸν διέβαλλον λέγοντες, ὅτι μὴ αὐτὸς οὗτος ὁ ἀναιρῶν περιτομὴν, φαίνεται, καὶ τούτοις χρησάμενος ἀλλαχοῦ, καὶ ἑτέρως μὲν ὑμῖν, ἑτέρως δὲ ἄλλοις κηρύττων. ἐπεὶ οὖν ἐμπρηνθὲν ἐδέδεκτο ἔθνος ὁλόκληρον, καὶ πυρὰν χαλεπὴν κατὰ τῆς γαλατῶν ἀφεθεῖσαν ἐκκλησίας, καὶ τὴν οἰκοδομὴν σαλευομένην, καὶ κινδυνεύουσαν καταπεσεῖν, ἔβλεπεν ὁ μὲν θεὸς θυμῷ δικαίου, ἔβλεπε δὲ ὁ ἀθυμίᾳ κατεχόμενος, καὶ γὰρ καὶ ἔβλεπε καὶ ἐδήλωσεν εἰ πῶς, ὅτι ἤθελον παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου, μάφει τὴν ἀπιστίαν, πρὸς ἅπαντας ταῦτα ἀπολογούμενος. καὶ ἐκπροοιμίων δὲ θεὸς πρὸς ἐκεῖνο ἀποτείνεται, ὁ διορύττοντες αὐτῦ τὴν ὑπόληψιν ἔλεγον, ὅτι οἱ μὲν ἄλλοι, τῦ χῦ, αὐτὸς δὲ τῶν ἀποστόλων γέγονεν μαθητής. διὸ καὶ οὕτως ἤρξατο. παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου. ἔλεγον γὰρ ὃ ἔφθην εἰπὼν οἱ ἀπατεῶνες ἐκεῖνοι, ὅτι τῶν ἀποστόλων ἁπάντων ἔσχατος οὗτός ἐστι, καὶ παρ' ἐκείνων ἐδιδάχθη. πέτρος γὰρ καὶ ἰάκωβος, καὶ ἰωάννης, καὶ ἐκλήθησαν πρῶτοι, καὶ κορυφαῖοι τῶν μαθητῶν εἰσί. καὶ τὰ δόγματα ἃ ἐδέξαντο παρὰ τῦ χῦ. καὶ χρὴ μαθεῖν ἐκείνοις πείθεσθε, ἢ τούτῳ. ἐκεῖνοι δὲ οὐ κωλύουσι περιτέμνεσθε, οὐδὲ νόμον μὴ τηρεῖν, καὶ ταῦτα, καὶ τὰ τοιαῦτα λέγοντες, καὶ βλάβην μὲν καθαιροῦντες, ἐκείνων δὲ τὴν δόξαν ἐπαίροντες, οὐχ ἵνα ἐκείνους ἐγκωμιάσωσιν, ἀλλ' ἵνα γαλάτας ἀπατήσωσιν, ἔπειθον ἀκαίρως τῷ νόμῳ προσέχειν. εἰκότως οὖν οὕτως ἤρξατο. ἐπεὶ γὰρ τὴν μὲν αὐτῦ διδασκαλίαν ἐξηυτέλιζον παρὰ ἀνθρώπων αὐτὴν λέγοντες εἶναι, τὴν δὲ πέτρου παρὰ τῦ χῦ, ἐκπροοιμίων δὴ θεὸς πρὸς βλάβην ἵσταται λέγων ἀπόστολος εἶναι οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων. ἐβάπτισε μὲν γὰρ αὐτὸν ἀνανίας, ἀλλ' οὐκ ἐκεῖνος τῆς πλάνης ἀπήλλαξεν, οὐδὲ πρὸς τὴν πίστιν ἤγαγε. ἀλλ' αὐτὸς αὖθις ὁ χς τὴν θαυμαστὴν ἐκείνην πρὸς αὐτὸν ἀφῆκε φωνὴν, δι' ἧς αὐτὸν ἐσαγήνευσε. τὸν μὲν γὰρ πέτρον, καὶ τὸν ἀδελφὸν αὐτῦ, καὶ ἰωάννην, καὶ ἀδελφὸν τὸν ἐκείνου, περιπατῶν παρὰ τὴν θάλασσαν ἐκάλεσε, τὸν δὲ παῦλον, εἰς οὐνοῦς ἀνελθών. καὶ ὥσπερ οὐκ ἐδέησαν ἐκεῖνοι δευτέρας φωνῆς, ἀλλ' εὐθέως

ἀφέντες

ἀφέντες τὰ ἅλικτυα, ἡ πάντα τὰ ἄλλα ἠκολούθησαν αὐτῷ, οὕτω ἡ οὖτος ἀπὸ τ πρώτης κλήσεως, πρὸς ἄκραν ἀνέβη κορυφὴν, ὁμῶς τε βαπτισάμενος, καὶ πόλεμον ἄσπονδον πρὸς ἰουδαίους ἐλόμενος, καὶ ταύτῃ μάλιστα τῶν ἀποστόλων πλεονεκτήσας. περιασότερον γὰρ αὐ τῶν ἐκοπίασα φῂ. ἀλλὰ τέως οὐ καταισχύνει θεὸς, ἀλλ' ἀγαπᾷ τὰ ἴσα φέρων. τὸ γὰρ ασπουδαζόμενον ἴσῳ αὐτῷ, οὐδεῖξαι ἐαυτὸν ἐκείνων ὑπερέχοντα, ἀλλὰ τῆς πλανῆς καταλῦσαι τὴν ὑπόθεσιν. τὸ μὲν οὖν οὐκ ἀπ' ἀνῶν, κοινὸν ἁπάντων ἴσῳ, αὖθις γὰρ τὴν ἀρχὴν καὶ τὴν ῥίζαν ἔχει τὸ κήρυγμα, τὸ δὲ οὐ δι' ἀνῶν, ἴδιον τῶν ἀποστόλων. οὐ γὰρ δι' ἀνῶν ἐκάλεσεν αὐτούς, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ. διατί δὲ μὴ τῆς κλήσεως ἐμνημόνευσε καὶ εἶπε, παῦλος κλητὸς οὐκ ἀπ' ἀνῶν, ἀλλὰ τῆς ἀποστολῆς; ὅτι περὶ τούτου πᾶς ἴσῳ ὁ λόγος. ἔλεγον γὰρ ὑπὸ ἀνῶν τῶν ἀποστόλων ἐγκεχειρίσθαι τὴν διδασκαλίαν ταύτην, ἡ δεῖν ἐκείνοις αὐτὸν ἕπεσθαι, ὅπ δὲ οὐχ ὑπὸ ἀνῶν ἐνεχειρίσθη, ὁ λουκᾶς ἐδήλωσεν εἰπών. λειτουργούντων δὲ αὐτῶν καὶ νηστευόντων τῷ κῷ, εἶπε τὸ πνᾶ τὸ ἅγιον, ἀφορίσατε δήμοι, τὸν παῦλον, καὶ τὸν βαρνάβαν. ὅθεν δῆλον ὅτι μία ἐξουσία γοῦ καὶ πνς. ἀποστελεὶς γὰρ ὑπὸ τὸ πνς, ὑπὸ τὸ χῦ φησιν ἀπεσταλθαι, θεὸς καὶ ἀλλαχοῦ δηλοῖ, τὰ τὸ θῦ τῷ πνί λογιζόμενος. τοῖς γὰρ μιλησίων διαλεγόμῃ πρεσβυτέροις, προσέχετε ἑαυτοῖς φησι, ἡ τῷ ποιμνίῳ, ἐν ᾧ ἔθετο ὑμᾶς τὸ πνᾶ τὸ ἅγιον ποιμένασ καὶ ἐπισκόπους. καίτοιγε ἐν ἄλλῃ φῂ ἐπιστολῇ, οὓς μὲν ἔθετο ὁ θς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, εἶτα ποιμένασ ἡ διδασκάλους. οὕτως ἀδιαφόρως κέχρηῆ τῷ λόγῳ, τὰ τὸ πνς, τὸ θῦ λέγων εἶναι, καὶ τὰ τὸ θῦ τὸ πνς, ἐμφράττει δὲ καὶ ἅλως τῶν αἱρετικῶν τὰ στόματα, λέγων ἀρχὴ ἰῦ χῦ, καὶ θῦ πρς. ἐπειδὴ γὰρ τὴν λέξιν ταύτην ὡς ἐλάττονα οὖσαν προσερρίφθαι τῷ γῷ φασιν, ὅρα τί ποιεῖ. ἴσῳ τὸ πρς' αὐτὴν πίθησι, ἡμᾶς διδάσκων μὴ νομοθετεῖν τῇ ἀῤῥήτῳ φύσει, μὴ δὲ μέτρα θεότητος ὁρίζειν μέσον γοῦ καὶ πρς. εἰ πὼν γὰρ ἀρχὴ ἰῦ χῦ, ἐπήγαγε, καὶ θῦ πρς. εἰ μὲν γὰρ καθ' ἑαυτὸ τὸ πρς' μνημονεύσας εἶπε τὸ δι' οὗ, ἴσως, ἂν καὶ ἐσοφίσαντο. λέγοντες ἁρμόζειν τῷ πρί τὸ δι' οὗ, τῷ τὰ ἔργα τὸ γοῦ, εἰς αὐτὸν ἀναφέρεσθαι. νῦν δὲ τὸ γοῦ μνημονεύσας ὁμῶς, καὶ τὸ πρς, καὶ κοινὴν θεὶς τὴν λέξιν, οὐκέτι τὸν λόγον θεὸν ἔχειν χώραν ἀφίησιν ἔχειν. οὐ γὰρ ὡς τὰ τὸ γοῦ νῶ ἀναπεθεὶς τῷ πρί, θεὸν ποιεῖ. ἀλλὰ δεικνὺς ὅτι οὐδὲ μίαν αὐτὴν ἡ λέξις οὐσίαν διαφοραὶ εἰσάγει. τί δὲ καὶ οἱ ἀπὸ τὸ βαπτίσματος ἐπινοοῦντές τινα ἐλάττωσιν ἄρα τὸ εἰς ὄνομα πρς, καὶ γοῦ, καὶ ἁγίου πνς βαπτίζεσθαι, ἐνταῦθα αὖ εἰποιεν; εἰ γὰρ κατὰ δεύτερος ὁ γὸς ἄρα τὸ μὴ πρᾶξαι εἶναι, ἐπειδὴ ἐνταῦθα ἀπὸ τὸ χῦ ἀρξάμῃ ὁ ἀπόστολος ἵνα τὸν πρᾶξ' ἔρχεται, τί ἂν εἰ ποιεν; ἀλλ' οὐδὲν ἂν εἰ ποιμεν βλάσφημον. οὐ γὰρ χρὴ φιλονεικοῦντας ἐκείνους τῆς ἀληθείας ἐξίστασθαι, ἀλλὰ κἂν μυριάκις μάνωνται, τὰ μέτρα τῆς δυσεβείας ἡμᾶς διατηρεῖν ἀναγκαῖον. ὥσπερ οὖν οὐκ ἂν εἰ ποιμεν ἡμεῖς μείζονα τὸ πρς' τὸν γόν, ἐπειδὴ τὸ χῦ πρῶτον ἐμνημόνευσεν. ἐλάττης γὰρ θεὸν μανίασ, καὶ ἀσεβείασ ὑπερβολὴ πάσης. οὕτως οὐδὲ ἐκεῖ ἄρα τὸ μετὰ τὸν πρᾶξ' εἶναι τὸν γόν, ἐλάττονα χρὴ νομίζειν ἡμᾶς εἶναι τὸ πατρὸς τὸν γόν. Τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.

Τί ποιεῖς ὦ παῦλε, ἰουδαίζοντας αὖθις ἀνάγειν εἰς πίστιν θέλων; οὐδὲν τῶν μεγάλων ἐκείνων, ἡ λαμπρῶν ἄγεις εἰς μέσον, οἷον ὃ πρὸς φιλιππησίους ἔγραφες, λέγων ὅτι οὐ μορφὴν θῦ νῶ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θῷ, ὃ μετὰ ταῦτα ἐπιστέλλων ἑβραίοις ἀνέβοησας,

βόησας, ὅτι ἀπαύγασμα ἐστὶ τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ ὁ ἐκπροοιμίων ὁ τῆς βροντῆς υἱὸς ἀνεφώνησεν, ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος, ὁ πρὸς Ἰουδαίους πολλάκις αὐτὸς ἑαυτὸν φθεγγόμενος ἔλεγεν, ὅτι τὰ αὐτὰ δύναται τῷ πατρί, καὶ τιμὴν αὐτὴν ἐξουσίαν ἔχει. Τούτων οὐδὲν λέγεις; ἀλλὰ ταῦτα πάντα ἀφεὶς τῆς κατὰ σάρκα οἰκονομίας μέμνησαι; φεῦ εἰς μέσον φέρων καὶ νέκρωσιν; ναί φησιν. εἰ μὴν γὰρ πρὸς ἀνοῦς ὁ λόγος ἦν μηδὲν μέγα περὶ αὐτοῦ φανταζομένους, καλῶς εἶχεν ἐκεῖνα λέγειν. ἐπεὶ δὴ δὲ ὡς μέλλοντες πιμωρεῖσθαι εἰ ἀποφαῖεν τὸν νόμον φασιάζουσι πρὸς ἡμᾶς, διαλύσαι πράγματος μέμνηται δι' οὗ πᾶσαν ἐκβάλλει τιμὴν χρείαν, λέγω δὴ τὴν ἐκτὸς φεῦ, καὶ τῆς ἀναστάσεως δύσκρισιν ἐγγινομένην ἅπασι. τὸ μὲν γὰρ εἰπεῖν ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὅτι ἐν μορφῇ θεοῦ ὑπῆρχε, καὶ τὸ ἴσον ἑαυτὸν ποιεῖν τῷ θεῷ, καὶ ὅσα τοιαῦτα, δεικνύοντος μὲν ἦν τὸ λόγου θεότητα, οὐδὲν δὲ τοιοῦτον εἰς τὸ παρὸν συμβαλλομένη. τὸ δὲ εἰπεῖν τὸν ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, ἀναμιμνήσκοντος ἦν τὸ ὑπὲρ ἡμῶν διέργασίας τὸ κεφάλαιον, ὅπερ οὐ μικρὸν εἰς τὸ προκείμενον αὐτῷ συντελεῖ. μὴ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν ἀνῶν οὐχ οὕτως τοῖς τοῦ θεοῦ μεγαλωσυνίοις παρεγκωμιάζειν προσέχειν λόγοις, ὡς τοῖς τὴν εἰς ἀνοῦς διέργασίαν ἐνδεικνυμένοις. διόπερ ἀφεὶς ἐκεῖνα εἰπεῖν, περὶ τῆς εἰς ἡμᾶς διέργασίας γεγενημένης ποιεῖται τὸν λόγον. ἀλλ' ἐπιπλήττουσιν οἱ αἱρετικοὶ λέγοντες ἰδοὺ ὁ πατὴρ ἐγείρει τὸν υἱόν. ἐπεὶ δὴ πάντες νενοσήκασι, πρὸς μὲν τὰ ὑψηλὰ τῶν δογμάτων ἐθελοκωφοῦσι, τὰ δὲ ταπεινὰ, καὶ ἃ τῆς σαρκὸς ἕνεκεν εἰρημένα οὕτως, ἃ δὴ τῆς εἰς τὸν πρᾶξιν, ἃ δι' ἄλλην τινὰ οἰκονομίαν, ταῦτα ἐκλέγουσι, καὶ καθ' ἑαυτὰ ἐξετάζοντες, ἐπηρεάζουσιν ἑαυτοῖς, οὐ γὰρ αὖ εἰ ποιμὴν τῆς γραφῆς, οὓς ἥδεως αὖ ἐροίμην. τίνος ἕνεκεν ταῦτα λέγουσιν, ἆρα ἀσθενῆ τὸν υἱὸν ἐπιδεῖξαι βουλόμενοι, καὶ οὐκ ἰσχύοντα πρὸς ἑνὸς ἀνάστασιν σώματος; καὶ μὴν ἡ εἰς αὐτὸν πίστις, μὴ τὰς σκιὰς τῶν εἰς αὐτὸν πιστευόντων ἀνίσχυν ἐποίησε νεκρούς. εἶτα οἱ μὲν εἰς αὐτὸν πιστεύοντες αὖ οἱ θνητοὶ ὄντες ἐπὶ ἀπὸ σκιᾶς μόνης τῶν πηλίνων σωμάτων ἐκείνων, καὶ ἱματίων τοῖς σώμασι τούτοις περικειμένων νεκροὺς ἤγειραν, αὐτὸς δὲ ἑαυτὸν ἀναστῆσαι οὐκ ἴσχυσε; καὶ πῶς οὐ φανερὰ αὕτη μανία, μὴ παρανοίας ἐπίτασις; οὐκ ἤκουσας αὐτοῦ λέγοντος, ὅτι λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν; καὶ πάλιν ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν; τίνος οὖν ἕνεκεν ὁ πατὴρ αὐτὸν ἐγηγερκέναι λέγεται; ὥσπερ καὶ τὰ ἄλλα ποιεῖν; ἅπερ αὐτὸς ποιεῖ. καὶ γὰρ καὶ εἰς τὸν πρᾶξιν ἕνεκεν
» ἤρηται τοῦτο, καὶ τῆς τῶν ἀκροατῶν ἀσθενείας. Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί.
Τί δήποτε οὐδαμοῦ τοῦτο προσέθηκεν ἐπιστέλλων; ἢ γὰρ τὸ αὐτὸ ὄνομα πᾶσι μόνον, ἢ δύο καὶ τριῶν ἑτέρων ὀνομασί. ἐν ταύτῃ δὲ πλῆθος ὁλόκληρον ἐστὶν. διόπερ οὐδὲ ὀνομασὶ τίνος ἐμνημόνευσε. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; διέβαλλον αὐτὸν ὡς μόνον ταῦτα κηρύττοντα, μὴ καινοτομίαν τινὰ τοῖς δόγμασιν εἰσάγοντα. θέλων οὖν ἀνελεῖν αὐτῶν τὴν ὑποψίαν καὶ δεῖξαι ὅτι πολλοὺς ἔχει τῆς γνώμης κοινωνοὺς συντάξει τοὺς ἀδελφούς, δηλῶν ὅτι
» ἅπερ γράφει, καὶ ἀπὸ τῆς ἐκείνων γράφει γνώμης. Ταῖς ἐκκλησίαις τῆς Γαλατίας. Οὐ γὰρ μίαν πόλιν οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον τὸ Γαλατῶν ἔθνος αὖ πάλιν τὴν πλάνης ἐτένεμετο ἡ πυρά. θέα δέ μοι μὴ ἐνταῦθα τὴν πολλὴν ἀγανάκτησιν. οὐ γὰρ εἶπε τοῖς ἀγαπητοῖς οὐδὲ τοῖς ἡγιασμένοις, ἀλλὰ ταῖς ἐκκλησίαις τῆς Γαλατίας. οὐδὲ δὲ ἦν σφόδρα βαρυθυμοῦντος

ὁρᾶς βαρυθυμοῦντος, καὶ τὴν ὀδύνην ἐνδεικνυμένου, τὸ μὴ δὲ ἀπὸ τῆς πηγῆς τῶν ὀνομάτων αὐτοὺς καλέσαι, ἀλλ' ἀπὸ τῆς συνόδου μόνης, καὶ μὴ δὲ προσθεῖναι ταῖς ἐκκλησίαις τὸ θῦ, ἀλλ' ἁπλῶς ταῖς ἐκκλησίαις τῆς γαλατίας. ἅμα δὲ καὶ συμφέρει ἐκπροοιμίων τὸ φασιάζον ἐπείγεται, διὸ καὶ τὸ ὄνομα τῆς ἐκκλησίας τέθεικεν, ἐν τρέπων αὐτοὺς, καὶ συναγωνεῖς ἕν. οἱ γὰρ εἰς πολλὰ διηρημένοι μέρη, οὐκ ἂν δύναιντο ταύτῃ καλεῖσθαι τῇ προσηγορίᾳ. τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα, συμφωνίας ὄνομα, καὶ ὁμονοίας ἐστί. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θῦ πρς, καὶ κυ ἰυ χυ. πανταχοῦ μὲν ἀναγκαίως θλῖψι πίθησι, μάλιστα δὲ γαλάταις ἀποστέλλων νῦν. ἐπειδὴ γὰρ τῆς χάριτος ἐνυβρίσθυον ἐκπεσεῖν, ἐπεύχεται αὐτοῖς ταύτην ἀνακτήσασθαι πάλιν. ἐπειδὴ γὰρ πρὸς τὸν θεὸν ἑαυτοὺς ἐξεπολέμωσαν, παρακαλεῖ τὸν θεὸν πρὸς τὴν αὐτὴν αὐτοὺς ἐπαναγαγεῖν εἰρήνην. θῦ πρς. κἀντεῦθεν πάλιν ῥᾳδίως ἁλίσκονται οἱ αἱρετικοί. ἐπειδὴ γάρ φασι τὸν ἰωάννην ἐν προοιμίῳ τῶν εὐαγγελίων λέγοντα, καὶ θς ἦν ὁ λόγος, διαβλῆτε χωρὶς ἄρθρου τεθεικέναι θν, ὡς ἐλάττονα εἰσάγοντα τὴν θεότητα τοῦ υἱοῦ. καὶ πάλιν τὸν παῦλον ἐν μορφῇ θῦ ὑπάρχειν τὸν υἱὸν λέγοντας οὐ περὶ τοῦ πρς εἰρηκέναι διὰ τὸ χωρὶς ἄρθρου, καὶ αὐτὸ κεῖσθαι, τί ἂν εἴποιεν ἐνταῦθα τοῦ παύλου λέγοντος οὐκ ἀπὸ τοῦ θῦ ἀλλ' ἀπὸ θῦ πρς; πρὸς δὲ ἐνταῦθα τὸν θεὸν καλεῖ, οὐ κολακεύων αὐτοὺς ἀλλὰ καὶ σφόδρα καθαπτόμενος, καὶ ὑπομιμνήσκων τὴν αἰτίαν δι' ἧς ἐγένοντο υἱοί. οὐ γὰρ διὰ νόμου, ἀλλὰ διὰ λουτροῦ παλιγγενεσίας ταύτης ἠξιώθησαν τῆς τιμῆς. διαβλῆτε πανταχοῦ καὶ ἐν προοιμίοις καταστείρει τὰ ἴχνη τῆς δυεργεσίας τοῦ θῦ, μονονουχὶ λέγων, οἱ δοῦλοι καὶ οἱ ἐχθροὶ, καὶ οἱ ἀλλοτριωμένοι, πόθεν ἐξαίφνης πρὸς καλεῖτε τὸν θν; μὴ ὄνομος ὑμῶν ταύτην ἐχαρίσατο τὴν συγγένειαν; πῶς τοίνυν καταλιπόντες τὸν εἰς ταύτην ὑμᾶς τὴν ἐγγύτητα ἀγαγόντα, προστρέχετε πάλιν τῷ παιδαγωγῷ, οὐκ ἐπὶ τοῦ πρς δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ υἱοῦ ἱκανὰ τὰ ὀνόματα αὐτοῖς ταῦτα τὴν δυεργεσίαν ἐνδείξασθαι. τὸ γὰρ κυ ἰυ χυ ὄνομα μὴ ἀκριβείας ἐξεταζόμενον, τὴν δυεργεσίαν πᾶσαν ἐνδείκνυται. καὶ γὰρ ἰς διαβλῆτε πλησθήσεται φῇ, ὅτι αὐτὸς σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ ἡ τοῦ χυ δὲ προσηγορία, τῆς τοῦ πνς ἀνέμνησε χρίσεως.

» Τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. Ὁρᾶς ὅτι οὐ δουλικῶς ὑπέμεινε διακονίαν, οὐδὲ ἀναγκασμένως; οὐδὲ ἐξεδόθη παρά τινος, ἀλλ' ἑαυτὸν ἔδωκεν; ὥστε ὅταν ἀκούσῃς ἰωάννου λέγοντος, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν ὑπὲρ ἡμῶν ὁ πήρ, μὴ ἐλαττώσῃς τὴν ἀξίαν τοῦ μονογενοῦς διαβλῆτε, μὴ δὲ ἀντίνοντι ὑποβάλῃς. καὶ γὰρ ὁ πήρ λέγεται δεδωκέναι, οὐχ ἵνα δουλικῶς διακονίαν ἐννοήσῃς, βλῆτε λέγεται, ἀλλ' ἵνα μάθῃς, ὅτι μὴ τῷ πρὶ βλῆτε δοκοῦσι, ὅπερ οὖν μὴ ἐνταῦθα ὁ παῦλος ἐδήλωσενεἰπών, κατὰ τὸ θέλημα τοῦ πρς ἡμῶν. οὐ κατ' ἐπιταγὴν, ἀλλὰ κατὰ τὸ θέλημα. ἐπειδὴ γὰρ ἓν θέλημα πρς μὴ υἱοῦ, ἅπερ ὁ υἱὸς ἐβούλετο, ταῦτα μὴ ὁ πήρ ἤθελεν. ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. μυρίοις φῇ ἑαυτὸν περιεπείρασε μὲν κακοῖς, μὴ τὲ ἐχάτης ἦμεν ὑπευθυνοι κολάσεως, μὴ ὁ μὲν νόμος, οὐ μόνον οὐκ ἀπήλλαξεν, ἀλλὰ μὴ κατεδίκασε, τὸ μὲν ἁμάρτημα φανερώτερον καθιστὰς, ἐλευθερῶσαι δὲ οὐκ ἰσχύων, οὐδὲ παῦσαι τοῦ θῦ τὴν ὀργήν. ὁ δὲ υἱὸς τοῦ θῦ μὴ τὸ ἀδύνατον τοῦτο, δυνατὸν ἐποίησε, τάς τε ἁμαρτίας λύσας, μὴ τοὺς ἐχθροὺς ἐν τάξει φίλων καταθέσας, μὴ μυρία ἕτερα χαρισάμενος ἀγαθά. εἶτα φῇ. Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ. Πάλιν ἕτεροι τοῦτης τὴν

λέξεως

λέξεως ἐπλαμβάνονται αἱρετικοὶ, τὸν παρόντα βίον διαβάλλοντες, καὶ τὴν παῦλου μακαριότητα παράγοντες. ἰδοὺ γὰρ φασὶ τὸν ἐνεστῶτα αἰῶνα πονηρὸν εἴρηκε. καὶ τί ποτέ ἐστιν αἰὼν εἰώθεμεν; χρόνος ἐν ἡμέραις, καὶ ὥραις. τί οὖν, τὸ διάστημα τῶν ἡμερῶν, καὶ ὁ τοῦ ἡλίου δρόμος; ἀλλ' οὐδεὶς ἂν εἴποι ποτὲ, καὶν εἰς ἐσχάτην ἀλογίαν κατενεχθείη, ἀλλ' οὐ τὸν χρόνον εἶπε φησὶν, ἀλλὰ τὴν παροῦσαν ζωὴν πονηρὰν ἐκάλεσε. καὶ μὴν τὰ ῥήματα, οὐ κακῶς φησὶν, ἀλλ' οὐχ ἵστασαι ἐπὶ τῶν ῥημάτων ἀφ' ὧν τὴν κατηγορίαν ἔπλεξας, ἀλλὰ σαυτῷ τέμνεις ἑρμηνείας ὁδόν. οὐκοῦν καὶ ἡμῖν συγχωρήσεις ἑρμηνεῦσαι τὰ εἰρημένα, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ εὐσεβῆ τὰ ἡμέτερα, καὶ λόγον ἔχοντα. τί οὖν οὐ ἐποιμεν, ὅτι οὐδὲν τῶν κακῶν γένοιτ' ἂν ἄπονον ποτὲ τῶν καλῶν; τῶν δὲ μυρίων σφαλμάτων, καὶ τοσούτων μισθῶν ὁ παρὼν βίος ἄξιος ἐστίν; οὐκοῦν γοῦν οὕτως ὁ μακάριος παῦλος ἐπαινεῖ μετ' ὑπερβολῆς οὐκ ἐν λέγων οὕτως. εἰ δὲ τὸ ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι, οὐ γνωρίζω. καὶ αἵρεσιν δὲ προσθεὶς τοῦ ζῆν ἐν ταῦθα, καὶ τὸ ἀναλῦσαι, καὶ σὺν χριστῷ εἶναι, προτιμᾷ τὴν ἐν ταῦθα διαγωγήν. εἰ δὲ πονηρὸς ἦν, οὔτ' ἂν ἐκεῖνος ταῦτα περὶ ἑαυτοῦ εἶπεν, οὔτ' ἂν ἄλλος τις εἰς ἀρετὴν αὐτῷ κατακρίσασθαι ἠδυνήθη, εἰ καὶ σφόδρα ἐσπούδαζε. κακία γὰρ οὐκέτ' ἂν ποτε εἰς ἀγαθόν τι κρίσαιτο, οὐ πορνεία εἰς σωφροσύνην, οὐ φθόνῳ εἰς φιλοφροσύνην. καὶ γὰρ ὅταν λέγῃ παῦλος περὶ τῶν φρονήματος τῆς σαρκὸς, ὅτι τῷ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται, οὐκ λέγει, ὅτι ἡ κακία μένουσα κακία, οὐ δύναται εἶναι ἀρετή. ὥστε ὅταν ἀκούσῃς πονηρὸν αἰῶνα, τὰς πράξεις νόει τὰς πονηράς, τὴν προαίρεσιν τὴν διεφθαρμένην. οὐ γὰρ ἵνα ἀποκτείνῃ ἡμᾶς, καὶ ἐξαγάγῃ τῆς παρούσης ζωῆς ἦλθεν ὁ χριστὸς, ἀλλ' ἵνα ἀφεὶς ἐν τῷ κόσμῳ, παρασκευάσῃ τῆς ἐν τοῖς οὐρανοῖς διαγωγῆς γενέσθαι ἀξίους. διαλεγόμενος καὶ τῷ πατρὶ διαλεγόμενος, ἔλεγε. καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶ, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. οὐκ ἐρωτῶ, ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ κόσμου, τουτέστι τῆς κακίας. εἰ δὲ οὐκ ἀνέχῃ τούτων, ἀλλ' ἐπὶ πονηρὰν τὴν παροῦσαν ζωὴν εἶναι φῂς, μὴ ἐγκάλει τοῖς ἑαυτοὺς ἀναιροῦσιν. ὥσπερ γὰρ ὁ τῆς κακίας ἑαυτὸν ὑποξάγων οὐκ ἐγκλημάτων, ἀλλὰ καὶ στεφάνων ἄξιος, οὕτω καὶ ὁ βιαίῳ θανάτῳ, καὶ δι' ἀγχόνης, ἢ δι' ἄλλων τινῶν καταλύων τὸ ζῆν, οὐκ ἂν εἴη δίκαιος ἐγκαλεῖσθαι καθ' ὑμῶν. νυνὶ δὲ καὶ ὁ θεὸς τοὺς τοιούτους κολάζει τῶν ἀνθρωφόνων μᾶλλον, καὶ πάντες βελτιούμεθα, καὶ εἰκότως. εἰ γὰρ ἑτέρους ἀνελεῖν οὐ καλὸν, πολλῷ μᾶλλον ἑαυτόν. εἰ δὲ πονηρὸν ἡ παροῦσα ζωὴ, τοὺς ἀνθρωφόνους στεφανοῦν ἔδει, ὅτι τῆς πονηρίας ἡμᾶς ἀπαλλάττουσι. χωρὶς δὲ τούτων, καὶ ἐξ ὧν αὐτοὶ λέγουσιν, ἑαυτοῖς περιπίπτουσι. τὸν γὰρ ἥλιον θεὸν εἶναι φάσκοντες, καὶ μετ' ἐκεῖνον τὴν σελήνην, καὶ προσκυνοῦντες, ὡς τῶν πολλῶν ἀγαθῶν αἰτίους, ἑαυτοῖς μαχόμενοι λέγουσιν. ἡ γὰρ τούτων χρεία, καὶ τῶν λοιπῶν ἄστρων, πρὸς ἕτερον μὲν οὐδέν, εἰς δὲ τὴν παροῦσαν ἡμῖν συντελεῖ ζωὴν τὴν, ὡς αὐτοί φασι, πονηράν, σώματα τρέφουσά τε, καὶ καταυγάζουσα, καὶ καρποὺς εἰς ἀκμὴν ἄγουσα. πῶς οὖν πρὸς τὴν σύστασιν τοῦ πονηροῦ βίου τοσαύτην εἰσάγουσι λειτουργίαν οὗτοι οἱ καθ' ὑμᾶς θεοί; ἀλλ' οὔτε τὰ ἄστρα θεοὶ, μὴ γένοιτο, ἀλλ' ἔργα θεοῦ πρὸς τὴν ἡμετέραν πεποιημένα χρείαν, οὔτε ὁ κόσμος πονηρός. εἰ δὲ λέγεις μοι τοὺς ἀνθρωφόνους, καὶ τοὺς μοιχοὺς, καὶ τοὺς τυμ-

βωρύχους, οὐδὲν ζῶντα πρὸς τὸν παρόντα βίον. οὐδὲ γὰρ τῆς ἐν σαρκὶ ζωῆς ζῶντα ἁμαρτήματα, ἀλλὰ τῆς διεφθαρμένης προαιρέσεως. εἰ γὰρ τῆς παρούσης ζωῆς ἦν ζῶντα, ὡς πάντως αὐτῇ συγκεκλιμένα, οὐδεὶς ἂν ἐλεύθερος ἦν, οὐδὲ καθαρός. ὅρα γοῦν τῆς ἐν σαρκὶ ζωῆς τὰ ἰδιώματα οὐδένα δυνάμενον διαφυγεῖν. τίνα δὲ ζῶντα ἐστί; τὸ ἐσθίειν, τὸ πίνειν, τὸ καθεύδειν, τὸ αὔξεσθαι, τὸ τεκνῶν, τὸ διψῆν, τὸ γεννᾶσθαι, τὸ τελευτᾶν, καὶ τὰ τούτοις ὅμοια ἅπαντα. καὶ τούτων οὐδεὶς ἂν περιγένοιτο, οὐχ ἁμαρτωλὸς οὐ δίκαιος, οὐ βασιλεὺς οὐκ ἰδιώτης, ἀλλὰ πάντες ὑποκείμεθα τῇ τῆς φύσεως ἀνάγκῃ. οὕτω καὶ τὸ φαῦλα πράττειν, εἰ τῇ φύσει τῆς ζωῆς, δυνάμενον συγκεκλιμένον, οὐδεὶς ἂν αὐτὰ διέφυγεν, ὥσπερ οὐδὲ ἐκεῖνα. μὴ γάρμοι τις εἴποις ὅτι ὠφέλιμοι οἱ κατορθοῦντες. τῶν γὰρ φυσικῶν ἀναγκῶν οὐδένα εὑρήσεις περιγενόμενον ποτέ. ὥστε ἕως ἂν εὑρίσκηται, καὶ εἰς κατορθωτικὸν ἀρετὴν, οὐδὲν ὁ λόγος παραβλαβήσεται. τί φῂς ἄθλιε, καὶ ταλαίπωρε; πονηρὰ ἡ παροῦσα ζωὴ ἐν ᾗ τὸν θεὸν ἐπέγνωμεν; ἐν ᾗ περὶ τῶν μελλόντων φιλοσοφοῦμεν; ἐν ᾗ γεγόναμεν ἐξ ἀνθρώπων ἄγγελοι, καὶ τοῖς ἄνω συγχορεύομεν δυνάμεσι; καὶ ποίαν ἑτέραν ζητήσομεν τῆς πονηρᾶς ὑμῶν γνώμης, καὶ διεφθαρμένης ἀπόδειξιν; τίνος οὖν ἕνεκεν ὁ παῦλος εἶπε φησὶν αἰῶνα πονηρὸν τὸν ἐνεστῶτα, τῇ κοινῇ κεχριμένος συνηθείᾳ; καὶ γὰρ, καὶ ἡμεῖς εἰώθαμεν λέγειν, κακὴν ἔχον ἡμέραν, οὐ τὸν καιρὸν, ἀλλὰ τὴν πρᾶξιν, ἢ τὴν περίστασιν διαβάλλοντες. οὕτω καὶ παῦλος τὰς πονηρὰς διαβάλλων προαιρέσεις, τῇ συνηθείᾳ κέχρηται, καὶ δείκνυσιν, ὅτι καὶ τῶν προτέρων ἡμᾶς ἀπήλλαξεν ὁ χριστὸς ἁμαρτημάτων, καὶ πρὸς τὸ μέλλον ἠσφαλίσατο. τῷ μὲν γὰρ εἰπεῖν τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἐκεῖνο ἐδήλωσε. τῷ δὲ προσθεῖναι ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, τὴν πρὸς τὸ μέλλον ἀσφάλειαν ἐνέφηνεν. ὁ μὲν γὰρ νόμος, καὶ πρὸς τὸ ἐν ἡ-
» θένει. ἡ δὲ χάρις, πρὸς ἀμφότερα δυνατὴ γέγονε. Κατὰ τὸ θέλημα τοῦ θεοῦ,
» καὶ πατρὸς ἡμῶν. Εἰ γὰρ καὶ γὰρ ἐνόμιζον ἐκεῖνοι τοῦ θεοῦ παρακούειν, ὡς δεδωκότος τὸν νόμον, καὶ ἐδεδίκεσαν εἰ τὴν παλαιὰν ἀφέντες προέλθοιεν τῇ καινῇ, καὶ ταύτην αὐτῶν διορθοῦται τὴν ὑπόνοιαν λέγων, ὅτι καὶ τῷ πατρὶ ταῦτα δοκεῖ, καὶ οὐχ ἁπλῶς εἶπε πατρὸς, ἀλλὰ πατρὸς ἡμῶν, καὶ συνεχῶς αὐτὸ πίθησιν ἐντρέπων αὐτούς.
» τῷ δεικνύειν, ὅτι πατέρα ἡμῶν τὸν αὐτὸν πατέρα ἐποίησεν ὁ χριστός. Ὧ ἡ δόξα εἰς
» τοὺς αἰῶνας ἀμήν. Καὶ οὐδὲν καινὸν, καὶ παρειλλαγμένον. τὸ γὰρ ἀμήν, οὐ δυνατὸν ἐν ἀρχῇ, καὶ προοιμίοις ἐπιστολῆς δυείσημενκείμενον, ἀλλὰ μετὰ πολλά. ἐν ταύτῃ δὲ δεικνὺς ὅτι καὶ τὰ εἰρημένα ἐκκλησίᾳ εἶχε κακηγορίαν γαλατῶν, καὶ ὅτι ὁ λόγος ἀπηρτισμένος ἐστὶ, τὸ προοίμιον οὐδὲν πέφευγε. τὰ γὰρ φανερὰ τῶν ἐγκλημάτων, οὐ πολλῆς δεῖται κατασκευῆς. ἀναμνήσας γὰρ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως, τῆς τῶν ἁμαρτημάτων λυτρώσεως, τῆς πρὸς τὸ μέλλον ἀσφαλείας, τῆς τοῦ πατρὸς γνώμης, τῆς τοῦ χοῦ βουλῆς, τῆς χάριτος, τῆς εἰρήνης, πάσης αὐτοῦ τῆς δωρεᾶς, εἰς δοξολογίαν τὸν λόγον κατέκλεισεν. οὐ διαφόρως δὲ μόνον οὐδὲν πεποίηκεν, ἀλλὰ καὶ διὰ τὸ μετ' ὑπερβολῆς ἐκπλήττεσθαι τῆς δωρεᾶς τὸ μέγεθος, τῆς χάριτος τῇ ὑπερβολῇ, καὶ ἐννοεῖν τίνας ὄντας, τί εἰργάσατο ὁ θεὸς ἀθρόον, καὶ ἐν ἀκμῇ καιροῦ ῥοπῇ. ἅπερ τῷ λόγῳ παρασῆσαι, μὴ

δυνάμενος

δωάμενος, εἰς δξολογίαν κατέλυσεν, οὐ τὴν ἀξίαν, ἀλλὰ τὴν αὐτῷ δωατὴν δύ-
φημίαν ὑπὲρ τῆς οἰκουμένης ἀναπέμπων ἁπάσης. διαῤῥῆξαι καὶ σφοδρότερον τῷ μεταταῦ-
τα κέχρηται λόγῳ, καθάπερ πυρωθεὶς σφοδρῶς ὑπὸ τῆς ἐννοίας τῶν δυέργετῶν τοῦ
θεοῦ. εἰπὼν γὰρ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν, ἀπὸ σφοδροτέρας ἄρχεται ἐπιπλή-
» ξεως οὕτω λέγων. Θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑ-
» μᾶς ἐν χάριτι χριστοῦ εἰς ἕτερον δυαγγέλιον. Ἐπειδὴ γὰρ ἀφ' ἧς τῆς τοῦ νόμου φυλακῆς
ὑπώπτευον ἀρέσκειν τῷ πατρί, καθάπερ καὶ ἰουδαῖοι τὸν χριστὸν διώκοντες, ῥᾳδίως προ-
τον ἀνδείκνυται, ὅτι οὐ τὸν χριστὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα παροξύουσι ῥᾳδίως πράτ-
τοντες. οὐ γὰρ ἀπὸ τοῦ χριστοῦ φησιν, ἀλλὰ καὶ ἀπὸ τοῦ πατρὸς μεθίστασθε ῥᾳδίως ποιοῦ-
ντες. ὥσπερ γὰρ ἡ παλαιὰ, οὐ τοῦ πατρὸς μόνον, ἀλλὰ καὶ τοῦ υἱοῦ, οὕτω καὶ ἡ χάρις,
οὐ τοῦ υἱοῦ μόνον, ἀλλὰ καὶ τοῦ πατρὸς, καὶ πάντα κοινά. πάντα γὰρ τὰ τοῦ πατρός μου,
ἐμά ἐστιν. εἰπὼν τοίνυν, ὅτι καὶ τοῦ πατρὸς ἀφίστανται, δύο ἐγκλήματα πίθησι, καὶ τὴν
μετάθεσιν, καὶ τὴν ταχίστην μετάθεσιν. καὶ μὴν τὸ ἐναντίον κατηγορίας ἄξιον, τὸ μετὰ
πολλὰ ἀποφῆναι χρόνον, ἀλλ' ἐνταῦθα περὶ ἀπάτης ὁ λόγος. ἄξιος μὲν γὰρ ἐγκλημά-
των, καὶ ὁ μετὰ πολλὰ χρόνον. ὁ δὲ ἐκπρώτης προσβολῆς, καὶ ἐν αὐτοῖς ἀκροβολισμοῖς
καταπεσών, ἐλαχίστης ἀδθενείας ἐξέλιπεν ὑπόδειγμα, ὃ καὶ τούτοις ἐγκαλεῖ λέγων. τί
ῥᾳδίως, ὅτι οὐδὲ χρόνου δέονται οἱ ἀπατῶντες ὑμᾶς, ἀλλ' ἐκπρώτης προσαγωγῆς ἀρκεῖ πάν
τας ὑμᾶς καταφρέψασθαι, καὶ ἑλεῖν, καὶ ποίαν αὖ χρίητε συγγνώμην; εἰ γὰρ ἐπὶ φίλων
ῥᾳδίως γινόμενον ἔγκλημα, καὶ ὁ τοὺς προτέρους, καὶ χρησίμους τῶν ἐπιδείων ἀφεὶς κα-
ταγνώσεως ἄξιος, ὁ θεοῦ καλοῦντος ἀποπηδῶν, ἐννόησον ὅσης αὖ εἴη τιμωρίας ὑπεύθυ-
νος. ὅταν δὲ εἴπω θαυμάζω, οὐ μόνον ἐντρέπων αὐτοὺς λέγει, ὅτι μετὰ τοσαύτην δωρεὰν,
μετὰ τοσαύτην ἀμαρτημάτων συγχώρησιν, καὶ φιλανθρωπίας ὑπερβολὴν εἰς ζυγὸν δου-
λείας ἠνέβησαν. ὁμοῦ δὲ καὶ δεικνὺς οἷον ἔχει περὶ αὐτῶν ὑπόνοιαν, ὅτι μεγάλῃ ἀ-
νάῤῥῃ, καὶ ἐπονειδισμένῃ. οὐδὲ γὰρ αὖ εἰ τῶν τυχόντων ἐνόμιζεν αὐτοὺς εἶναι δυεξαπατή-
των, ἐθαύμασεν ἂν ἐπὶ τῷ γινομένῳ, ἀλλ' ἐπειδὴ τῶν γνησίων φησὶ, καὶ πολλὰ ἐπονει-
κότων ὑμεῖς, διαῤῥήδην θαυμάζω. ὅπερ ἐκεῖνον ἦν αὐτοὺς ἀναπηδᾶσθαι, καὶ πρὸς τὰ
πρότερα ἐπανάγειν, ὃ καὶ ἐν μέσῃ τῇ ἐπιστολῇ δηλῶν ἔλεγε. τοσαῦτα ἐπάθετε εἰκῇ, εἴ-
γε καὶ εἰκῇ μετατίθεσθε. οὐκ ἔστε μετέθεσθε, ἀλλὰ μετατίθεσθε, τουτέστιν οὐδέπω πι-
στεύω, οὐδὲ ἡγοῦμαι ἀπηρτισμένην εἶναι τὴν ἀπάτην, ὃ καὶ αὐτὸ πάλιν ἐστὶν ἀνακτωμένου.
ῥᾳδίως οὖν σαφέστερον προειπὼν, λέγει. ἐγὼ δέ ποι θαρῶ εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσε-
τε, ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι χριστοῦ. ἡ μὲν κλῆσις ἐστὶ τοῦ πατρὸς, τῆς δὲ κλή-
σεως ἡ αἰτία, τοῦ υἱοῦ. αὐτὸς γάρ ἐστιν ὁ καταλλάξας, καὶ δωρεαὶ δύο. οὐ γὰρ ἐξ ἔργων
τῶν ἐν δικαιοσύνῃ ἐσώθημεν. μᾶλλον δὲ καὶ ταῦτα ἐκείνου, καὶ ἐκεῖνα τούτου. τὰ γὰρ
ἐμὰ, σά φησι καὶ τὰ σὰ ἐμά. καὶ οὐκ ἔστιν ἀπὸ τοῦ δυαγγελίου μεταπίθεσθε, ἀλλ' ἀπὸ
τοῦ καλέσαντος ὑμᾶς θεοῦ. ὁ γὰρ ἴσως φεικωδέστερον, καὶ μᾶλλον ἱκανὸν αὐτοὺς κατα-
πλῆξαι, ῥᾳδίως τέθεικεν. οἱ γὰρ ἀπατᾶν αὐτοὺς βουλόμενοι, οὐκαθρόως ῥᾳδίως ἐποίουν,
ἀλλ' ἤρεμα αὐτοὺς τῶν πραγμάτων μεθιστῶντες, τῶν ὀνομάτων οὐ μεθίστων. τοιοῦτοι γὰρ

ἡ τοῦ διαβόλου πλανὴ, μὴ γυμνὰ προπετέναι τὰ θηρατρα. εἰ μὲν γὰρ εἶπον ἀπόστητε ἀπὸ τοῦ χριστοῦ, ὡς πλανώμενοι αὖ, καὶ λυμεῶνας ἐφυλάξαντο. νυνὶ δὲ ἀφέντες αὐτοὺς ἐν τῇ πίστει τέως, καὶ τῇ πλανῇ δυαγγελίου ἐπιπλέοντες ὀνόματι, μετὰ πολλῆς τῆς ἀδείας διώρυττον τὴν οἰκοδομὴν, τῶν εἰρημένων καθάπερ τινῶν παρασπασμάτων, διὰ τῶν ὀνο-
» μάτων τούτων κρυπτόντων τοὺς τοιχωρύχους. ἐπεὶ οὖν δυαγγέλιον ἐκάλουν τὴν ἑαυτῶν
» ἀπάτην, καλῶς αὐτὸς, καὶ πρὸς τὸ ὄνομα μάχεται, καὶ παρρησιάζεται λέγων. Εἰς ἕτερον δυαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο, ἀλλ' ὅμως ὅπερ πάσχουσιν οἱ νοσοῦντες ἐκτῶν ὑγιεινῶν βλαπτόμενοι σιτίων, οὕτω καὶ μαρκίωνες ἐν τοῦτο ἔπαθον. ἐπελάβετο γὰρ τῶν εἰρημένων εἰπὼν, ὅτι ἰδοὺ, καὶ παῦλος εἶπεν οὐκ ἔστιν ἕτερον δυαγγέλιον. οὐδὲ γὰρ παραδέχονται τοὺς δυαγγελιστὰς ἅπαντας, ἀλλ' ἕνα μόνον, καὶ αὐτὸν περικόψαντες, καὶ συγχέαντες, ὡς ἐβούλοντο. τί οὖν ὅταν αὐτὸς λέγῃ, κατὰ τὸ δυαγγέλιόν μου, καὶ τὸ κήρυγμα ἰησοῦ χριστοῦ. ὅτι μὲν οὖν πολλοῦ γέλωτος τὰ εἰρημένα παρ' αὐτῶν. πλὴν κἂν καταγέλαστα ᾖ, ἀναγκαῖον διελέγχειν αὐτὰ διὰ τοὺς δυκόλως ἀπατωμένους. τί οὖν ἐροῦμεν; ὅτι κἂν μυρίοι γράφωσιν δυαγγέλια, τὰ δὲ αὐτὰ γράφωσιν, ἕνεστι τὰ πολλὰ, καὶ οὐδὲν ἀπὸ τοῦ τῶν γραφόντων πλήθους εἰς τὸ ἓν εἶναι, παραβλαβήσεται. ὥσπερ οὖν κἂν εἷς ᾖ πάλιν ὁ γράφων, καὶ ἐναντία λέγῃ, οὐκ ἔστιν ἓν τὰ γραφόμενα. τὸ γὰρ ἓν, καὶ οὐχ ἓν, οὐ τῷ τῶν γραφόντων ἀριθμῷ, ἀλλὰ τῇ ταυτότητι, καὶ ἑτερότητι τῶν λεγομένων κρίνεται. ὅθεν δηλονότι, καὶ τὰ τεσσάρων δυαγγελία, ἓν ἔστι δυαγγέλιον. ὅταν γὰρ οἱ τέσσαρες τὰ αὐτὰ λέγωσιν, οὐκ ἔστιν ἄλλο, καὶ ἄλλο διὰ τὴν τῶν προσώπων διαφοράν, ἀλλ' ἓν διὰ τὴν τῶν εἰρημένων συμφωνίαν. οὐδὲ γὰρ ὁ παῦλος περὶ ἀριθμοῦ λέγει νυνὶ, ἀλλὰ περὶ διαφωνίας τῶν εἰρημένων. εἰ μὲν οὖν ἄλλο τὸ ματθαίου, καὶ τὸ λουκᾶ ἕτερον κατὰ τὴν δύναμιν τῶν ἐγγεγραμμένων, καὶ τὴν τῶν δογμάτων ἀκρίβειαν, καλῶς ἐπιλαμβάνονται τοῦ λόγου. εἰ δὲ ἓν, καὶ τὸ αὐτὸ, παυσάσθωσαν ἀνοητοῦντες, καὶ ζοῦτα προσποιού-
» μενοι ἀγνοεῖν, ἃ καὶ τοῖς ἄγαν βασίν ἐστι κατάδηλα. Εἰ μήτινες εἰσὶν οἱ ταράσσοντες
» ὑμᾶς, καὶ θέλοντες ἀναστρέψαι τὸ δυαγγέλιον τοῦ χριστοῦ. Τοῦτέστιν ἕως αὖ ὑγιαίνητε τὴν νοῦν, οὐκ ἐπιγνώσεσθε ἕτερον δυαγγέλιον, ἕως αὖ ὀρθὰ βλέπητε, καὶ μὴ διεστραμμένα, τὰ μὴ ὄντα φανταζόμενοι. ὥσπερ γὰρ ὁ ὀφθαλμὸς διαταραχθεὶς ἕτερα ἀντὶ ἑτέρων ὁρᾷ, οὕτω καὶ νοῦς τῇ τῶν πονηρῶν συγχύσει θολούμενος λογισμῶν, τὸ αὐτὸ οὐκ ἔστιν πάσχειν εἰώθασι. διὰ γὰρ οὐκ ἔστιν καὶ οἱ μαινόμενοι ἕτερα ἀνθ' ἑτέρων φαντάζονται. ἀλλ' αὕτη χαλεπωτέρα ἐκείνης ἡ μανία, οὐκέν τοῖς αἰσθητοῖς, ἀλλ' ἐν τοῖς νοητοῖς τὴν βλάβην ἐργαζομένη, οὐκέν τῇ κόρῃ τῶν τοῦ σώματος ὀμμάτων, ἀλλ' ἐν τοῖς ὀφθαλμοῖς τῆς διανοίας τὴν καταφθορὰν κατασκευάζουσα, καὶ θέλοντες ἀναστρέψαι τὸ δυαγγέλιον τοῦ χριστοῦ. καὶ μὴν μίαν μόνην, ἢ δευτέραν ἐπεισῆγον ἐν τούτῳ, τὴν τῆς περιτομῆς, καὶ τὴν τῶν ἡμερῶν μόνων καινοτομοῦντες. ἀλλὰ δεικνὺς ὅτι μικρὸν παρεποίησεν τὸ ὅλον λυμαίνεται, εἴτε τὸ δυαγγέλιον ἀναστρέψεται. καθάπερ γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασιν ὁ μικρὸν τοῦ χαρακτῆρος περικόψας, ὅλον τὸ νόμισμα ἀβδηλον εἰργάσατο, οὕτως καὶ ὁ τῆς ὑγιοῦς πίστεως, καὶ τὸ βραχύταζον ἀναστρέψας, τῷ παντὶ λυμαίνεται, ὡς καὶ τὰ χείρονα

προϊὼν ἀπὸ

προϊὼν ἀπὸ τῆς ἀρχῆς. ποῦ δέ νυν εἰσὶν οἱ φιλονεικήσαντες ἡμᾶς κρίνοντες ἕνεκεν τῆς πρὸς τοὺς αἱρετικοὺς διαφόρου; ποῦ νυῦ εἰσιν οἱ λέγοντες οὐδὲν μέσον εἶναι ἡμῶν κἀκείνων, ἀλλ' ἀπὸ φιλαρχίας τὴν διαφορὰν γίνεσθαι; ἀκουέτωσαν φησὶν ὁ παῦλος, ὅτι τὸ δυαγγέλιον ἀνέτρεψαν οἱ καὶ μικρὸν καινοτομοῦντες. εἰ δὲ οὕτω, πῶς οἱ τὸν υἱὸν τοῦ θεοῦ κτίσμα λέγοντες; οὐκ ἤκουσας ὅτι καὶ ἐν τῇ παλαιᾷ ἐν σαββάτῳ ξύλα τις συλλέξας, καὶ μίαν ἐν δέλτῳ παραβάς, καὶ οὐδὲ ταύτην μεγίστην, ἐλαχίστην δέ δωκε δίκην. καὶ ὀζᾶ τὴν κιβωτὸν μέλλουσαν περιτρέπεσθαι σφείξας παραχρῆμα ἀπέθανεν, ὅτι μὴ προσηκούσης αὐτῷ διακονίας ἥψατο; εἶτα σαββάτου μὲν ἡ παράβασις, καὶ τὸ τῆς κιβωτοῦ καταπίπτουσης ἅψασθαι εἰς τοσαύτην ἦγαγε τὸν θεὸν ἀγανάκτησιν, ὥστε μὴ δὲ βραχείας τυχεῖν συγγνώμης τοὺς ταῦτα τολμήσαντας. ὁ δὲ δόγματα φεικτά, καὶ ἀπόῤῥητα λυμηνάμενος οὗτος ἀπολογίας τεύξεται, καὶ συγγνώμης; οὐκοῦν ταῦτα οὐκοῦν, ἀλλὰ καὶ αὐτὸ μὲν οὕτω τοῦτο· εἰ δὲ τὸ πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ καὶ ὑπὲρ τῶν μικρῶν ἀγανακτεῖν. διαφέρει τὰ μείζονα τῶν ἁμαρτημάτων εἰσελθεῖν, ὅτι τὰ ἐλάττονα τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως. καὶ καθάπερ ἐν τοῖς σώμασιν οἱ τῶν τραυμάτων καταφρονήσαντες, οὐρετοὺς ἕτερον, καὶ σηπεδόνας, καὶ θάνατον, οὕτω καὶ ἐπὶ τῶν ψυχῶν, οἱ τῶν μικρῶν ὑπερορῶντες, τὰ μείζονα εἰσάγουσιν. ὁ δεῖνά φησι περὶ τὴν νηστείαν σφάλλεται, καὶ οὐδὲν μέγα ἐστίν. ἕτερος τῇ πίστει μὲν ἔῤῥωται τῇ ὀρθῇ, ὑποκρινόμενος δὲ ἀεὶ τὸν καιρὸν τὴν παῤῥησίαν προέδωκεν, οὐδὲ ἔστι τι μέγα δεινόν. ἄλλος παροξυνθείς, ἢ τειλησέν ἀποφήσεσθαι τῆς ὀρθῆς πίστεως, ἀλλ' οὐδὲ ἔστιν ἄξιον τιμωρίας. ὀργὴ γὰρ ἥμαρτε φησὶ, καὶ θυμῷ. καὶ μυρία τις ἂν εὕροι τοιαῦτα καθ' ἑκάστην ἡμέραν ἁμαρτήματα ἐπεισαγόμενα ταῖς ἐκκλησίαις. διαφέρει καὶ καταγέλαστοι γεγόναμεν, καὶ Ἰουδαίοις, καὶ Ἕλλησιν, εἰς μυρία τῆς ἐκκλησίας χεομένης. εἰ γὰρ οἱ παρὰ τὴν ἀρχὴν ἀποπηδῶντες τῶν θείων δεσμῶν ἐπιχειροῦντες, καὶ μικρόν παρακινεῖν, τῆς προσηκούσης ἐτύγχανον ἐπιτιμήσεως, οὐκοῦν ὁ παρὼν ἐτέχθη λοιμὸς, καὶ τοσοῦτος χειμὼν ταῖς ἐκκλησίαις κατέλαβεν. ὅρα γοῦν ὁ παῦλος πῶς τὴν περιτομὴν ἀνατρεπτὴν τοῦ δυαγγελίου καλεῖ. νυῦ δὲ εἰσὶ πολλοὶ παρ' ἡμῖν, καὶ τὴν αὐτὴν Ἰουδαίοις νηστεύοντες ἡμέραν, καὶ σάββατα τηροῦντες ὁμοίως, καὶ φέρομεν γενναίως, μᾶλλον δὲ ταλαιπώρως. καὶ τί λέγω τὰ Ἰουδαίων; καὶ γὰρ Ἑλλήνων ἔθη πολλὰ παρεισῆλθε τῶν ἡμετέρων φυλάττεται, κλισμοὶ καὶ οἰωνισμοὶ, καὶ σύμβολα, καὶ ἡμερῶν παρατηρήσεις, καὶ ἡ περὶ τὴν γένεσιν ῥᾳστώνη, καὶ τὰ πάσης ἀσεβείας γέμοντα γραμματεῖα, ἃ πικτομένων τῶν παιδίων, δυσθέως ἅμα καὶ κακῶς τῆς ἑαυτῶν σωτηρίας κεφαλῆς, ἐκπροοιμίων παιδύοντες καταλύειν τοὺς ὑπὲρ ἀρετῆς πόνους, καὶ ὑπὸ τὴν πλανημένην ταυρανίδα τῆς ἡμαρμένης τόγε αὐτῶν ἄγοντες μέρος. εἰ δὲ τοὺς περιτεμνομένους οὐδὲν ὁ χὲ ὠφελεῖ, τοὺς τοσαῦτα ἐπισυρομένους κακὰ, τί τοσοῦτον ἡ πίστις εἰς σωτηρίαν ὠφελήσει λοιπόν; καίτοι ἡ περιτομὴ παρὰ θεοῦ δεδομένη ἦν, ἀλλ' ὅμως ἐπειδὴ ἐλυμαίνετο τὸ δυαγγελίῳ οὐκέτι καιρῷ τελουμένη, πάντα ἔπραττεν ὁ παῦλος, ὥστε αὐτὴν περικόψαι. εἶτα ὁ μὲν παῦλος ὑπὲρ ἑβδομήκοντα Ἰουδαϊκῶν τοσαύτην ἐποιεῖτο σπουδὴν, ἐπειδὴ ἀκαίρως ἐφυλάττετο, ἡμεῖς δὲ οὐδὲ τὴν Ἑλληνικὴν περικόψαιμεν συνήθειαν; καὶ ποίαν ἀπολογίαν ἕξομεν; διατοῦτα ἐν παραχαῖς, καὶ θορύβοις νυῦ τὰ ἡμέτερα. καὶ οἱ μαθητευόμενοι φρονήματος

ἐμπλησθέντες πολλοῦ, τῷ τάξιν ἀνέτρεψαν, καὶ τὰ ἄνω κάτω γεγένηται. κἂν μικρόντις ἐγκαλέσῃ, διαῤῥήγνυσι τοὺς ἄρχοντας. Ὅτε δὴ κακῶς ἡμεῖς αὐτοὺς ἐπαιδαγωγήσαμεν, καίτοιγε εἰ καὶ μοχθηρότεροι, καὶ μυρίων ἦσαν κακῶν γέμοντες οἱ προεστῶτες, οὐδὲ οὕτως τῷ μαθητῇ θέμις ἦν παρακούειν. εἰ γὰρ περὶ τῶν ἰουδαίων διδασκάλων φησὶν, ὅτε ἐπειδὴ ἐπὶ τῆς μωϋσέως καθέδρας ἐκάθισαν, ἀκούειν δίκαιοι παρὰ τῶν μαθητευομένων ἂν εἶεν. καίτοιγε ἔργα εἶχον οὕτω πονηρὰ, ὡς τοὺς μαθητὰς κελεύσαι, μὴ ζηλοῦν, μηδὲ μιμεῖσθαι ἐκεῖνα, τίνος αὖ εἶεν συγγνώμης ἄξιοι οἱ τὰς τῆς ἐκκλησίας προέδρους τοὺς τῇ χάριτι τοῦ θεοῦ μετ' ἐπιεικείας ζῶντας διαῤῥήγνυντες; εἰ γὰρ ἀλλήλους κρίνειν, οὐ θέμις, πολλῷ μᾶλλον τοὺς διδασκάλους. Ἀλλὰ κἂν ἐγὼ, ἢ ἄγγελος ἐξ οὐρανοῦ » εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Ὅρα σωφρόνως ἀποστολικῶς. ἵνα γὰρ μή τις λέγῃ, ὅτι κενοδοξίας ἕνεκεν τὰ ἴδια συγκροτῇ δόγματα, καὶ ἑαυτὸν ἀνεθεμάτισεν. Ὅτε δὴ καὶ εἰς ἀξιώματα κατέφθασε γόνιμα, κἀγὼ ἰωάννης, διαῤῥήδην καὶ ἀγγέλων ἐμνήσθη. μὴ γάρμοι ἰάκωβον εἶπῃς φησὶ, καὶ ἰωάννην. κἂν γὰρ τῶν πρώτων ἀγγέλων ἦτις τῶν ἐξ οὐρανοῦ διαφθειρόντων τὸ κήρυγμα, ἀνάθεμα ἔστω. καὶ οὐχ ἁπλῶς εἶπεν ἐξ οὐρανοῦ, ἀλλ' Ὅτε δὴ καὶ ἱερεῖς ἄγγελοι ἐκαλοῦντο. χεῖλη γὰρ ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος κυρίου παντοκράτορός ἐστι. ἵνα μὴ τούτοις νομίσῃς ἀγγέλους λέγεσθαι νῦν, τῇ τοῦ οὐρανοῦ προσθήκῃ τὰς ἄνω δυνάμεις ἡνίξατο. καὶ οὐκ εἶπεν ἐὰν ἐναντία καταγγέλλωσιν, ἢ ἀνατρέπωσι τὰ πάντα, ἀλλὰ κἂν μικρόν τι εὐαγγελί- » ζωνται παρ' ὃ εὐηγγελισάμεθα, κἂν τὸ τυχὸν παρακινήσωσιν, ἀνάθεμα ἔστωσαν. Ὡς- » περ εἰρηκα, καὶ ἄρτι πάλιν λέγω. Ἵνα γὰρ μὴ νομίσῃς ὑμῶν τὰ ῥήματα εἶναι, ἢ ὑπερβολικῶς εἰρῆσθαι, ἢ κατὰ σωκρατικήν τινα, δεύτερον τὰ αὐτὰ πάλιν πίθησιν. ὁ μὲν γὰρ ὑμῶν προαχθεὶς εἶπεῖν, κἂν μεταγνοίη ταχέως. ὁ δὲ δεύτερον τὰ αὐτὰ λέγων, δείκνυσιν ὅτι κρίνας οὕτως εἶπε, καὶ πρότερον ἐν τῇ γνώμῃ κυρώσας, οὕτως ἐξήνεγκε τὸ λεχθέν. ὁμοῦ οὖν ἀβραὰμ ἀξιούμενος πέμψαι τὸν λάζαρον, ἔλεγεν, ἔχουσι μωσέα, καὶ τοὺς προφήτας, ἐὰν μὴ ἐκείνων ἀκούσωσιν, οὐδὲ νεκρῶν ἀνισταμένων ἀκούσωσι. ταῦτα δὲ αὐτῷ ἐναγέι λέγοντα ὁ χς, δεικνὺς ὅτι μὴ νεκρῶν ἐγειρομένων ἀξιοπιστότερα εἶναι βούλεται τὰς γραφάς, ὁ δὲ παῦλος, ὅταν δὲ παῦλον εἴπω τὸν χν πάλιν λέγω, αὐτὸς γὰρ ἴσως ὁ κινῶν αὐτῶν τὴν ψυχὴν, καὶ ἀγγέλων ἐξ οὐρανοῦ καταβαινόντων αὐτὰς προτίθησι, καὶ μάλα εἰκότως. οἱ γὰρ ἄγγελοι, κἂν μεγάλοι, ἀλλὰ δοῦλοι, καὶ λειτουργοὶ τυγχάνουσιν ὄντες. αἱ δὲ γραφαὶ πᾶσαι, οὐ παρὰ δούλων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων θεοῦ δεσπότου γραφεῖσαι ἐτέμφθησαν. διατοῦτό φησιν. ἐὰν ὑμᾶς εὐαγγελίσηται παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν. καὶ οὐκεῖπεν ὁ δεῖνα, ἢ ὁ δεῖνα, σωφρόνως σφόδρα, καὶ ἀνεπαχθῶς. τί γὰρ ἔδει λοιπὸν ὀνομάτων μνησθῆναι τὸν τοσαύτῃ χρησάμενον ὑπερβολῇ, ὡς καὶ ἅπαντας, καὶ τοὺς ἄνω, καὶ τοὺς κάτω περιλαβεῖν; ἀλλὰ μὲν γὰρ τοὺς εὐαγγελιστὰς, καὶ ἀγγέλους ἀναθεματίσαι, πᾶν ἀξίωμα περιέγραψε. δὲ τὸν ἑαυτὸν, πᾶσαν οἰκειότητα, καὶ γνησιότητα. μὴ γάρμοι εἴ τις, ὅτι οἱ σωματόφυλοί σου, καὶ ἕτεροι ταῦτα λέγουσιν. οὐδὲ γὰρ ἐμαυτῷ φείδομαι τοιαῦτα κηρύττοντος. ταῦτα δὲ οὐχ ὡς ἀγνοούντων τὰ ἀποστόλων φησὶν, οὐδὲ ὡς παραβαινόντων τὸ κήρυγμα, ἄπαγε. εἴτε γὰρ ἡμεῖς, εἴτε ἐκεῖνοι φθῇ, οὕτω κηρύσσομεν, ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι ἀξίωμα προσώπων, οὐ προ-

σίεται,

» σίεται, ὅταν πρὸς ἀλήθειαν ὁ λόγος ᾖ. Ἆρα γὰρ ἀνθρώποις πείθω, ἢ τὸν θεόν, ἢ ζητῶ
» ἀνθρώποις ἀρέσκειν. εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, χριστοῦ δοῦλος οὐκ ἂν ἦμην. Εἰ γὰρ καὶ
ὑμᾶς ἢ πάντων φησὶ ταῦτα λέγων, μὴ τὸν θεὸν δύναμαι παραλογίσασθαι τὸν τὰ ἀπόρρητα
τῆς διανοίας εἰδότα; καὶ ᾧ πᾶσαμοι πρόδηλα ἀρέσκειν; εἶδες φρόνημα ἀποστο-
λικόν; εἶδες ὕψος βαγγελικόν; τὰ αὐτὰ δὲ ταῦτα, καὶ ποιμνίοις ἐπιστέλλων ἔλεγεν, οὐχ'
ὑμῖν ἀπολογούμεθα, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ πάλιν. ἐμοὶ δὲ εἰς ἐ-
λάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας. Ὅπου δὴ γὰρ μαθητὰς
διδάσκαλος ὢν ἀναγκάζεται ἀπολογεῖσθαι, ὑπομένει μὲν αὐτὸ, δυσανασχετεῖ δὲ, οὐ δι'
ἀπόνοιαν μὴ γένοιτο, ἀλλὰ διὰ τὴν βλάβην τῆς τῶν ἀπατωμένων γνώμης, καὶ τὸ μὴ
σφόδρα παρ' αὐτοῖς πιστεύεσθαι. διὸ καὶ ταῦτα εἴρηκε μονονουχὶ λέγων. μὴ γὰρ πρὸς ὑμᾶς
μοι ὁ λόγος ἐστί; μὴ γὰρ ἀνθρώποι μοι δικάζειν μέλλουσι; πρὸς τὸν θεὸν ἡμῖν ὁ λόγος ἐστὶ, καὶ
ὑπὲρ τῶν βλαβερῶν τῶν ἐκεῖ ἅπαντα πράττομεν, καὶ οὐκ ἂν εἰς τοσοῦτον ἤλθομεν ἀφιλοτι-
μίας, ὡς μέλλοντες ἀπολογεῖσθαι τῷ πάντων δεσπότῃ ὑπὲρ ὧν κηρύττομεν διαφθείρειν τὰ
δόγματα, ὥστε ὁμοῦ μὲν ἀπολογούμενος, ὁμοῦ δὲ αὐτῶν κατεξανιστάμενος, ταῦτα τέθεικε.
πρὸς γὰρ μαθητευομένους, οὐ δικάζειν τοὺς διδασκάλους, ἀλλὰ πιστεύειν προσῆκεν. Ὅπει-
δὴ δὲ ἀνεφράφη ἡ τάξις, καὶ κρίσεις καθέζεσθαι φησὶ, μάθετε ὅτι τῆς μὲν πρὸς ὑμᾶς ἀπο
λογίας, οὐ πολύς μοι λόγος. τὸ δὲ πᾶν διὰ τὸν θεὸν πράττομεν, καὶ ὥστε ἐκεῖνον περὶ δο-
γμάτων ἀπολογήσασθαι τούτων. ὁ μὲν γὰρ ἀνθρώπους θέλων πεῖσαι, πολλὰ ὑπουλα
ποιεῖ, καὶ διεφθαρμένα, καὶ ἀπάτης κέχρηται, καὶ ψεύδει, ὥστε πεῖσαι, καὶ ἑλεῖν τὴν
τῶν ἀκουόντων γνώμην. ὁ δὲ θεὸν πείθων, καὶ ἀρέσκειν ἐκείνῳ σπουδάζων, ἁπλῆς δεῖται
διανοίας, καὶ καθαρᾶς. ἀνεξαπάτητον γὰρ τὸ θεῖον. ὅθεν δηλονότι, καὶ ἡμεῖς φησιν, οὐ
φιλαρχίας ἕνεκεν, οὐδὲ ὥστε μαθητὰς ἔχειν, οὐδὲ τῆς παρ' ἡμῶν ὀφειλόμενοι δόξης ταῦτα
γράφομεν. οὐ γὰρ ἀνθρώποις ἀρέσαι ἐσπουδάκαμεν, ἀλλὰ θεῷ. εἰ γὰρ ἤθελον, ἀνθρώ-
ποις ἀρέσκειν, εἰ μὴ Ἰουδαίων ἦμεν, ἐπὶ τὴν ἐκκλησίαν ἐλίσσων. ὁ δὲ ἔθνους ὁλοκλήρου,
καὶ οἰκείων, καὶ φίλων, καὶ συγγενῶν, καὶ δόξης τοσαύτης καταφρονήσας, καὶ αὐτὰ λοι-
δορούμενος τούτων διωγμούς, καὶ ἔχθρας, καὶ πολέμους, καὶ θανάτους καθημερινούς, δῆ-
λον ὅτι καὶ ταῦτα, ἃ λέγω νῦν, οὐ τῆς τῶν ἀνθρώπων δόξης ἐφιέμενος λέγω. διὸ δὲ εἰ-
ρηκεν, Ὅπειδὴ μέλλει, καὶ τὸν πρότερον αὐτὸν διηγεῖσθαι βίον, καὶ τὴν ἀθρόαν μεταβολὴν,
καὶ δεικνύναι δι' ἐναργῶν ἀποδείξεων, ὅτι μὴ ἀληθείας μετέσχη, ἵνα μὴ νομίσωσιν, ὅτι αὐτὸς
ἀπολογούμενος ταῦτα ποιεῖ, καὶ ἐπαρθῶσι. διὰ τοῦτο προεῖπεν. ἄρτι γὰρ ἀνθρώπους πείθω.
οἱ δὲ γὰρ εἰς καιρὸν τὸν προσήκοντα πρὸς τὴν τῶν μαθητευομένων διόρθωσιν, καὶ ὑψηλὸν,
καὶ μεγάλης φθέγγεσθαι, καὶ τυγχάνει ἑτέρωθεν τὰς ἀποδείξεις ποιήσασθαι τοῦ μὴ ἀληθείας
κηρύττειν, ἀπὸ τῶν σημείων, ἀπὸ τῶν θαυμάτων, ἀπὸ τῶν κινδύνων, ἀπὸ τῶν δεσμωτη-
ρίων, ἀπὸ τοῦ λιμοῦ, καὶ τοῦ λίψους, καὶ τῆς γυμνότητος, ἀπὸ τῶν ἄλλων τῶν τοιούτων, ἀλλ'
Ὅπειδὴ οὐ πρὸς τοὺς ψευδαποστόλους, ἀλλὰ πρὸς τοὺς ἀποστόλους ὁ λόγος ἦν αὐτῷ νῦν.
ἐκεῖνοι δὲ καὶ τούτων ἦσαν κεκοινωνηκότες τῶν κινδύνων λέγω, ἑτέρωθεν μεθοδεύει τὸν λό-
γον. Ὅπεὶ ὅτε πρὸς τοὺς ψευδαποστόλους ἀπετείνατο, οὕτως προσάγει τὴν σύγκρισιν, τί ἐν
τοῖς κινδύνοις ὑπομονῶ, εἰς μέσον φέρων, καὶ λέγων. διάκονοί χῦ εἰσί; παραφρονῶν λαλῶ,

ὑπερ ἐγὼ, ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέ-
» ρως, ἐν θανάτοις πολλάκις. νυνὶ μέντοι τὴν προτέραν ἀναφέρω φωνὴν λέγει, καὶ φησί. Γνω-
» ρίζω ὑμῖν ἀδελφοὶ τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον. οὐ-
» δὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ.
Ὅρα πῶς ἄνω, καὶ κάτω δῆλον διϊχνεύεται, ὅτι τῷ Χριστῷ γέγονε μαθητὴς, οὐκ ἀνθρώπου μεσιτεύον-
τος, ἀλλ' αὐτῷ δι' ἑαυτοῦ καταξιώσαντος ἀποκαλύψαι τὴν γνῶσιν αὐτοῦ πᾶσαν, καὶ ποίαις
τοῖς ἀπιστοῦσιν ἀπόδειξις γένοιτ' ἂν τοῦ τὸν Θεὸν ἀποκαλύψαισι δι' ἑαυτοῦ, μὴ μὰ μέσου
τινὸς, τὰ ἀπόῤῥητα ἐκεῖνα μυστήρια, ἢ προτέρα ἀναφωνήσιν. οὐ γὰρ ἂν εἰ μὴ διὰ Ἰησοῦ ὁ ἐκ-
καλύπτων, οὕτως ἀθρόαν ἔσχε μεταβολήν. οἱ μὲν γὰρ ὑπὸ ἀνθρώπων διδασκόμενοι, ὅταν σφο-
δροὶ, καὶ διακαεῖς ὦσιν ἐν τοῖς ἐναντίοις, χρόνου δέονται, καὶ πολλῆς τῆς μηχανῆς πρὸς τὸ
πεισθῆναι, ὁ δὲ οὕτως ἀθρόον μεταστὰς, καὶ ἐν αὐτῇ τῇ τῆς μανίας ἀκμῇ καθαρῶς νή-
ψας, οὐδήλον ὅτι θείας τυχὼν ὄψεως, καὶ διδασκαλίας, πρὸς τὴν καθαρὰν ἐπανῆλθεν
ὑγείαν. διαῤῥήδην ἀναγκάζεται περὶ τῆς προτέρας αὐτὸν διηγήσασθαι ἀναφορᾶς, καὶ μάρ
τυρας αὐτοὺς καλεῖ τῶν γενομένων. ὅτι μὲν γὰρ κατηξίωσεν ὁ τοῦ Θεοῦ μονογενὴς υἱὸς δι' ἑαυ-
τοῦ με καλέσαι ἐκ τῶν οὐρανῶν, ὑμεῖς οὐκ ἴστε. πῶς γὰρ οἱ μὴ παρόντες, ὅτι δὲ διώκτης ἤμην,
σφόδρα ἴστε. καὶ γὰρ μέχρις ὑμῶν ἡ σφοδρότης ἡ ἐμὴ διεδόθη. καίτοι πολὺ τὸ διάστημα πα-
λαιστινῶν, καὶ γαλατῶν, ὥστε οὐκ ἂν τοσοῦτον διέβη ἡ φήμη, εἰ μὴ πολλὴ τῶν γινομένων ὑπερ
» βολὴ ἦν, καὶ πᾶσιν ἀφορίζος. διὸ καὶ φησίν. Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναφορὰν, ὅτι
» κατὰ ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν. Ὁρᾷς πῶς ἑ-
κάστου μετὰ ἐπιτάσεως πίπτει, καὶ οὐκ αἰσχύνεται; οὐ γὰρ ἁπλῶς ἐδίωκεν, ἀλλὰ μεθ' ὑπερ
βολῆς ἀπάσης, καὶ οὐκ ἐδίωκε μόνον, ἀλλὰ μὴ ἐπόρθει, τουτέστι σβέσαι ἐπεχείρει τὴν ἐκκλη
» σίαν, καταφρέψαι, καθελεῖν, ἀφανίσαι. τοῦτο γὰρ πορθοῦντος ἔργον. Καὶ προέκοπτον
» ἐν τῷ ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου. περισσοτέρως ζηλωτὴς ὑπάρ
» χων τῶν πατρικῶν μου παραδόσεων. Ἵνα γὰρ μὴ νομίσῃς, ὅτι θυμοῦ τὰ πράγματα ἦν. δεί-
κνυσιν ὅτι ζήλῳ τὰ πάντα ἐποίει, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν, οὐκ ἀπὸ κενοδοξίας, οὐδὲ ἔχθρας ἐκ
δίκων, ἀλλὰ καὶ ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. ὁ δέ φησι, τοῦτ' ἔστιν, εἰ
τὰ κατὰ τῆς ἐκκλησίας, οὐ δι' ἀνθρώπου ἐπράττομεν, ἀλλὰ μετὰ ζήλου θείου, ἐσφαλμένου μὲν,
ζήλου δὲ ὅμως, πῶς νυνὶ ὑπὲρ τῆς ἐκκλησίας πρέχων, καὶ τὴν ἀλήθειαν ἐπιγνούς, μετὰ κενο
δοξίαν ταῦτα πράττω; εἰ γὰρ ἐν τῷ σφάλλεσθαι οὐκ ἐκράτειμεν πάντες τοιοῦτον, ἀλλ' ὁ τοῦ
Θεοῦ ζῆλος ὢν τοῦτ' ἔδειξε μεγάλῳ μέν γε, πολλῷ μέντοι, ὅτε τὴν ἀλήθειαν ἐπέγνων, πάσης ἀπηλλάχθαι
τοιαύτης δίκαιος αὖ εἶναι ὑπονοίας. ὁμοῦ τε γὰρ μετέφην πρὸς τὰ τῆς ἐκκλησίας δόγματα,
καὶ πᾶσαν ἀπεδυσάμην προλήψιν ἰουδαϊκὴν, πολλῷ πλείονα ζῆλον ἐν τούτοις ἐπιδειξά-
μενος. ὅπερ ὅτι σημεῖον τοῦ μὴ ἀληθείας μεταφῆναι, καὶ ζήλῳ κατεχόμενον θείῳ. Ἐπεὶ εἰ μὴ
τοῦτο Ἰησοῦ, τί Ἰησοῦ ἕτερον εἰώθεμι τὰ παράσπονδα ζέων γενέσθαι τοσαύτην μεταβολὴν, καὶ ὕβρεις τι-
μῆς, καὶ κινδύνους ἀνέστεως, καὶ ταλαιπωρίαν ἀδείας ἀλλάξασθαι; οὐκ ὄντιν οὐδέν, ἀλλ' ὁ
» τῆς ἀληθείας ἔρως μόνος. Ὅτε δὲ εὐδόκησεν ὁ τοῦτο ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ
» καλέσας διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίσωμαι
» αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ, καὶ αἵματι. Ὅρα τί πάντα δράζει

ἐν τούτοις

ἐν τούτῳ δεῖξαι, ὅτι καὶ τὸν χρόνον, ὃν ἐγκατελείφθη, διὰ τινα οἰκονομίαν ἀπόῤῥητον ἀφείθη. εἰ γὰρ ἐκκοιλίασε μητρὸς ἀφώνητο γενέσθαι ἀπόστολος, καὶ κληθῆναι πρὸς τὴν διακονίαν ταύτην. ἐκλήθη δὲ τότε, καὶ ἅμα κληθεὶς ὑπήκουσε; δηλονότι ὁ δι' ἀπόῤῥητον τινα αἰτίαν ἀνεβάλλετο τέως. τίς οὖν αὕτη ἡ οἰκονομία; τάχα παρ' ἐμοῦ προοίμιον ἀκούσαι κεχήνατε, τί δήποτε, οὐ μετὰ τῶν δώδεκα αὐτὸν ἐκάλεσεν, ἀλλ' ἵνα μὴ τὸ κατεωμένου τοσαύτας μακρότερον ποιήσω τὸν λόγον, παρακαλῶ καὶ ἐγὼ τὴν ὑμετέραν ἀγάπην μὴ παρὰ ἐμοῦ μανθάνειν, ἀλλὰ καὶ ἐξ ἑαυτῶν ζητεῖν, μὴ τὸν θεὸν παρακαλεῖν ἀποκαλύπτειν. μὴ ἡμῖν δὲ εἰρηταί τις ὑπὲρ τούτων λόγος, ὅτε περὶ τῆς μεταθέσεως αὐτοῦ τῆς προσηγορίας πρὸς ὑμᾶς διελεγόμεθα, καὶ τίνος ἕνεκεν σαῦλον αὐτὸν καλούμενον παῦλον ἐκάλεσεν. εἰ δὲ ἐπιλέλησθε, ἐντυχόντες ἐκείνῳ τῷ βιβλίῳ, πάντα εἴσεσθε ταῦτα. τέως δὲ τῆς ἀκολουθίας ἐχώμεθα, καὶ σκοπῶμεν πῶς πάλιν δείκνυσιν, οὐδὲν ἀνώνυμον περὶ αὐτὸν γεγενημένον, ἀλλὰ πάντα τὸν θεὸν τὰ κατ' αὐτὸν μετὰ πολλῆς οἰκονομοῦντα προνοίας, καὶ καλέσας μὲν τῆς χάριτος αὐτοῦ. ὁ μὲν θεὸς φησι μὲν τὴν ἀρετὴν αὐτοῦ κεκλικέναι αὐτόν. σκεῦος γὰρ ἐκλογῆς μοί ἐστι, πρὸς τὸν ἀναινίαν ἔλεγε, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, ζήτειν ἱκανὸς διακονῆσαι, καὶ ἔργον ἐπιδεῖξαι μέγα, καὶ ταύτην τὴν αἰτίαν τῆς κλήσεως τίθησιν. αὐτὸς δὲ παντὸς μὲν τῆς χάριτος εἶναι φησι τὸ πᾶν, μὴ τῆς φιλανθρωπίας αὐτοῦ τῆς ἀφαιρούμενος τοῦ, οὕτω λέγων. Ἀλλ' ἠλεήθην, οὐχ ὅτι ἱκανὸς ἦμην, οὐδ' ὅτι ἐπιτήδειος, ἀλλ' ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. Εἰ δὲς ταπεινοφροσύνης ὑπερβολήν; διὰ τοῦτο ἐγώφησιν ἠλεήθην, ἵνα μηδεὶς ἀπογνῷ, ὡς τῶν πάντων αὐτῶν καὶ τοῦ φιλανθρωπεύσασθαι πολελαυκότος. διὰ τοῦτο γὰρ δηλοῖ ἐν τῷ εἰπεῖν, ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ, ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί. ἀλλαχοῦ δέφησιν ὁ χς, οὐδεὶς γινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, μὴ οὐδεὶς γνώσκει τὸν πρα εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι. εἶδες ὅτι καὶ ὁ πατὴρ υἱόν, καὶ ὁ υἱὸς πρα ἀποκαλύπτει; οὕτως καὶ ἐνταῦθα τῆς δόξης, καὶ ὁ υἱὸς δοξάζει πρα, καὶ ὁ πατὴρ υἱόν. δόξασόν με φῆ, ἵνα δοξάσωσε, μὴ καθώσε ἐγὼ ἐδόξασα. διατὶ δὲ μὴ εἶπεν ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐμοί, ἀλλ' ἐν ἐμοί; δεικνὺς ὅτι οὐ μόνον ῥημάτων μόνον ἤκουσε τὰ περὶ τῆς πίστεως, ἀλλὰ καὶ πολλοῦ πνς ἐπληρώθη, τῆς ἀποκαλύψεως καταλαμπούσης αὐτοῦ τὴν ψυχήν, μὴ τὸν χν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα, ἵνα διαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν. οὐ γὰρ τὸ πιστεῦσαι μόνον, ἀλλὰ καὶ τὸ χειροτονηθῆναι αὐτὸν παρὰ θυ γέγονεν. οὕτως γάρμοι αὐτὸν ἀπεκάλυψεν, οὐχ ἵνα ἴδω μόνον αὐτὸν, ἀλλ' ἵνα μὴ εἰς ἄλλους ἐξενέγκω. καὶ οὐκεῖθεν ἄλλους ἁπλῶς, ἀλλ' ἵνα διαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν. ἐντεῦθεν ἤδη προαναπηδούμενος, οὐ μικρὸν τῆς ἀπολογίας κεφάλαιον, ἀπὸ τῶν μαθητῶν προσώπου. οὐ γὰρ ὁμοίως ἰουδαίοις, καὶ τοῖς ἔθνεσι κηρύττειν ἀναγκαῖον ἦν. οὐ θεὸς οὐ προσανεθέμην σαρκὶ, καὶ αἵματι. τοὺς ἀποστόλους ἐνταῦθα αἰνίττεται, ἀπὸ τῆς φύσεως αὐτοὺς καλῶν. εἰ δὲ μὴ πᾶσι τοῦτο ἔδοξε φῆ, οὐδὲ ἡμεῖς ἀντερούμεν. Οὐδὲ ἀνῆλθον εἰς ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους. Ταῦτα εἰ μὲν ἦς αὐτὰ καθ' ἑαυτὰ ἐξέτασεις τὰ ῥήματα, δοκεῖ πολλῆς μεγαλη ορείας γέμειν, καὶ πόῤῥω τοῦ φρονήματος εἶναι τοῦ ἀποστολικοῦ. τῷ γὰρ ἑαυτῷ ψηφίζεσθαι, μὴ μηδένα λαμβάνειν κοινωνὸν τῆς γνώμης, ἀνοίας

εἶναι δοκεῖ. εἶδον γάρ φησιν αὐτῷ ἄνθρωπον φρόνιμον δόξαντα εἶναι παρ' ἑαυτῷ. ἐλπίδα δὲ ἔχει μᾶλλον αὐτὸ ὁ ἄφρων, καὶ οὐκ οἱ σωφρονοῦντες παρ' ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιτήμονες. μὴ οὖν πάλιν, μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. οὐκοῦν οὕτω ὁ τοσαῦτα παρ' ἑτέρων ἀκούσας, καὶ αὐτὸς τὰ αὐτὰ παραινῶν ἑτέροις, τούτοις περιέπεσεν, οὐχ ὅτι παῦλος, ἀλλ' οὐδὲ ὁ τυχὼν ἄνθρωπος, ἀλλ' ὁ περὶ ἐμοῦ γυμνὴ μὲν αὕτη ἐξεταζομένη ῥῆσις, καὶ ὑφορμεῖν, καὶ προσίστασθαι δύναται τισὶ τῶν ἀκροατῶν. οὗ δὲ τὴν αἰτίαν προδιῶμεν δι' ἣν ταῦτα ἐλέγετο, καὶ κροτήσουσι, καὶ θαυμάσονται πάντες τὴν εἰρημένα. ἐγὼ τοίνυν ποιῶμεν. οὐδὲ γὰρ δεῖ τὰ ῥήματα γυμνὰ ἐξετάζειν. ὅπου πολλὰ ἔφυγε τὰ ἁμαρτήματα, οὐδὲ τῷ λέξιν καθαρὰν ἑαυτὴν βασανίζειν, ἀλλὰ τῇ διανοίᾳ προσέχειν τὸν γράφοντες. καὶ γὰρ ἐν ταῖς ἡμετέραις λέξεσιν, οὐ μὴν τούτῳ ὦμεν κεχρημένοι τῷ τρόπῳ, καὶ τὴν γνώμην ἐξετάζωμεν τὸ λεγόντος, πολλαχοῦ νουθετησόμεθα τὰς ἀπεχθείας, καὶ πάντα ἀναστρατήσεται. καὶ τί δεῖ λέγειν τῶν ῥημάτων, ὅπου καὶ τῶν πραγμάτων οὐ μήτις τὸν κανόνα ταύτην φυλάττῃ; πάντα ἄνω, καὶ κάτω γενήσεται. καὶ γὰρ καὶ ἰατροὶ, καὶ τέμνουσι, καὶ διακλῶσι τινὰ τῶν ὀστέων, καὶ λῃσταὶ ταῦτα ποιοῦσι πολλάκις. πόσης οὖν ἀθεότητος ἂν εἴη, ὅταν λῃστὴν, καὶ ἰατρὸν, μὴ δυνηθῶμεν διελεῖν. πάλιν ἀνδροφόνοι, καὶ μάρτυρες τὰς αὐτὰς ὑπομένουσιν ὀδύνας βασανιζόμενοι, ἀλλὰ πολὺ τὸ μέσον ἑκατέρων. κἂν μὴ ταύτην διατηρῶμεν τὸν κανόνα, οὐ δυνησόμεθα εἰδέναι ταῦτα, ἀλλὰ καὶ τὸν ἠλίαν ἀνδροφόνον ἐροῦμεν, καὶ τὸν σαμουὴλ, καὶ τὸν φινεές, τὸν δὲ ἀβραὰμ καὶ ὠμοδάκτονον, εἰ τὰ πράγματα μέλλοιμεν ἐξετάζειν γυμνὰ, μὴ προστιθέντες αὐτοῖς τὴν τῶν ποιούτων γνώμην. ἐξετάσωμεν τοίνυν, καὶ τοῦ παύλου τὴν διάνοιαν, ἀφ' ἧς ταῦτα ἔγραφεν, ἵνα δῶμεν αὐτῷ τὸν σκοπὸν, καὶ τίς ἦν διόλου πρὸς τοὺς ἀποστόλους, καὶ τότε εἰσόμεθα ταῦτα ἐκποίασε ἐλέγετο γνώμης. οὐ γὰρ ἐξυβτελίζων ἐκείνους, οὔτε ἑαυτὸν ἐπαινῶν, οὔτε ταῦτα εἴρηκεν, οὔτε τὰ πρότερα. πῶς γὰρ, ὅπου καὶ ἑαυτὸν ἀνέθετο μάτην; ἀλλὰ πανταχοῦ τὸ εὐαγγελίου τὴν ἀσφάλειαν διατηρῶν. ἐπειδὴ γὰρ ἔλεγον οἱ τὴν ἐκκλησίαν πορθοῦντες, ὅτι τοῖς ἀποστόλοις ἕπεσθαι δεῖ τοῖς μὴ κωλύουσι ταῦτα, οὐχὶ τῷ παύλῳ τῷ κωλύοντι. ἐντεῦθεν δὲ κατὰ μικρὸν ἡ ἰουδαϊκὴ πλανὴ εἰσήγετο, ἀναγκάζεται φῆναι πρὸς ταῦτα γενναίως, οὐ τοὺς ἀποστόλους εἰδέναι κακῶς βουλόμενος, ἀλλὰ τῶν οὐκορθῶς ἑαυτοῖς φρονόντων ἑαυτοὺς τὴν αὐθάδειαν καταφεῖλαι βουλόμενος. διὰ τοῦτο φησίν. οὐ προσανεθέμην σαρκὶ, καὶ αἵματι. καὶ γὰρ ἵνα ἀπιστίας ἐχάτισε τὸν παρὰ τὸ δοῦ μαθόντα, ἀνθρώποις ἀνατίθεσθαι λοιπόν. ὁ μὲν γὰρ παρὰ ἀνθρώπων μανθάνων, εἰκότως ἀνθρώπους λαμβάνει κοινωνοὺς πάλιν. ὁ δὲ τῆς θείας ἐκείνης, καὶ μακαρίας ἀξιωθεὶς φωνῆς, καὶ παρ' αὐτοῦ τοῦ θησαυρὸν ἔχοντος τῆς σοφίας πάντα διδαχθεὶς, τίνος ἕνεκεν λοιπὸν ἀνθρώποις ἀνετίθετο; ὁ γὰρ τοιοῦτος, οὐ μανθάνειν παρὰ ἀνθρώπων, ἀλλὰ διδάσκειν ἀνθρώπους δίκαιος ἂν εἴη. οὐ τοίνυν ἀπονοίας ἕνεκεν ταῦτα ἔλεγεν, ἀλλ' ὥστε δεῖξαι τοῦ οἰκείου κηρύγματος τὸ ἀξίωμα. οὐδὲ ἀνῆλθον φησὶ πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους. ἐπειδὴ γὰρ ἄνω, καὶ κάτω τοῦτο ἔλεγον, ὅτι πρὸ αὐτοῦ ἦσαν ἐκεῖνοι, πρὸ αὐτοῦ ἐκλήθησαν, οὐκ ἀνῆλθον πρὸς ἐκείνους φησίν. εἰ δὲ ἐχρῆν αὐτοῖς κοινώσασθαι, ὁ ἀποκαλύψας αὐτῷ τὸ κήρυγμα, καὶ τοῦτο αὐ αὐτῷ ἐπέλυσε. τί οὖν, οὐκ ἀνῆλθεν ἐκεῖ; καὶ μὴν ἀνῆλθε, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μαθησόμενός τι παρ' αὐτῶν. πότε; ὅτε ἐν τῇ

ὅτε ἐν τῇ πόλει τῶν ἁγίων χέων τὴν τὸν πολιὼ ζῆλον αὖθις ἐπιδειξαμένη ἐκκλησία γέγονε
περὶ αὐτοῦ τούτου τοῦ νεω προκειμένου, καὶ ἐζήτουν πότερον χρὴ περιτέμνειν τοὺς ἐξ ἐθνῶν
πιστεύοντας, ἢ μηδὲν τοιοῦτον αὐτοὺς ἀναγκάζειν αὐτοὺς νομίζειν, τότε ἀνέστη αὐτὸς ὁ
παῦλος, καὶ σίλας. πῶς οὖν φησιν οὐκ ἀνέστη, οὐδὲ αὐτεδέμην; ὅτι πρῶτον μὲν οὐκ αὐ-
τὸς ἀνέστη, ἀλλ' ἀποσταλὲν παρ' ἑτέρων. δεύτερον δὲ οὐ μαθησόμενος παρεγένετο, ἀλλ'
ἑτέρους πείθων. αὐτὸς μὲν γὰρ ἐξ ἀρχῆς τούτης εἶχετο τῆς γνώμης, ὡς καὶ οἱ ἀπόστολοι
μετὰ ταῦτα ἐκύρωσαν τὸ μὴ δεῖν περιτέμνεσθαι. ἐπειδὴ δὲ αὐτοῖς οὐκ ἐδόκει τέως ἀξιό πι-
στος εἶναι, ἀλλὰ τοῖς ἐν ἱεροσολύμοις προσεῖχον, ἀνέστη, οὐκ αὐτὸς πεισόμενος πλέον,
ἀλλὰ πείσων τοὺς αὐτολέγοντας, ὅπερ καὶ οἱ ἐν ἱεροσολύμοις, τούτοις ψηφίζονται. οὕτως
καὶ ἐξ ἀρχῆς τὰ δέοντα σωφρόνα, καὶ οὐδενὸς ἐδεῖτο διδασκάλου, ἀλλ' ἃ μετὰ πολ-
λῶν διάκρισιν ἔμελλον οἱ ἀπόστολοι κυροῦν, ταῦτα αὐτὸς πρὸ τῆς διακρίσεως αὐτὸς ἔ-
σχεν ἀνύποτα παρ' ἑαυτῷ. καὶ ταῦτα ὁ λουκᾶς δηλῶν, ἔλεγεν, ὅτι πολὺ, καὶ μακρὸν λό-
γον ὑπὲρ τούτων ἀπέτεινε πρὸς αὐτοὺς ὁ παῦλος, καὶ πρὶν εἰς ἱεροσόλυμα ἐλθεῖν. ἐπειδὴ
δὲ τοῖς ἀδελφοῖς ἔδοξε, καὶ περὶ ἐκείνων μαθεῖν, ἀνέστη ὑπὲρ ἐκείνων οὐχ ὑπὲρ ἑαυτοῦ.
εἰ δὲ λέγει οὐκ ἀνέστη, ἐπὶ κἀκεῖνο εἰπεῖν, ὅτι οὔτε ἐν προοιμίοις τοῦ κηρύγματος ἀνέστη,
οὔτε ἰδίᾳ ἀνέστη ἀπὸ τοῦ μαθεῖν ἀνέστη. καὶ γὰρ, καὶ ταῦτα ἀμφότερα ἐπισημαίνεται
λέγων. οὐ θεοῦ προσανεθέμην σαρκὶ, καὶ αἵματι. οὐκ εἶπεν ἁπλῶς, οὐ προσανεθέμην,
» ἀλλ' οὐ θεοῦ. εἰ δὲ μεταταῦτα ἀνέστη, οὐχ ὑπὲρ τοῦ προσλαβεῖν. Ἀλλὰ ἀ-
» πῆλθον εἰς ἀραβίαν. Ὅρα ζέουσαν ψυχὴν, τοὺς τόπους ἐσωύδαξε καταλαμ-
βάνειν τοὺς οὐδέπω γεωργηθέντας, ἀλλ' ἀγριώτερον ἔτι διακειμένους. εἰ γὰρ μετὰ τῶν
ἀποστόλων ἀνέμενεν, οὐδὲν ἔχων μανθάνειν, τὸ κήρυγμα οὐ συνεποδίσθη. ἔδει γὰρ
αὐτοὺς παντὸς τὸν λόγον διασωῶσαι, διὸ καὶ ὁ μακάριος οὗτος, καὶ ξέων τῷ
πνεύματι, τῆς διδασκαλίας θεοῦ ἤπτετο. ἀνθρώπων βαρβάρων, καὶ ἀγρίων
βίον συναγώνιον αἱρούμενος, καὶ πολὺν ἔχοντα τὸν πόνον. καὶ θέαμα τὸν ταπεινοφρο-
» σύνην. εἰπὼν γὰρ ἀπῆλθον εἰς ἀραβίαν, ἐπήγαγε. Καὶ πάλιν ἀνέβην εἰς δα-
» μασκόν. Οὐ λέγει τὰ κατορθώματα αὐτοῦ, οὐδὲ πίνακα κατέχησε, καὶ πόσους, καὶ
τοιγε ἅμα τῷ βαπτισθῆναι τοσοῦτον ἐπεδείξατο ζῆλον, ὡς συγχέειν ἰουδαίους, καὶ εἰς
τοσοῦτον ἤγαγε παροξυσμὸν, ὡς ἐφεδρεύειν, καὶ βούλεσθαι αὐτὸν ἀνελεῖν αὐτοὺς, καὶ
τοὺς ἑλληνας. ὅπερ οὐκ αὖ ἐγένετο, εἰ μὴ πολλῷ ἐποίησε τοῖς πιστεύουσι τὴν προθυ-
μίαν. ἐπειδὴ γὰρ ἥπτωντο τῆς διδασκαλίας, λοιπὸν ἐπὶ φόνον ἐτρέποντο. ὅπερ τῆς τοῦ παύ-
λου νίκης σημεῖον καθαρὸν ἦν, ἀλλ' οὐκ εἴασεν αὐτὸν ὁ θεὸς ἀποθανεῖν, πηρῶν αὐτὸν τῷ κη-
ρύγματι. ἀλλ' ὅμως οὐδένφησι τῶν κατορθωμάτων τούτων, οὕτως ἅπερ λέγει πάντα, οὐ
φιλοτιμίας ἕνεκεν λέγει, οὐδὲ ὑπὲρ τοῦ νομισθῆναι τῶν ἀποστόλων μείζων, οὐδὲ διακινούμενος τῷ
ἐξουτελίζεσθαι, ἀλλὰ δεδοικὼς μήπη γένηται τῷ κηρύγματι βλάβος ἐντεῦθεν. μὴ γὰρ ἔκτρωμα
ἑαυτὸν καλεῖ, μὴ πρῶτον τῶν ἁμαρτωλῶν, μὴ ἔσχατον τῶν ἀποστόλων, μὴ τὸ προσκυφείας τοῦ βιαί-
της ἀνάξιον, μὴ ταῦτα ἔλεγεν ὁ πλέον πάντων κοπιάσας. ὅπερ μάλιστά ἐστι ταπεινοφροσύνης. ὁ
μὲν γὰρ μηδὲν ἑαυτῷ συνειδὼς ἀγαθὸν, ταπεινὰ δὲ περὶ ἑαυτοῦ λέγων, ὑπερηφάνων, οὐ ταπεινό
φρων ἐστίν. ὁ δὲ μετρίως φρονῶν, καὶ τοιαῦτα φθεγγόμενος, ἐκεῖνός ἐστιν ὁ μετριάζειν εἰδώς. μὴ

πάλιν ὑποφρεν-ψα

πάλιν ὑπέφρεψα φησὶν εἰς ἁρπαγ-
τῆς πόλεως φησὶ ταύτης, ὅπ-
μαχόμενον σαγηνεῦσαι βον-
ἐλαύνειν αὐτὸν τοὺς ἰο-
ἐθεικεν, εἰ μὴ καὶ
ὥσπερ οὖν κ-
νόμενος.

πόν. καίτοι ποσάκις αὐτὸν ἐκεῖ ἐργάσθαι εἰκὸς ἦν. πῶς γὰρ
χασαν αὐτὴν ὁ ἐθνάρχης ἁρέτα τῷ βασιλέως ἐφύλαττε, τὸν
λόμενος. ὅπερ σημεῖον μέγιστον ἦν τῆς σφόδρα, καὶ καταπράτος
δαίους. ἀλλ' οὐδὲν τούτων ἐνταῦθα λέγει, οὐδ' αὖ ἐκεῖ αὐτὰ τότε
ο τε τὸν καιρὸν εἶδεν ἐκεῖνον ἄσασι ταῦτα τὴν ἰσορέαν, ἀλλ' ἐσίγησεν αὖ.
ν ἐνταῦθα, ὅτι ἦλθε, καὶ ἀπῆλθε λέγων, οὐκέτι προσέθηκε τὰ ἐντεῦθεν γε

Ἔπειτα μετὰ τρία ἔτη, ἀνῆλθον εἰς ἱεροσόλυμα ἱστορῆσαι Πέτρον. Τί ταύ-
τῆς τ-
κατεινοφρονέστερον γένοιτ' ἂν τῆς ψυχῆς; μετὰ τοσαῦτα, καὶ τοιαῦτα καὶ τοσαῦτα
μηδὲν παρὰ Πέτρου δεόμενος, μὴ δὲ τῆς ἐκείνου φωνῆς, ἀλλ' ἰσόζυγος ὢν αὐτῷ, πλέον γὰρ οὐδὲν
ἐρῶ τέως, ὅμως ἀνέχεται, ὡς πρὸς μείζονα, καὶ πρεσβύτερον, καὶ τῆς ἀποδημίας αὐτῷ
τῆς ἐκεῖ γίνεται αὐτίας, ἡ ἱστορία Πέτρου μόνη. ὁρᾷς πῶς τὴν προσήκουσαν αὐτοῖς ἀπονέμει
τιμήν; καὶ οὐ μόνον ἀμείνω, ἀλλ' οὐδὲ ἴσον ἑαυτὸν ἐκείνων εἶναι νομίζει; καὶ δῆλον ἐκ τῆς ἀποδη-
μίας ταύτης δῆλον. καθάπερ γὰρ νῦν πολλοὶ τῶν ἀδελφῶν τὴν ἡμετέρων πρὸς ἁγίους ἄν-
δρας ἀποδημοῦσιν, οὕτω καὶ παῦλος πρὸς Πέτρον τότε διακείμενος, ἀπῄει, μᾶλλον δὲ ἧ
πολλῷ τὰ πεινότερον. οἱ μὲν γὰρ νῦν, ὠφελείας ἕνεκεν ἀποδημοῦσιν. ὁ δὲ μακάριος τότε ἐ-
κεῖνος, οὐχ ὡς μαθησόμενός τι παρ' αὐτοῦ, οὐδὲ ὡς διορθώσιν τινα δεξόμενος, ἀλλὰ διατύ-
πωσόν μόνον, ὥστε ἰδεῖν αὐτὸν, καὶ τιμῆσαι τῇ παρουσίᾳ. ἱστορῆσαι γάρ φησι Πέτρον, καὶ οὐκ εἶπεν
Πέτρον, ἀλλ' ἱστορῆσαι Πέτρον, ὅπερ οἱ τὰς μεγάλας πόλεις, καὶ λαμπρὰς καταμανθάνο-
ντες λέγουσιν. οὕτω πολλῆς ἄξιον ἡγεῖτο τὴν ὄψιν εἶναι, καὶ τὸ μόνον ἰδεῖν τὸν ἄνδρα. δῆλον
δὲ καὶ ἀπὸ τῶν πράξεων δῆλον, ὅτε γὰρ ἦλθεν εἰς ἱεροσόλυμα πολλοὺς τῶν ἐθνῶν ἐπιφρέ-
ψας, καὶ τοσαῦτα ἐργασάμενος, ὅσα τῶν ἑτέρων οὐδείς, τὴν παμφυλίαν, τὴν λυκαονίαν,
τὸ κιλίκων ἔθνος, πάντας τοὺς κατὰ τὸ μέρος ἐκεῖνο τῆς οἰκουμένης διορθωσάμενος, καὶ τῷ
χρισῷ προσαγαγών, πρῶτον μὲν εἰσέρχεται πρὸς ἰάκωβον μετὰ πολλῆς τῆς ταπεινοφρο
σύνης, ὡς πρὸς μείζονα, καὶ τιμιώτερον. ἔπειτα συμβουλεύοντος ἀνέχεται, καὶ συμβου-
λεύοντος ἐναντία τῶν νῦν. ὁρᾷς γάρ φησιν ἀδελφὲ πόσαι μυριάδες εἰσὶν ἰουδαίων τῶν πε-
πιστευκότων; ἀλλὰ ἐξήρισαι, καὶ ἀγίωθη, καὶ ἐξυρήσατο, καὶ τὰ ἰουδαϊκὰ πάντα ἐπετέλε
σεν. ἔνθα μὲν γὰρ οὐκ ἐβλάπτετο τὸ εὐαγγέλιον, πάντων ταπεινότερος ἦν, ἔνθα δὲ ἐκ τῆς
ταπεινοφροσύνης ἐώρα τινὰς ἀδικουμένους, οὐκέτι ἐκέχρητο τούτῳ τῷ πλεονεκτήματι.
δῆλον γὰρ οὐκ ἦν λοιπὸν ταπεινοφρονεῖν, ἀλλὰ λυμαίνεσθαι, καὶ διαφθείρειν τοὺς μαθη-
» τευομένους. Καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. Τὸ μὲν οὖν δι' αὐτὸν ἀπο
δημῆσαι, τιμῆς ἦν πολλῆς. τὸ δὲ καὶ τοσαύτας ἐπιμεῖναι ἡμέρας, φιλίας καὶ σφοδροτάτης
» ἀγάπης. Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου.
Ὅρα πῶς πρὸς τὸν πέτρον μείζονα τὴν φιλίαν ἔχει. καὶ γὰρ δι' αὐτὸν ἀπεδήμησε, καὶ πρὸς
αὐτὸν ἔμεινε. ταῦτα δὲ καὶ λέγω συνεχῶς, καὶ ἀξιῶ φυλάττειν, ἵνα ὅταν ἀκούσητε, ἃ κατὰ
πέτρου δοκεῖ εἰρηκέναι, μηδεὶς ἀνοήτως λύσῃ τὸν ἀπόστολον. δεῖ γὰρ δῆλον, καὶ αὐτὸς
δῆλον πρὸς διορθούμενος, ταῦτα φησὶν, ἵνα ὅταν λέγῃ, ὅπ ἀντέστην πέτρῳ, μηδεὶς ἐ-
χθραν, καὶ φιλονεικίαν ταῦτα εἶναι νομίσῃ τὰ ῥήματα. καὶ γὰρ τιμᾷ τὸν ἄνδρα,
καὶ φιλεῖ μᾶλλον πάντων. δι' οὐδένα γὰρ τῶν ἀποστόλων ἀνελήλυθέναι φησὶν, ἀλλ' ἢ
δι' αὐτὸν

δι' αὐτὸν μόνον. ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον φησὶν, εἰ μὴ ἰάκωβον. εἶδον οὐκ ἐδιδάχθην φησὶ παρ' αὐτοῦ οὐδὲν, ἀλλ' ὁρᾶ καὶ ἐνταῦθα μετ' ὄσης τιμῆς ὠνόμασεν. οὐ γὰρ εἶπεν ἁπλῶς ἰάκωβον, ἀλλὰ καὶ τὸ συμπολόγημα προσέθηκεν. οὕτω βασκανίας ἀπασῶν ἀπηλλαγμένος ἦν. εἰ γὰρ σημῆναι οὐκ ἔλεγεν ἢ ἤθελεν, οὐδὲν ἦν καὶ ἐξ ἑτέρου γνωρίσματος ταῦτα ποιῆσαι δῆλον, καὶ εἰπεῖν ἐν τῷ κλοιῷ. ὅπερ καὶ ὁ εὐαγγελιστὴς ἔλεγεν, ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλ' ἐπειδὴ τὰ τῶν ἀποστόλων συμπολογήματα ἴδια εἶναι ἐνόμιζεν, ὡς ἑαυτὸν ἐπαινῶν, οὕτως συμπαίει κἀκεῖνον. οὐ γὰρ ἐκάλεσεν αὐτὸν, οὕτως, ὡς εἶπον, ἀλλὰ πῶς, τὸν ἀδελφὸν τοῦ κυρίου. καίτοιγε οὐδὲ κατὰ σάρκα ἀδελφὸς ἦν τοῦ κυρίου, ἀλλ' οὕτως ἐνόμιζε, ἀλλ' ὅμως, οὐδὲ οὕτως ἀπεφράφη τὸ ἀξίωμα θεῖναι τοῦ ἀνδρὸς, καὶ πολλαχόθεν δῆλον θεν δείκνυται, ὅτι δίκειτο πρὸς τοὺς ἀποστόλους πάντας οὕτως γνησίως, ὡς αὐτῷ πρέπον ἦν. Α' δὲ γράφω ὑμῖν ἰδοὺ ἐνώπιον τοῦ θεοῦ, ὅτι οὐ ψεύδομαι. Εἶδες γὰρ πάντων ὁμοίως ἐκλάμπουσαν τῆς ἁγίας ταύτης ψυχῆς τὴν ταπεινοφροσύνην; καθάπερ γὰρ ἐν δικαστηρίῳ ἀγωνιζόμενος, καὶ μέλλων δυσωπεῖν ὑπέχειν, οὕτως ἐαυτὸν ἀπελογήσατο. Εἶτα ἦλθον εἰς τὰ κλίματα τῆς συρίας, καὶ κιλικίας. Μετὰ τὸ πέτρον ἰδεῖν, πάλιν ἄρχεται τοῦ λόγου, καὶ τοῦ ἀγῶνος τοῦ προκειμένου. τῆς μὲν ἰουδαίας οὐχ ἁπτόμενος, διάτε τὸ πρὸς τὰ ἔθνη ἀποστάλθαι, καὶ γὰρ τὸ μὴ ἀνελέσθαι ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομεῖν. διόπερ οὐδὲ κατὰ φιλίαν αὐτοὺς συντυχίαν εἶδε. καὶ δῆλον ἐκ τῶν ἑξῆς δῆλον. Ἤμην γὰρ φησὶν ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς ἰουδαίας. μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτὲ νῦν εὐαγγελίζεται τὴν πίστιν, ἣν ποτε ἐπόρθει. Τί ταύτης τῆς ψυχῆς μετριώτερον γένοιτ' ἄν; ὅτε μὲν γὰρ τὰ φέροντα αὐτῷ κατηγορίαν διελέγετο. οἷον ὅτι ἐδίωκε τὴν ἐκκλησίαν, καὶ ἐπόρθει αὐτὴν, μὴ πολλῆς αὐτὰ τέθεικε τῆς ὑπερβολῆς, ἐκπομπεύων αὐτῷ τὸν βίον τὸν πρότερον. τὰ δὲ μέλλοντα αὐτὸν δεικνύναι λαμπρὸν, ταῦτα παρατρέχει, καὶ σιωπώμενος, εἴπερ ἐβούλετο κατορθώματα αὐτῷ πάντα εἰπεῖν, οὐδὲν αὐτῶν πέφηκεν, ἀλλ' ἑνὶ ῥήματι πέλαγος παρελθὼν ἄφατον, καὶ εἰπὼν, ὅτι ἦλθον εἰς τὰ κλίματα τῆς συρίας, καὶ τῆς κιλικίας, καὶ ὅτι ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτὲ νῦν εὐαγγελίζεται τὴν πίστιν ἣν ποτε ἐπόρθει, οὐδὲν πλέον προσέθηκε. τί δὲ αὐτῷ βούλεται τὸ λέγειν, ὅτι ἀγνοούμενος ἦμην ταῖς ἐκκλησίαις τῆς ἰουδαίας, ἵνα μάθῃς ὅτι τοσοῦτον ἀπεῖχε τοῦ κηρύξαι αὐτοῖς περὶ ἑαυτοῦ, ὅτι οὐδὲ ἀπὸ ὄψεως γνώριμος ἦν αὐτοῖς. καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν θεόν. σπόπει καὶ ἐνταῦθα τὸν κανόνα αὐτοῦ τῆς ταπεινοφροσύνης, πῶς αὐτὸν διατηρεῖ μὴ ἀκριβείας. οὐ γὰρ εἶπεν, ὅτι ἐθαύμαζόν με, ἐπῄνουν με, ἐξεπλήττοντο, ἀλλὰ τὸ πᾶν τῆς χάριτος ἔδειξεν ὄν. Τὸν γὰρ θεὸν ἐδόξαζον φησὶν ἐν ἐμοί. ἔπειτα δὲ μετὰ δεκατεσσάρων ἐτῶν ἀνέβην εἰς ἱεροσόλυμα μετὰ βαρνάβα συμπαραλαβὼν, καὶ τίτον. ἀνέβην δὲ κατὰ ἀποκάλυψιν. Τῆς μὲν πρώτης ἀναβάσεως τὴν αἰτίαν, πέτρον εἶναι φησὶ, καὶ ἱστορῆσαι ἐκεῖνον. τῆς δὲ δευτέρας, τὴν ἀποκάλυψιν τοῦ πνεύματος. Καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι. κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μήπως εἰς κενὸν τρέχω, ἢ ἔδραμον. Τί φῂς ὦ παῦλε ὁ παρὰ τὴν ἀρχὴν, μὴ ἑλόμενος ἀναθέσθαι, μὴ δὲ μετὰ ἔτη τρία. δεκατεσσάρων παρελθόντων ἐτῶν, τότε ἀναπτῆναι μήπως εἰς κενὸν τρέχῃς, ἢ πόσῳ βέλτιον ἦν δεῦτε ἀρξάμενον εὐθὺς ποιῆσαι, ἢ μὴ ἔτη τοσαῦτα.

σαῦτα. τί δὲ καὶ ἔτρεχες εἰ μὴ πεπεισμένος ἦς, ὅτι οὐκεῖς κενὸν ἔτρεχες, τίς οὕτως ἀνόητος, ὡς ἑτέρᾳ τοσαῦτα κηρύττειν οὐκεὶδώς, ὅτι κηρύττει καλῶς, καὶ τὸ πολὺ τούτου πάλιν ἀπορώτερον, ὅτι κατὰ ἀποκάλυψιν φησὶν ἀνελθεῖναι. ἐκεῖνο γὰρ ἀπορώτερον μὲν ὥσπερ ἔφθην εἰπών, τῷ προτέρου, ἱκανὸν δὲ καὶ ἐκείνου τὴν λῦσιν ἡμῖν παρασχεῖν. εἰ μὲν γὰρ ἀφ' ἑαυτῶν ἀνῆλθε, μάλιστα μὲν οὐδὲ ἐκεῖνο ἂν ἔχοι λόγον. οὐ γὰρ ἦν τῆς μακαρίας ἐκείνης ψυχῆς εἰς τοσαύτην αὐθάδειαν ἐμπεσεῖν. αὐτὸς γάρ φησιν ὁ λέγων, οὕτως τρέχω, ὡς οὐκ ἀδήλως, οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δαίρων, εἰ τοίνυν οὐκ ἀδήλως, πῶς λέγεις μήπως εἰς κενὸν τρέχω, ἢ ἔδραμον. ὅθεν δῆλον ὅτι εἰ καὶ χωρὶς ἀποκαλύψεως σωθῆναι, ἔπαθεν ἂν τὰ τῶν ἀνοήτων. πλὴν ἀλλ' οὐχ ὁμοίως ἄτοπον ἦν τὸ γινόμενον. ὅταν δὲ καὶ ἡ τοῦ πνεύματος αὐτὸν ἕλκη χάρις, τίς τολμήσει τοιοῦτόν τι ὑποπτεῦσαι λοιπόν; ἀλλὰ γὰρ ἔδοξε προσέθηκε, καὶ αὐτὸς τὸ κατὰ ἀποκάλυψιν, ἵνα μὴ δὲ πρὸ τῆς λύσεως τοῦ ζητήματος, κατηγωρῶς αὐτοῦ ζηνὰ ἄγνοιαν, εἰδὼς ὅτι οὐκ ἀνίσχυον ἦν τὸ γινόμενον, ἀλλὰ θεία τις οἰκονομία πολλὰ προορωμένη, καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων. τί ποτ' οὖν ἦν τὸ αἴτιον τῆς ἀποδημίας ταύτης; ὥσπερ ὅτε πρότερον ἐξαντιοχείας εἰς ἱεροσόλυμα ἀνῆλθεν, οὐ δι' ἑαυτὸν ἀνῆλθεν. αὐτὸς γὰρ ἤδει σαφῶς, ὅτι χρὴ καθαρῶς ἔχειν αὐτὸν τοῖς τοῦ χῦ δόγμασιν, ἀλλὰ τοὺς μαχομένους σωάγειν βουλόμενος. οὕτω καὶ νῦν οὐκ αὐτὸς ἐδεῖτο μαθεῖν, ὅτι οὐκεὶς κενὸν ἔτρεχεν, ἀλλ' ἵνα οἱ ἐγκαλοῦντες πληροφορηθῶσιν. ἐπεὶ δὴ μείζονα περὶ αὐτοῦ, καὶ ἰωάννου δόξαν εἶχον, καὶ διεστασίαζον αὐτοὺς ὤοντο, διὰ τοῦτον μὲν οὐδὲν περιτομῆς κηρύττειν. ἐκείνους δὲ ταύτην συγχωρεῖν, καὶ παρανόμως πράττειν αὐτὸν ὤοντο, καὶ εἰς κενὸν τρέχειν, ἀνῆλθον φησὶ, καὶ ἐκοινωσάμην αὐτοῖς τὸ εὐαγγέλιον, οὐχ ἵνα αὐτὸς πάθω, ὃ καὶ προϊὼν σαφέστερον λέγει, ἀλλ' ἵνα διδάξω τοὺς ταῦτα ὑποπτεύοντας, ὅτι οὐκεὶς κενὸν τρέχω. τὸ γὰρ πνεῦμα τὴν τοιαύτην προορώμενον φιλονεικίαν, παρεσκεύασεν αὐτὸν ἀνελθεῖν, καὶ κοινώσασθαι. διὰ τοῦτο φησὶ κατὰ ἀποκάλυψιν ἀνέβην, καὶ βαρνάβαν, καὶ τίτον ἔλαβε μάρτυρας ἐσομένους τῷ κηρύγματος, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύττω ἐν τοῖς ἔθνεσι. τουτέστι τὸ χωρὶς περιτομῆς. καθ' ὑπόκρισιν δὲ τοῖς δοκοῦσι. τί βούλεται καθ' ὑπόκρισιν, καίτοιγε ὁ δόγματα κοινὰ διορθοῦν σπουδάζων, οὐ κατ' ὑπόκρισιν, ἀλλὰ κοινῇ ταῦτα προτίθησιν, ἀλλ' οὐχ ὁ παῦλος οὕτως. οὐ γὰρ μαθεῖν, καὶ διορθῶσαι ἐβούλετο, ἀλλὰ τῶν βουλομένων ἀπατᾶν τὴν πρόφασιν ἀνελεῖν. ἐπεὶ δὴ γὰρ ἐν τοῖς ἱεροσολύμοις πάντες ἐσκανδαλίζοντο, εἴτις παραβαίη τὸν νόμον, εἴτις κωλύει χρήσασθαι τῇ περιτομῇ. διὸ καὶ ἔλεγε, θεωρεῖς ἀδελφὲ πόσαι μυριάδες εἰσὶ τῶν πεπιστευκότων; καὶ οὗτοι πάντες εἰσὶ κατηχημένοι περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. ἐπεὶ οὖν ἐσκανδαλίζοντο, παῤῥησίᾳ μὲν παρελθεῖν, καὶ τὸ κήρυγμα ἀποκαλύψαι τὸ ἑαυτοῦ, οὐκ ἠβουλήθη. καθ' ὑπόκρισιν δὲ τοῖς δοκοῦσιν αὐτὸν ἔτεμε τὸν βαρνάβαν, καὶ τίτον, ἵνα οὗτοι μάρτυρες ἀξιόπιστοι γένωνται πρὸς τοὺς ἐγκαλοῦντας, ὃ οὐδὲ τοῖς ἀποστόλοις ἔδοξεν ἐναντίον εἶναι, ἀλλὰ βεβαιοῦσι τὸ κήρυγμα τὸ τοιοῦτον. ὅταν δὲ λέγῃ τοῖς δοκοῦσιν, οὐκ ἀναιρῶν τὸ εἶναι αὐτοὺς μεγάλους ἁπλῶς λέγει. ἐπεὶ καὶ περὶ ἑαυτοῦ φησι. δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν. ὅπερ ἦν μετὰ αἰζου τοῦς οὐκ ἀναιρούμενος τὸ ἔχον, οὕτω καὶ ἐνταῦθα τοῖς δοκοῦσι φησί. μετὰ τῆς ἑαυτοῦ, καὶ τῆς κοινῆς ἁπάντων λέγων φωνῆς. Ἀλλ' οὐδὲ τίτος ὁ σὺν ἐμοὶ ἕλλην ὤν, ἠναγκάσθη περιτμηθῆναι.

» ειτμὴ θῆναι. Τί ὄφελος ἔλλω ὢν; ἐξελλιώων λῶφησι, καὶ ἀκριβύστος. οὐ μόνον γὰρ ἐγὼ
οὕτως ἐκήρυττον, ἀλλὰ καὶ πᾶς οὕτως ἔπραττε, καὶ ἀκριβύστον ὄντα, οὐκ ἠνάγκασαν περ
ειτμὴ θῆναι οἱ ἀπόστολοι, ὅπερ ἀπόδειξις ἦν μεγίστη, τὸ μὴ κατα γινώσκειν τοῦτο τὸ παύ-
λου λεγομένων, ἢ πραττομένων. καὶ τὸ πολλῷ τούτου μεῖζον, ὅτι οὐδὲ ἐπικειμένων τῶν ἐ-
ναντιουμένων, καὶ ταῦτα εἰδότων, ἠναγκάσθησαν οἱ ἀπόστολοι τοῦτο κελεῦσαι. ὅπερ οὖν
» καὶ αὐτὸ δηλῶν, ἔλεγε. Διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους. Τίνες εἰσὶν οὗ-
τοι οἱ ψευδάδελφοι; καὶ γὰρ οὐ μικρὸν ἐν ταῦθα ζήτημα. εἰ γὰρ οἱ ἀπόστολοι συνεχώρουν
ἐν ταῦθα περιτέμνεσθαι, διατί νῦν ψευδαδέλφους καλεῖς τοὺς κατὰ τὴν τῶν ἀποστόλων
γνώμην, καὶ αὐτοὺς κελεύοντας τοῦτο ποιεῖν; πρῶτον μὲν οὐκ ὄβδι ταυτὸν κελεύειν γίνεσθαι,
καὶ γινόμενον συγχωρεῖν. ὁ μὲν γὰρ προστάττων, μετὰ αὐτουδίας, ὡς ἀναγκαῖον, καὶ προη-
γούμενον ποιεῖ, ὁ δὲ αὐτὸς μὲν μὴ κελεύων τὸν δὲ βουλόμενον, μὴ κωλύων, οὐχ ὡς δέον γε
νέσθαι συγχωρεῖ, ἀλλ' οἰκονομίαν τινὰ πληρῶν, οἷόν τι λέγω. κοινὰ τοῖς ἔθνεσιν ἔγραφεν ὁ παῦλος,
καὶ πάλιν τοῦτο τὸ αὐτὸ συνέρχεσθαι γυναιξὶ, καὶ ἀνδράσι διακελευόμενος. εἶτα ἵνα μὴ νο
μίσῃς, ὅτι νομοθετῶν αὐτοῖς ταῦτα ἔλεγεν, ἐπήγαγε. ταῦτα δὲ λέγω κατὰ συγγνώμην, οὐ
κατ' ἐπιταγήν. οὐ γὰρ τῆς αὐτῆς αὐθεντίας κρίσις ἐστὶ προτρεπομένη, ἀλλὰ τῆς ἐκείνων ἀ-
νδρασίας συγγνώμη, φησί. διὰ τὴν ἀνδρασίαν ὑμῶν. εἰ γὰρ τὴν παύλου γνώμην θέλεις
μαθεῖν, ἄκουσον τί φησι. θέλω πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ. οὕ-
τω καὶ ἐν ταῦθα, οἱ μὲν ἀπόστολοι, οὐχ ὡς νόμον ἐκδιηγούμενοι συνεχώρουν, ἀλλὰ τῇ ἀ-
σθενείᾳ τῇ ἰουδαϊκῇ συγκαταβαίνοντες. εἰ γὰρ νόμον ἐξεδίηγουν, οὐκ ἂν ἰουδαίοις μὲν οὕ-
τως ἔθνεσι δὲ ἑτέρως ἐκήρυξαν. καὶ γὰρ εἰ ταυτὸ τῶν ἀπίστων τὸ πρᾶγμα γενέσθαι ἀναγκαῖον
ἦν, καὶ ταυτὸ πάντων, δῆλον, ὅτι τῶν πιστῶν. εἰ δὲ τοῖς ἔθνεσιν ἐνομοθέτουν, μὴ παρε-
νοχλεῖν, τούτων ἕνεκεν ἔδειξαν, ὅτι καὶ ἰουδαίοις συγκαταβαίνοντες ἐστέρξεπον. οἱ δὲ ψευ
δάδελφοι, οὐχ οὕτως ἀλλ' ὥστε τῆς χάριτος αὐτοὺς ἐκβαλεῖν, καὶ πάλιν ταυτὸ τὸν τῆς
δουλείας ζυγὸν ἀγαγεῖν. πρώτη μὲν οὖν αὕτη ἡ διαφορὰ, πολὺ τὸ μέσον ἔχουσα. δευτέ-
ρα δὲ ὅτι οἱ μὲν ἀπόστολοι ἐν ἰουδαίᾳ ὄβδι ἐποίουν, ἔνθα καὶ ὁ νόμος ἐκράτει, οἱ δὲ ψευ
δάδελφοι παντάχου. καὶ γὰρ γαλατῶν ἥπτοντο πάντων, ὅθεν δῆλον ὅτι, οὐχὶ οἰκοδομῆς
ἕνεκεν τὸ πρᾶγμα ἐγίνετο, ἀλλὰ κατα φθορᾶς ὁλοκλήρου. καὶ ἑτέρως μὲν παρὰ τῶν ἀπο-
» στόλων συνεχωρεῖτο, ἑτέρως δὲ παρὰ τῶν ψευδαδέλφων ἐσπουδάζετο. Οἵτινες πα-
» ρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν χριστῷ ἰησοῦ. Ὁρᾷς
πῶς καὶ τῇ τῶν κατασκόπων προσηγορίᾳ ἐδήλωσε τὸν πόλεμον ἐκείνων; οἱ γὰρ κατάσκο-
ποι δ' οὐδὲν εἰσέρχονται, ἀλλ' ἵνα καταμαθόντες τὰ τῶν ἐναντίων πρὸς τὸ πορθῆσαι, καὶ
καθελεῖν, πολλῷ ἑαυτοῖς κατασκευάσωσι τὴν δυκολίαν. καθάπερ καὶ οὗτοι τότε ἐ-
ποίουν, ταυτὸ τὴν δουλείαν αὐτοὺς τὴν παλαιὰν εἰσαγαγεῖν βουλόμενοι. ὥστε καὶ ἐντεῦ-
θεν δῆλον ὅτι οὐχ ἡ αὐτὴ προαίρεσις τῶν ἀποστόλων, καὶ τούτων, ἀλλὰ καὶ σφόδρα ἐ-
ναντία. ἐκεῖνοι μὲν γὰρ συνεχώρουν, ἵνα κατὰ μικρὸν ἐξαγάγωσι τῆς δουλείας. οὗ-
τοι δὲ κατεσκεύαζον, ἵνα μειζόνως ταυτοβάλωσι τῇ δουλείᾳ. διὸ παρετήρουν περισκο-
ποῦντες ἀκριβῶς, καὶ περιεργαζόμενοί τινες ἀκρόβυστοι, καθὼς καὶ παῦλος ὄβδι
δηλῶν, ἔλεγε. παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν. οὐ τῷ τῶν κατα-

σκόπων

σκόπων ὀνόματι μόνον, ἀλλὰ καὶ τῷ πρώτῳ τῆς λαθραίας εἰσόδου, καὶ παρεισδύσεως
» τῆς ἐπιβουλῆς αὐτῶν ἐνδεικνύμενος. Οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ.
Ὅρα λέξεως δύναμιν, καὶ ἐμφασιν. οὐ γὰρ εἶπε τῷ λόγῳ, ἀλλὰ τῇ ὑποταγῇ. οὐ γὰρ ἵ-
να τι διδάξωσι χρήσιμον ταῦτα ἢ τοιοῦτον, ἀλλ' ἵνα ὑποτάξωσι, καὶ δουλώσωνται. διὰ δὲ
» τοῦτο μὲν ἀποστόλοις εἴξαμεν, τούτοις δὲ οὐκέτι. Ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμεί-
» νῃ πρὸς ὑμᾶς. Ἵν' ὅπερ ἔφθημεν φησὶν εἰπόντες, δεῖξαι ἀπὸ τῶν ἔργων βεβαιώσωμεν, ὅτι
τὰ ἀρχαῖα παρῆλθε, καὶ γέγονε καινὰ τὰ πάντα, καὶ ὅτι εἴτις ἐν χριστῷ καινὴ κτίσις, καὶ
ὅτι τοὺς περιτεμνομένους οὐδὲν ὠφελήσει, ταύτην τὴν ἀλήθειαν βεβαιοῦντες, οὐδὲ
πρὸς ὥραν εἴξαμεν. εἶτα ἐπειδὴ δύσκολον ἀντέπιπτεν αὐτῷ τὰ παρὰ τῶν ἀποστόλων, καὶ
εἰκὸς ἦν τινα λέγειν, πῶς οὖν ταῦτα ἐκεῖνοι προστάττουσιν; ὅρα πῶς λύει σοφῶς τὴν ἐν-
πήθειαν. οὐ γὰρ λέγει τὴν οὖσαν αἰτίαν, οἷον ὅτι συγκαταβάσεως ἕνεκεν, καὶ οἰκονομίας τοῦ-
το ἐποίουν οἱ ἀπόστολοι, ἦ γὰρ ἂν ἐβλάβησαν οἱ ἀκούοντες. δεῖ γὰρ τῆς οἰκονομίας ἀγνοεῖν
τὴν διάνοιαν τοὺς μέλλοντάς τι καρπώσασθαι παρ' αὐτῆς χρήσιμον. εἰ γὰρ φανείη τῶν γινομέ-
νων ἡ πρόφασις, τὸ πᾶν οἰχήσεται. διὰ τοῦτο τὸν μὲν ἐργαζόμενον αὐτὴν, εἰδέναι χρὴ τὴν
αἰτίαν τῶν γινομένων, τοὺς δὲ μέλλοντας ἃ κερδαίνειν παρ' αὐτῆς, ἀγνοεῖν. καὶ ἵνα σαφέστε-
ρον ὃ λέγω ποιήσω, ἐπ' αὐτῆ τῆς ταύτης ὑποθέσεως χρήσομαι τῷ ὑποδείγματι. οὗτος αὐτὸς ὁ
μακάριος παῦλος ὁ περιτομὴν ἀναιρεῖν μέλλων, ποτὲ τὸν τιμόθεον ἰουδαίοις πέμπων διδά-
σκαλον, περιτεμὼν αὐτὸν πρότερον, οὕτως ἔπεμψεν. ἐποίησε δὲ τοῦτο, ἵνα δι' παράδεκτος
γένηται τοῖς ἀκροαταῖς, καὶ εἰσῆλθε μὴ τῆς περιτομῆς, ἵνα καταλύσῃ τὴν περιτομὴν,
ἀλλὰ τὴν αἰτίαν, αὐτὸς μὲν ἠπίστατο, καὶ τιμόθεος. τοῖς δὲ μαθηταῖς οὐκ εἶπεν. εἰ γὰρ
ἔγνωσαν, ὅτι διὰ τοῦτο περιέτεμεν, ἵνα λύσῃ τὴν περιτομὴν, οὐδ' ἂν τὴν ἀρχὴν ἤκουσαν
αὐτοῦ δημηγοροῦντος, καὶ τὸ πᾶν ἂν διερρύη κέρδος. νῦν δὲ ἡ ἀγνοια τὰ μέγιστα αὐτοὺς
ὠφέλησε. νομίζοντες γὰρ αὐτὸν, ὡς νομοφύλακα τοῦτο ποιεῖν, καὶ δι' μενῶς ἐδέξαντο, καὶ
προσηνῶς, καὶ αὐτὸν, καὶ τὴν ἐκείνου διδασκαλίαν. δεξάμενοι δὲ κατὰ μικρὸν, καὶ πα-
δευθέντες, ἀπέφησαν τῶν παλαιῶν. ὅπερ οὐκ ἂν ἐγένετο, εἰ παρὰ τὴν ἀρχὴν τὴν αἰτίαν
ἤδεσαν. μαθόντες γὰρ ἂν αὐτὸν ἀπεστράφησαν, ἀποστραφέντες δὲ οὐκ ἂν ἤκουσαν, μὴ ἀ-
κούσαντες δὲ ἔμειναν ἂν ἐν τῇ πλάνῃ τῇ προτέρᾳ. ὅπερ ἵνα μὴ γένηται, οὐκ ἐξενέγκλη-
σε τὴν αἰτίαν. διὰ τοῦτο καὶ ἐν ταῦθα, οὐ λέγει τῆς οἰκονομίας τὴν πρόφασιν, ἀλλ' ἑτέ-
» ρως μεθοδεύει τὸν λόγον, οὕτω λέγων. Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι ὁποῖοί ποτε ἦσαν,
» οὐδέν μοι διαφέρει. πρόσωπον ἀνθρώπου, ὁ θεὸς οὐ λαμβάνει. Ἐν ταῦθα οὐ μόνον οὐκ
ἀπελογεῖται ὑπὲρ τῶν ἀποστόλων, ἀλλὰ καὶ σφόδρα βαρεῖ τοὺς ἁγίους, ἵνα ὠφελήσῃ
τοὺς ἀσθενοῦντας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, εἰ καὶ ἐπιτρέπουσιν ἐκεῖνοι περιτέμνεσθαι,
τὸν λόγον αὐτοὶ τῷ θεῷ δώσουσιν. οὐ γὰρ ἐπειδὴ μεγάλοι εἰσὶ, καὶ ἔξαρχοι, ὁ θεὸς πρό-
σωπον αὐτῶν λήψεται. ἀλλ' οὕτω μὲν σαφῶς οὐκείπε, πεφεισμένως δέ. οὐ γὰρ εἶπεν,
εἰ δὲ ἐκεῖνοι δολοῦσι τὸ κήρυγμα, καὶ παρὰ τὰ προστεταγμένα κηρύττουσι δώσουσι τὴν ἐ-
χάτην δίκην, καὶ τιμωρίαν ὑποφέρουσιν. τούτων μὲν οὐδὲν εἶπε, σεμνοτέρως δὲ
αὐτῶν δοκεῖ κατηγορῆσθαι, οὕτω λέγων. ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι ὁποῖοί πο-
τε ἦσαν. καὶ οὐκείπεν ὁποῖοί ποτε εἰσὶν, ἀλλ' ἦσαν, δεικνὺς ὅτι καὶ αὐτοὶ λοιπὸν
ἦσαν παυσάμενοι

ἦσαν παυσάμενοι τῦ οὕτως κηρύσσειν, ἅτε τῦ κηρύγματος παντα-
χοῦ διαλάμψαντος. τὸ δὲ
ὁποῖοί ποτε ἦσαν, εἰ οὕτω φησὶν ἐκήρυττον αὐτοῖ, τὸν λόγον δώσουσιν. οὐ γὰρ ἀνθρώποις,
ἀλλὰ θεῷ μέλλουσιν ἀπολογεῖσθαι. Ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς ἀμφιβάλλων, οὐδ' ὡς ἀ-
γνοῶν τὰ ἐκείνων, ἀλλ' ὅπερ ἔφθην εἰπών, οὕτω συμφέρειν νομίζων μεθ' ἡδονῆς ἀκοῦσαι τὸν λόγον.
εἶτα ἵνα μὴ δόξῃ ὡς πλὴν ἐναντία ἔχων τάξιν κατηγορεῖν αὐτῶν, καὶ ἀπὸ τούτου κατα-
σκευάσῃ μάχης ὑπόνοιαν, ἐπήγαγεν οὐδέπω πλὴν διορθώσιν, εἰπών. Ὅτι ἐμοὶ οἱ δο-
κοῦντες, οὐδὲν προσανέθεντο. Τί δέ ἐστιν; ἃ μὲν ἡμεῖς λέγετε φησὶν, οὐκ οἶδα, ἐ-
κεῖνο μέντοι οἶδα σαφῶς, ὅτι ἐμοὶ οὐκ ἀνωφελῶς ἀνεβλήθησαν, ἀλλὰ καὶ συνέπνευσαν, καὶ συνε-
φώνησαν. τὰ γὰρ δεξιὰ ἔδωκαν, ταῦτα ἐγὼ δηλονότι, ἀλλὰ τέως, οὐ λέγει Παῦλος, ἀλ-
λ' ὅτι οὐκ ἐδίδαξαν, οὐ διώρθωσαν, οὐ πλέον τί προσέθηκαν ὧν ἤδειν. ἐμοὶ γὰρ οἱ δοκοῦ-
ντες φησὶν, οὐδὲν προσανέθεντο, τουτέστι μαθόντες τὰ ἐμά, οὐδὲν προσέθηκαν, οὐδὲν διώρ-
θωσαν, καὶ ταῦτα εἰδότες, ὅτι διαβλῆτε παρεγενόμην, ὥστε αὐτοῖς κοινώσασθαι. Καὶ
πίστιν ἀκηράδυτον εἶχον μεθ' ἑαυτοῦ, οὔτε ἐμοί τι πλέον εἶπον ὧν ἤδειν, οὔτε ἐκεῖνον περιέτε-
μον, ἀλλὰ τοὐναντίον. Τί δέ τοὐναντίον; τινὲς μέν φασι Παῦλον αὐτὸν λέγειν, ὅτι οὐ μό-
νον αὐτὸν οὐκ ἐδίδαξαν, ἀλλὰ καὶ ἐδιδάχθησαν παρ' αὐτοῦ. ἐγὼ δὲ οὐκ ἂν εἰ ποιμὶ Παῦλος.
τί γὰρ ἔμελλον παρ' αὐτοῦ μανθάνειν πλέον; καὶ γὰρ ἕκαστος αὐτῶν ἀπηρτισμένος ἦν.
οὐ τοίνυν Παῦλος βούλεται εἰπεῖν τοὐναντίον λέγων, ἀλλ' ὅτι μόνον οὐκ ἐπέτιμησαν, ἀλλὰ
καὶ τοσοῦτον ἀπέσχον τοῦ μέμφεσθαι, ὅτι καὶ ἐπήνεσαν. τὸ γὰρ ἐναντίον τοῦ μέμφεσθαι, τὸ
ἐπαινέσαι. εἶτα ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἀντιποιεῖσθαί τινας εἰ ἐπήνεσαν, πῶς οὖν πλὴν περιτομὴν,
οὐκ ἀνεῖλον; εἰ γὰρ ἐπῄνεσαν ἐκ χειρῶν ἀνελεῖν, εἰπεῖν μὲν ὅτι ἀνεῖλον, λίαν ἀναισχυντον
εἶναι ἐνόμιζε, καὶ πρὸς τὰ ὡμολογημένα φανερὰν μάχην εἰσάγειν. πάλιν ὁμολογοῦντας
πλὴν τῆς περιτομῆς συγχώρησιν, εἰς ἑτέραν ἀντίθεσιν ἐμπεσεῖν ἀναγκαῖον οὖσαν ἑώρα. εἰ γὰρ
ἐπῄνεσαν τὸ κήρυγμα τὸ σύνφυσι, καὶ αὐτοὶ πάλιν ἐπέτρεπον περιτομήν, ἑαυτοῖς ἐμάχοντο.
τίς οὖν ἡ τούτου λῦσις, οὖν εἰπεῖν ὅτι συγκαταβάσεως ἰουδαϊκῆς ἕνεκεν ταῦτα ἐποίουν, ἀλ-
λὰ Παῦλος εἰπών, ὅλον τῆς οἰκονομίας τὸν θεμέλιον διεσάλευσαν αὖ. διαβλῆτε μὲν οὐ λέγει,
ἀφίησι δὲ αὐτὸ ἐν ἀποσιωπήσει, καὶ μετεώρῳ εἰπών. ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, οὐδέν
μοι διαφέρει. ὡς αὖ εἰ ἔλεγεν, οὐ κατηγορῶ, οὐδὲ διαβάλλω τοὺς ἁγίους ἐκείνους. ἴσασιν
αὐτοὶ τί ἔπραττον. καὶ γὰρ τῷ θεῷ μέλλουσιν ἀποδιδόναι λόγον. τὸ δὲ ἀσυνδιαζόμενον ἐμοὶ
δεῖξαι, ὅτι τὰ ἐμὰ οὐ κατεῖλον, οὐδὲ διώρθωσαν, οὐδὲ προσέθηκαν, ὡς ἐνδεῶς ἔχοισιν
αὐτοῖς, ἀλλὰ καὶ ἐπῄνεσαν, καὶ συνῄνεσαν, καὶ τούτων μάρτυρας ἔχω, καὶ πίστον, καὶ βαρ-
» ναβᾶν. διόπερ ἐπάγει λέγων. Ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας
» καθὼς πέτρος τῆς περιτομῆς, δεξιὰς ἔδωκαν ἐμοὶ, καὶ βαρνάβᾳ κοινωνίας. Περιτο-
μὴν μὲν ἀκροβυστίαν, οὐ τὰ πράγματα λέγων αὐτά, ἀλλὰ τὰ ἀπὸ τούτων γνωριζόμενα ἔθνη.
» ἐπήγαγε γοῦν. Ὁ γὰρ ἐνεργήσας πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε, καὶ ἐμοὶ
» εἰς τὰ ἔθνη. Ὡς περ οὖν τὴν ἀκροβυστίαν τὰ ἔθνη καλεῖ, οὕτω μὴ περιτομὴν, ἰουδαίους. μὴ
δείκνυσιν αὐτοῖς ὁμότιμον ὄντας λοιπὸν, μὴ οὐ τοῖς ἄλλοις ἑαυτὸν, ἀλλὰ τῷ κορυφαίῳ συγκεί-
νει, δεικνὺς ὅτι τῆς αὐτῆς ἕκαστος ἀπέλαυσεν ἀξίας. ἐπειδὴ γὰρ ἡ περὶ τῆς ὁμονοίας αὐτῶν

κατεσκεύασεν

κατεσκεύασεν ἀπόδειξιν, παῤῥησίασαι διαλέγεται. καὶ οὐκέτι ἵσταται μέχρι τῶν ἀποστόλων μόνων, ἀλλ' ἕως τοῦ νῦν τὸν χριστὸν ἀνάγει τὸν λόγον, καὶ τὴν ὑπ' ἐκείνου
» χάριν δοθεῖσαν αὐτῷ, καὶ μάρτυρας τούτων τοὺς ἀποστόλους καλεῖ, καὶ φησίν. Ὅτι
» γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι Ἰάκωβος, καὶ Κηφᾶς, καὶ Ἰωάννης.
Καὶ οὐκεῖπεν, ὅτι ἀκούσαντες, ἀλλὰ γνόντες, τουτέστι καταμαθόντες, δι' αὐτῶν τῶν πραγμάτων, δεξιὰς ἔδωκαν ἐμοὶ, καὶ βαρνάβᾳ κοινωνίας. εἶδες πῶς κατὰ μικρὸν ἔδειξε, καὶ τῷ χριστῷ οὐχὶ δοκῶ, καὶ τοῖς ἀποστόλοις; οὐδὲ γὰρ αὐ ἐδόθη, οὐδὲ ἐνήργησεν ἡ χάρις, εἰ μὴ δοκῶ αὐτῷ τὸ τοιοῦτον κήρυγμα ἔχειν. καὶ ὅπου μὲν συγκεῖναι ἑαυτὸν ἔδει, πέτρου μέμνηται μόνου, ὅπου δὲ μαρτυρίαν καλέσαι, τῶν τριῶν ὁμοῦ, καὶ μετ' ἐγκωμίου, Κηφᾶ λέγων, καὶ Ἰάκωβος, καὶ Ἰωάννης οἱ δοκοῦντες στῦλοι εἶναι. καὶ πάλιν οὐ τὸ εἶναι ἀναιρῶν, τοὺς δοκοῦντας φησὶν, ἀλλὰ καὶ τὴν τῶν ἄλλων παραλαμβανόντων γνώμην, καὶ λέγων. ὅτι οἱ μεγάλοι, καὶ ἐξαίρετοι, καὶ οὓς πάντες πανταχοῦ περιφέρουσιν, οὗτοι μάρτυρές εἰσι τῶν λεγομένων, ὅτι καὶ τῷ χριστῷ ταῦτα δοκεῖ, καὶ ἀφ' ὧν πραγμάτων ταῦτα ἔμαθον, καὶ δι' αὐτῆς τῆς πείρας ἐπιστώθησαν. διὸ καὶ δεξιὰς ἔδωκαν ἐμοὶ,
» καὶ οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ τῷ βαρνάβᾳ. Ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς
» τὴν περιτομήν. Ὡς συνέσεως ὑπερβολὴ, καὶ συμφωνίας ἀποδείξεις ἀναντῤῥήτους. δείκνυσι γὰρ καὶ τὰ ἐκείνων αὐτοὺς, καὶ τὰ αὐτὰ ἐκείνων. ταῦτα γὰρ ἑκατέροις ἐδόκει, καὶ ἐκείνους Ἰουδαίοις κηρύττειν οὕτως, καὶ ἔδοξεν τοῖς ἔθνεσι, διὸ καὶ ἐπήγαγεν, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. ὁρᾷς πῶς περιτομὴν οὐ ζητοῦντα οὐχὶ τὸ πρᾶγμα καλεῖ, ἀλλὰ τοὺς Ἰουδαίους; ὅταν μὲν γὰρ αὐτὸ τὸ πρᾶγμα λέγῃ, καὶ ἀντιδιατέλλῃ, αὐτὴν τὴν ἀκροβυστίαν πίθησιν, ὡς ὅταν λέγῃ, περιτομὴ μὲν ὠφελεῖ ἐὰν νόμου πράκτης, ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονε. καὶ πάλιν. οὔτε περιτομή τί ἰσχύει, οὔτε ἀκροβυστία. ὅταν δὲ Ἰουδαίους οὕτω καλῇ, καὶ μὴ τὸ πρᾶγμα ἀλλὰ τὸν λαὸν δηλῶσαι βούληται, οὐ τὴν ἀκροβυστίαν, ἀλλὰ τὰ ἔθνη ἀντιπίθησιν. ἀντιδιατέλλονται μὲν γὰρ ἔθνεσιν Ἰουδαῖοι, περιτομὴ δὲ ἀκροβυστία, ὡς ὅταν λέγῃ, καὶ ἀνωτέρω. ὁ γὰρ ἐνεργήσας πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. καὶ ἐν ταῦτα πάλιν, ὅτι ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν, οὐ τὸ πρᾶγμα αὐτό φησιν, ἀλλὰ τὸν τῶν Ἰουδαίων λαόν, οὕτω καλεῖ, ἀντιδιατέλλων αὐτὸν τοῖς ἔ-
» θνεσι. Μόνον τῶν πτωχῶν, ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.
Τί ποτε τοῦτ' ἐστὶν ὃ φησιν; ἐν μὲν τῷ κηρύγματι φησὶ διειλόμεθα τὴν οἰκουμένην, κἀγὼ μὲν τοὺς ἐξ ἐθνῶν, ἐκεῖνοι δὲ τοὺς Ἰουδαίους ἔλαβον κατὰ τὸ τῷ θεῷ δοκοῦν, εἰς δὲ τὴν τῶν πτωχῶν ἐπιμέλειαν τῶν παρὰ Ἰουδαίοις, ἐγὼ τὰ παρ' ἐμαυτοῦ συνεισήνεγκα ἐκείνοις, εἰ δὲ πόλεμος ἦν, καὶ μάχη, οὐκ ἂν τοῦτο κατεδέξαντο ἐκεῖνοι. τίνες δέ εἰσιν οὗτοι οἱ πτωχοί; πολλοὶ τῶν Ἰουδαίων πιστεύσαντες ἐν παλαιστίνῃ, τὰ ὄντα ἀφῃρέθησαν ἅπαντα, καὶ παντοδαπῶς ἐλαύνοντο, καὶ τοῦτο δηλοῖ μὲν ἐν τῇ πρὸς ἑβραίους ἐπιστολῇ λέγων. καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. δηλοῖ δὲ θεσσαλονικεῦσι γράφων, μὴ ἀνακηρύττων τὴν ἀνδρείαν ἐκείνων. ὑμεῖς γάρ φησι μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ θεοῦ τῶν οὐ-

σῶν ἐν τῇ

σῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. καὶ μᾶλλον πάντων δείκνυσιν, ὅτι οὐχ οὕτως οἱ ἐξ ἑλλήνων πιστεύσαντες ὑπὸ τῶν μενόντων ἑλλήνων ἐπολεμοῦντο, ὡς οἱ ἀπὸ Ἰουδαίων πιστεύσαντες, ὑπὸ τῶν ὁμοφύλων ἠλαύνοντο. πρεσβύτερον γὰρ τούτων πάντων τὸ ἔθνος. διαζῶντα πολλῷ ποιοῦνται τὸν θυμόν, ὥστε πάσης αὐτοὺς ἀπολαύειν ἐπιμελείας. καὶ ῥωμαίοις ἐπιστέλλων, καὶ κορινθίοις, καὶ οὐ μόνον σιωπᾷ χρήματα, ἀλλὰ καὶ αὐτὸς αὐτὰ διακομίζει, καὶ λέγει. νυνὶ δὲ πορεύομαι εἰς ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις. καὶ γὰρ ἀναγκαίως ἠπόρουν τροφῆς. ἔδοξε οὖν, καὶ ἐν ζῶντα δηλῶν ἔλεγεν, ὅτι ἐν τούτῳ μοι βοηθεῖν αὐτοῖς ἔδοξε, καὶ κατεδεξάμην, καὶ οὐκ ἐνέλειπον. καὶ διὰ τούτων δείκνυσι τὴν πρὸς αὐτοὺς ὁμόνοιαν, καὶ συμφωνίαν, ἀναγκάζεται λοιπὸν, καὶ τῆς πρὸς ἕτερον αὐτῶν τῷ γινομένης ἐν ἀντιοχείᾳ διαλέξεως μνησθῆναι, καὶ φησίν. Ὅτε δὲ ἦλθε κηφᾶς εἰς ἀντιόχειαν, κατὰ πρόσωπον αὐτοῦ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. πρὸ τοῦ γάρ τινας ἀπὸ ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν, ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτὸν φοβούμενος τοὺς ἐκ περιτομῆς. Πολλοὶ τῶν ἁπλῶς ἀναγινωσκόντων τοῦτο τὸ ῥητὸν τῆς ἐπιστολῆς, νομίζουσι τοῦ κηφᾶ τὸν παῦλον κατηγορεῖν ὑπόκρισιν, ἀλλ' οὐκ ὄντα ζῶντα οὐκ ὄντιν, ἄπαγε. πολλῷ γὰρ δυνήσομεν καὶ τοῦ κηφᾶ, καὶ τὸ παύλου τιμῶν συνέσιν ἐγκεκρυμμένην ἐν ζῶντα πρὸς τιμὴν τῶν ἀκουόντων ὠφέλειαν. πρότερον δὲ ἀναγκαῖον περὶ τῆς τοῦ κηφᾶ παῤῥησίας εἰπεῖν, καὶ πῶς ἀεὶ πάντων αὐτὸς κατεπήδα τῶν μαθητῶν. καὶ γὰρ τὴν προσηγορίαν ἐντεῦθεν ἔλαβε διὰ τὸ ἀκλινές, καὶ ἀπερίτρεπτον τῆς πίστεως, καὶ ὅτε κοινῇ πάντες ἠρωτῶντο, τῶν ἄλλων προπηδήσας φησί. σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὅτε καὶ τὰς κλεῖς τῶν οὐρανῶν ἐνεπιστεύθη, καὶ ἐν τῷ ὄρει μόνος φαίνεται φθεγγόμενος, καὶ ὅτε περὶ ταυροῦ διελέγετο τῶν ἄλλων σιγώντων, αὐτὸς φησιν ἵλεώς σοι. ζῶντα δὲ τὰ ῥήματα εἰ καὶ μὴ διεσπαρμένης γνώμης ἦν, ἀλλ' ὅμως ζεούσης ἀγάπης. καὶ πανταχοῦ δὲ τῶν ἄλλων ὁρῶμεν αὐτὸν δοκιμώτερον ὄντα, καὶ προαλλόμενον ἐν τοῖς κινδύνοις. καὶ ὅτε ὤφθη ἐν τῷ αἰγιαλῷ τῶν ἄλλων τὸ πλοῖον ἐλκόντων, αὐτὸς οὐκ ἠνέσχετο τῷ πλοίῳ παραγενέσθαι. καὶ μετὰ τὴν ἀνάστασιν δὲ φονεύοντων ἰουδαίων, καὶ μαινομένων, καὶ ζητούντων αὐτοὺς διασῶσαι, πρῶτος παρελθὼν, ἐτόλμησε ῥῆξαι φωνὴν, καὶ εἰπεῖν, ὅτι ὁ ταυρωθεὶς ἀνελήφθη, καὶ ἐν τοῖς οὐρανοῖς ἐστίν. οὐκοῦν δεῖ σὺν κεκλεισμένων αὐτοῖς θύραν, καὶ ἀρχὴν δοῦναι πράγματι, καὶ μετὰ ζῶντα παῤῥησιάσασθαι. ὁ τίνων τὴν ἑαυτοῦ ψυχὴν ἐκδοὺς δήμῳ τοσούτῳ, πῶς ἂν ὑπενοήθη ποτέ; ὁ μαστιχθεὶς, καὶ δεθεὶς, καὶ μηδὲν τῆς παῤῥησίας ἐλόμενος κατδυφεῖναι, καὶ ζῶντα ἐν ἀρχῇ τοῦ κηρύγματος ἐν μέσῃ τῇ μητροπόλει ἑνδεδυσσωμένος ἦν, πῶς ἂν μετὰ τοσοῦτον χρόνον ἐν ἀντιοχείᾳ, ἔνθα οὔτε κίνδυνος ἦν, καὶ πολὺ λαμπρότερος αὐτὸς ἐγεγόνει τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν ἔχων, τοὺς ἐξ ἰουδαίων πιστεύσαντας ἔδεισεν αὖ; ὁ γὰρ αὐτοὺς ἰουδαίους, μὴ φοβηθεὶς καὶ ἐν ἀρχῇ, καὶ ἐν τῇ μητροπόλει, πῶς ἂν μετὰ χρόνον τοσοῦτον ἐν ἀλλοτρίᾳ ὢν τοὺς ἐξ ἐκείνων μεταδάντας ἐφοβήθη; οὐ τίνων κατὰ πόδα ζῶντα φησὶν ὁ παῦλος, ἀλλ' ἀπὸ τῆς γνώμης ἧς εἶχεν. ἀπὸ δὲ τοῦ δοκεῖν τι ὁποῖοί ποτε ἦσαν, οὐδὲν μοι διαφέρει, ἀπὸ τοῦ αὐτῆς, μὴ ταῦτα φθέγγεται. ἀλλ' ἵνα μὴ ἔτι πλέον διαπορῶμεν ὑπὲρ

ρῶμεν ὑπὲρ τούτων, ἀναγκαῖον τῶν λεγομένων ἀναπτύξαι τὴν αἰτίαν. οἱ γὰρ ἀπόστολοι καθὼς ἔφθην εἰπών, ἐν ἱεροσολύμοις μὲν συνεχώρουν περιτέμνεσθαι. οὐ γὰρ ἦν ἀθρόως ἀποπάσασθαι τὸν νόμον. ἐν ἀντιοχείᾳ δὲ ἐλθόντες, οὐδὲν τοιοῦτον παρετήρουν λοιπόν, ἀλλὰ μετὰ τῶν ἐξ ἐθνῶν πιστευόντων ἀδιαφόρως ἔζων, ὃ δὴ καὶ πέτρος ἐποίει τότε. ἐπεὶ δὴ ἦλθον ἀπὸ ἱεροσολύμων οἱ ἰδόντες αὐτὸν ἐκεῖ, οὕτω κηρύττοντα, οὐκέτι ἐποίει τοῦτο, φοβούμενος πλῆξαι ἐκείνους, ἀλλὰ μετέθετο, δύο ταῦτα οἰκονομῶν, καὶ τὸ μὴ σκανδαλίσαι τοὺς ἐξ ἰουδαίων, καὶ τὸ παρασχεῖν τῷ παύλῳ δίκαιον τῆς ἐπιτιμήσεως πρόφασιν. εἰ γὰρ αὐτὸς ὁ ἐν τοῖς ἱεροσολύμοις κηρύξας μετὰ περιτομῆς μετέθετο ἐν ἀντιοχείᾳ, ἔδοξεν ἂν τοῖς ἐξ ἰουδαίων διὰ τὸν τοῦ παύλου φόβον τοῦτο ποιεῖν, καὶ κατέγνωσαν ἂν αὐτοῦ πολλῷ τὴν δικαιολίαν οἱ μαθηταί. οὐ μικρὸν δὲ τοῦτο σκάνδαλον ἔμελλε γίνεσθαι. τῷ μὲν γὰρ παύλῳ πάντα σαφῶς εἰδότι μεταστὰς, οὐκ ἂν τοιαύτην παρέσχεν ὑπόνοιαν. καὶ γὰρ ἤδει τὴν γνώμην μεθ' ἧς ἐγίνετο ταῦτα. διὸ καὶ παῦλος ἐπιπλήττει, καὶ πέτρος ἀνέχεται, ἵνα ἐγκαλουμένου τοῦ διδασκάλου, καὶ σιγῶντος, δυσκολώτερον οἱ μαθηταὶ μεταθῶνται. εἰ γὰρ μηδενὸς γενομένου τοιοῦτον παρήνεσεν ὁ παῦλος, οὐδὲν ἂν εἰργάσατο μέγα. νῦν δὲ ἀφορμὴν λαβὼν ἐπιτιμήσεως σφοδροτέρας, πλείονα τοῖς μαθηταῖς πέτρου τὸν φόβον ἐνέθηκε. καὶ γὰρ εἰ μὲν ἀκούων ταῦτα πέτρος ἀντέλεγε, καλῶς ἂν τις ἐμέμφατο, ὡς τῆς οἰκονομίας ἀναστρεπομένης. νυνὶ δὲ ἐκείνου μὲν ἐπιπλήττοντος, τοῦτον δὲ σιγῶντος, πολὺς τοῖς ἐξ ἰουδαίων φόβος ἐγίνετο. διὸ καὶ σφοδρῶς κέχρηται τῷ πέτρῳ, καὶ σπουδῇ μετ' ὄσης ἀκριβείας κέχρηται τῷ λόγῳ, δίδους τοῖς συνετοῖς ἰδεῖν, ὅτι οὐ
» μάχης ἦν τὰ ῥήματα, ἀλλ' οἰκονομίας. Ὅτε γὰρ ἦλθε πέτρος φησὶν εἰς ἀντιόχειαν,
» κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. Οὐκ εἶπεν ὑπ' ἐμοῦ, ἀλλ' ὑπὸ τῶν ἄλλων. εἰ δὲ αὐτὸς κατέγνωσκεν, οὐκ ἂν παρῃτήσατο καὶ δεῦρο εἰπεῖν, καὶ τὸ κατὰ πρόσωπον δὲ αὐτῷ ἀντέστην, οὐκ ἦν μάχης. εἰ γὰρ ὄντως ἐμάχοντο, οὐκ ἂν ἐκοινώνουν τῶν μαθητῶν ἀλλήλοις ἐπετίμησαν. σφόδρα γὰρ αὐτοὺς ἐσκανδάλισαν. νυνὶ δὲ λυσιτελοῦσα ἦν ἡ ἐν τῷ φανερῷ μάχη. καὶ ὥσπερ ὁ παῦλος εἶχεν αὐτὸς ἐν ἱεροσολύμοις, οὕτω καὶ αὐτοὶ
» ἐν ἀντιοχείᾳ. τίς οὖν ἡ κατάγνωσις; Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ ἰακώβου. Αὐτὸς
» γὰρ ἦν ὁ διδάσκαλος ἐν ἱεροσολύμοις. Μετὰ τῶν ἐθνῶν συνήθιεν, ὅτε δὲ ἦλθον, ὑπέ-
» στελλε, καὶ ἀφώριζεν ἑαυτὸν φοβούμενος τοὺς ἐκ περιτομῆς. Οὐ δεῖ φοβούμενος, μὴ κινδυνωδύσῃ, ὁ γὰρ ἐν ἀρχῇ μὴ φοβηθείς, πολλῷ μᾶλλον τότε, ἀλλ' ἵνα μὴ ἀποφωσιν. ἐπεὶ καὶ αὐτὸς λέγει γαλάταις, φοβοῦμαι ὑμᾶς μήπως εἰκῇ κεκοπίακα. καὶ πάλιν. φοβοῦμαι μήπως, ὡς ὄφις εὔαν ἐξηπάτησεν, φθαρῇ τὰ νοήματα ὑμῶν. ὁ μὲν γὰρ τοῦ θανάτου φόβος, οὐδὲν ἦν αὐτοῖς. ὁ δὲ τῆς ἀπωλείας τῶν μαθητῶν, σφόδρα αὐτῶν κατέ-
» στειε τὴν ψυχήν. Ὥστε καὶ βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. Μὴ θαυμάσῃς εἰ τὸ πρᾶγμα ὑπόκρισιν καλεῖ. οὐ γὰρ βούλεται, ὅπερ ἔφθην εἰπών, ἐκκαλύψαι τὴν γνώμην, ἵνα ἐκεῖνοι κατορθωθῶσιν. ἐπειδὴ γὰρ σφοδρῶς αὐτεῖχοντο τοῦ νόμου, διὰ τοῦτο καὶ ὑπόκρισιν καλεῖ τὸ γινόμενον, καὶ σφόδρα ἐπιπλήττει, ὥστε προέρριζον αὐτῶν ἀνελεῖν τὴν πρόληψιν, καὶ ἀκούων ταῦτα πέτρος, συνυποκρίνεται, ὡς ἁμαρτάνων, ἵνα ἐν τῇ πρὸς αὐτὸν ἐπιζημίᾳ διορθωθῶσιν. εἰ μὲν γὰρ τοῖς

ἐξ ἰουδαίων ὁ

ἐξ ἰουδαίων ὁ παῦλος ἐπέπληξεν, ἠγανάκτησαν αὖ καὶ διέῤῥωσαν. οὐ γὰρ πολλῷ πρὸ αὐτοῦ δόξαν εἶχον. νυνὶ δὲ τὸν διδάσκαλον ὁρῶντες ἐπιμεμφόμενον, καὶ σιτῶντα, οὔτε κατα-
» φρονῆσαι, οὔτε ἀντειπεῖν τοῖς λεγομένοις εἶχον. Ἀλλ' ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς
» τὴν ἀλήθειαν τοῦ εὐαγγελίου. Μὴ δὲ αὕτη ὑμᾶς θορυβείτω ἡ λέξις. οὐ γὰρ ἑτέρου
καταγινώσκων ταῦτα λέγει, ἀλλ' οὕτως χαρακτηρίζει τὴν λέξιν, ὡς συμφέρον ἑαυτῷ ἀκοῦσαι
» τοὺς μετὰ τῆς ἐπιζημίσεως ἑτέρου μέλλοντας βελτίους γίνεσθαι. Εἰ πού τῷ ἑτέρῳ ἐμ-
» προσθεν πάντων. Εἰ δὲς πῶς τοὺς ἄλλους διορθοῦται; μετὰ γὰρ ταῦτα ἐμπροσθεν, ἵνα καὶ
» ἀκούσαντες φοβηθῶσι. τί εἶπες εἰπέ. Εἰ σὺ ἰουδαῖος ὑπάρχων ἐθνικῶς ζῇς, καὶ οὐκ ἰουδαϊ-
» κῶς, τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; Καίτοι οὐ τὰ ἔθνη συνῆκται, ἀλλ' ἰουδαῖοι.
τί οὖν ἐγκαλεῖς ὃ μὴ γέγονε; τί δὲ μὴ πρέπει τὸν λόγον ἔχει τοὺς ὑποκρινομένους τοὺς ἐξ ἰου-
δαίων, ἀλλ' οὐ τὰ ἔθνη; διατί δὲ καὶ τῷ πέτρῳ μόνον ἐγκαλεῖς, εἰ καὶ οἱ λοιποὶ αὐτῷ συ-
νυπεκρίθησαν; ἴδωμεν δὲ καὶ τί ἐγκαλεῖ. εἰ σὺ ἰουδαῖος ὑπάρχων ἐθνικῶς ζῇς, καὶ οὐκ ἰου-
δαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; καὶ μὴν αὐτὸς ὑπεσπέλλετο μόνος. τί οὖν ἐστιν ὃ
κατασκευάσαι βούλεται; ἀνύποπτον ποιῆσαι τὴν ἐπίπληξιν. εἰ μὲν γὰρ εἶπε κακῶς ποιεῖς
τὸν νόμον τηρῶν, ἐπεμέμψαντο ἂν οἱ ἐξ ἰουδαίων αὐτῷ, ὡς θρασυνομένῳ κατὰ τοῦ διδα-
σκάλου. νυνὶ δὲ ὑπὲρ τῶν οἰκείων ἐγκαλῶν αὐτῷ μαθητῶν τῶν ἐξ ἐθνῶν λέγω, δυπαρά-
δεκτον ποιεῖ ταύτην τὸν λόγον, καὶ οὐ ταύτην μόνον, ἀλλὰ καὶ τῷ πάντων ἀποφῆσας τὴν ἐπι-
μέμψιν, τῷ ἀποστόλῳ περιφῆσαι πᾶσαν αὐτήν. εἰ γὰρ σύφησιν ἰουδαῖος ὢν ἐθνικῶς ζῇς, καὶ
οὐκ ἰουδαϊκῶς, μόνον οὐχὶ διαῤῥήδην λέγων. ὅπ μιμήσασθε τὸν διδάσκαλον, ὅπ καὶ αὐτὸς
ἰουδαῖος ὢν, ἐθνικῶς ζῇ, ἀλλ' οὕτω μὲν οὐ λέγει. οὐ γὰρ ἂν ἐδέξαντο τὴν παραίνεσιν.
προχήματι δὲ ἐπιμέμψεως τῆς ὑπὲρ τῶν ἐθνῶν, ἐκκαλύπτει τὸ ἑτέρου τὴν γνώμην. πά-
λιν εἰ εἶπε διατὶ τοὺς ἐξ ἰουδαίων ἀναγκάζεις ἰουδαΐζειν, σφοδρότερος ὁ λόγος ἂν ἐγένετο.
νυνὶ δὲ οὐχ ὡς τῶν ἰουδαίων μαθητῶν ἀντεχόμενος, ἀλλὰ τῶν ἐξ ἐθνῶν, οὕτως διορθοῦ-
ται ἐκείνους. καὶ γὰρ αἱ ἐπιπλήξεις, ὅταν μὴ σφόδρα φορτικαὶ ὦσι, τότε μάλιστα δύνανται δυπαράδεκτοι γενέσθαι. οὐ γὰρ τῶν ἐξ ἐθνῶν τις ἠδύνατο ἐγκαλέσαι τῷ παύλῳ, ὑπὲρ
τῶν ἰουδαίων ποιουμένῳ τὸν λόγον. ὅλον ὁλον κατώρθωσε σιγήσας, καὶ καταδεξάμενος ὑ-
ποκρίσεως δόξαν ὁ πέτρος, ἵνα ἀληθοῦς ὑποκρίσεως ἀπαλλάξῃ τοὺς ἰουδαίους. τὸ μὲν
οὖν πρῶτον, εἰς τὸ πέτρου πρόσωπον περιέγησε τὸν λόγον εἰπών. εἰ σὺ ἰουδαῖος ὑπάρχων.
προϊὼν δὲ, κοινοποιεῖ τὸ λεγόμενον, καὶ ἑαυτὸν προσπαραλαβών, καὶ οὕτω λέγων.
» Ἡμεῖς φύσει ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί. Καὶ τὰ μὲν λεγόμενα, παραίνε-
σις ἐστὶν, σχῆμα δὲ ἐπιπλήξεως αὐτῇ περίκειται μετὰ τοὺς ἐξ ἰουδαίων. ποιεῖ δὲ ὅλον καὶ ἀλ
λαχοῦ. δοκῶν γὰρ ἕτερον λέγειν, ἄλλο κατασκευάζει, ὡς ὅταν ῥωμαίοις ἐπιστέλλων λέ-
γῃ. νυνὶ δὲ πορεύομαι εἰς ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις. οὐ γὰρ ὅλον ἐβούλετο εἰπεῖν,
καὶ δηλῶσαι αὐτοὺς ἁπλῶς, τίνος ἕνεκεν εἰς ἱερουσαλὴμ ἐπορεύετο, ἀλλ' εἰς ζῆλον ἀγα-
γεῖν ἐλεημοσύνης. εἰ μὲν γὰρ τὴν αἰτίαν ἠθέλησεν εἰπεῖν, ἤρκει ὅλον εἰπεῖν, ὅπ πορεύο-
μαι διακονῶν τοῖς ἁγίοις. νυνὶ δὲ ὅρα πόσα σωπᾷ. ἐδόκησαν γὰρ μακεδονία, καὶ ἀ-
χαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν ἱερουσαλήμ. ἐδόκη-
σαν γάρ, καὶ ὀφειλέται αὐτῶν εἰσί. καὶ πάλιν. εἰ γὰρ τοῖς σαρκικοῖς αὐτῶν ἐκοινώνησαν

τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς συμβατικοῖς λειτουργῆσαι αὐτοῖς. ὅρα τοίνυν καὶ ἐν-
ταῦθα πῶς τὰ τῶν ἰουδαίων καταστέλλει φρονήματα, ἄλλο δι' ἄλλου καταισχύζων.
καὶ μετ' ἐξουσίας κέχρηται τῷ λόγῳ, ἡμεῖς φύσει ἰουδαῖοι λέγων, καὶ οὐκ ἐξ ἐθνῶν ἁ-
μαρτωλοί. τί δέ ὅτι φύσει ἰουδαῖοι, οὐ προσήλυτοι, ἀλλ' ἐκπρώτης ἡλικίας ἐντραφέν-
τες τῷ νόμῳ, τὴν σωτηρίαν ἀφέντες πολιτείαν, καταφύγομεν εἰς πίστιν τὴν εἰς χριστόν.
» Εἰδότες ὅτι οὐ δικαιωθήσεται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως ἰησοῦ χριστοῦ.
» καὶ ἡμεῖς εἰς χριστὸν ἐπιστεύσαμεν. Ὅρα καὶ ἐνταῦθα πῶς μετὰ ἀσφαλείας πάντα
φθέγγεται. οὐ γὰρ ὡς πονηρὸν, ἀλλ' ὡς ἀδυνήφησιν αὐτὸν εἰάσαμεν. εἰ τοίνυν οὐ παρέχει
δικαιοσύνην ὁ νόμος, ἆρα περιττὸν τὸ τῆς περιτομῆς. ἀλλὰ ἀνω μὲν οὕτως, προϊὼν δὲ
δείκνυσιν, ὅτι οὐ μόνον περιττὸν, ἀλλὰ καὶ ἐπικίνδυνον. ὅπερ καὶ μάλιστα παρατηρητέον,
πῶς παρὰ μὲν τὴν ἀρχὴν φησὶν οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου. προβαίνων δὲ
» καὶ φορτικώτερον φθέγγεται. Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν χριστῷ, εὑρέθημεν καὶ
» αὐτοὶ ἁμαρτωλοί, ἆρα χριστὸς ἁμαρτίας διάκονος. Εἰ γὰρ οὐκ ἰσχύει φησὶν ἡ εἰς αὐτὸν πί-
στις δικαιῶσαι, ἀλλ' ἀνάγκη τῷ νόμῳ πάλιν ἔχεσθαι, ὅτι τὸν νόμον ἀφέντες διὰ τὸν χριστὸν,
καὶ οὐ δικαιούμενοι ἐκ τῆς ἀφέσεως, ἀλλὰ κατακρινόμενοι, τῆς κατακρίσεως εὑρήσομεν
αὐτὸν αἴτιον γενόμενον, δι' ὃν τὸν νόμον ἀφέντες, αὐτῷ ἐντομωλήσαμεν. εἶδες εἰς ὅσην ἀνάγ-
κην περιέστησεν ἅπαντας τὸν λόγον; καὶ πῶς ἰσχυρῶς ἠγωνίσατο; εἰ γὰρ οὐ δεῖ τὸν νόμον ἀ-
φεῖναι φησὶν, ἀφήκαμεν δὲ διὰ τὸν χριστὸν, μέλλομεν κρίνεσθαι; τί οὖν ἕτερῳ ταῦτα λέ-
γεις, καὶ παραινεῖς; τῷ πάντων ἀκριβεστέρον ταῦτα εἰδότι; οὐκοῦν τοῦτο ἔδειξεν ὁ θεὸς, ὅτι
οὐ δεῖ κρίνειν ἄνθρωπον ἀκριβούμενον ἐν περιτομῇ; οὐχὶ ἰουδαίοις διαλεγόμενος περὶ τού-
των γενναίως ἀπὸ τῆς ὄψεως ταύτης ἀντέστη; οὐχὶ δόγματα πεφρονωμένα ἐξ ἱεροσολύ-
μων πάλιν ἔπεμπεν; οὐ τοίνυν ἕτερον διορθούμενος ταῦτα λέγει. ἀλλ' ἔδει μὲν πρὸς
ἐκεῖνον ὁ λόγος ἀποτείνεσθαι, πρὸς δὲ τοὺς μαθητὰς ἔλεγε. ταῦτα δὲ οὐ πρὸς γαλάτας;
ἀλλὰ καὶ πρὸς τοὺς τὰ αὐτὰ νοσοῦντας ἐκείνοις. εἰ γὰρ καὶ μὴ περιτέμνονται πολλοὶ
νῦν, νηστεύουσι δὲ καὶ τὸ σάββατον τηροῦσι. μετ' ἐκείνων ταῦτα πράττουσιν, ἐξωθοῦντες
ἑαυτοὺς τῆς χάριτος. εἰ γὰρ τὴν περιτομὴν μόνον κεχριμένους ὁ χριστὸς οὐδὲν ὠφελεῖ, ὅταν
καὶ νηστείαν, καὶ σάββατον προσγένηται, καὶ αὐτὴ μιασθῇ δύο τηροῦσα συνταλαί, ὅρα τὸν κίν
δυνον, καὶ ἀπὸ τοῦ χρόνου γενόμενον χαλεπώτερον. ἐκεῖνοι μὲν γὰρ ἐν ἀρχῇ ταῦτα ἐ-
ποίουν, ἔτι τῆς πόλεως οὔσης, καὶ τοῦ ναοῦ, καὶ τῶν ἄλλων ἁπάντων. οὔπω δὲ καὶ τὴν
τιμωρίαν ὁρῶντες ἣν ἔδωσαν ἰουδαῖοι, καὶ τὴν τῆς πόλεως ἀφανισμὸν, καὶ πλείονα παρα
τηροῦντες, ποίαν ἔχοιεν ἂν ἀπολογίαν, τότε τὸν νόμον φυλάττοντες ὅτε αὐτοὶ ἰουδαῖοι
ὄντες, καὶ σφόδρα βουλόμενοι, οὐ δύνανται ταῦτα διατηρεῖν; τὸν χριστὸν ἀνεδύσω, καὶ
μέλος ἐγένου τοῦ δεσπότου, καὶ εἰς τὴν ἄνω πόλιν ἀνεγράφης, καὶ ἔτι περὶ τὸν νόμον ἔρ-
ωτεις; καὶ πῶς ἔνιοι τῆς βασιλείας ἐπιτυχεῖν; ἄκουσον τοῦ παύλου λέγοντος, ὅτι τὸ δύναγ
μέλιον ἀναιρέσεται διὰ τῆς παραπτώσεως τοῦ νόμου. καὶ εἰ βούλει, καὶ τὸν τρόπον μά-
θε, καὶ φείξον, καὶ φεύγε τὸ βάραθρον. διατὶ γὰρ τηρεῖς τὸ σάββατον, καὶ νηστεύεις μετ' ἐ-
κείνων; ὡς δεδικαιωκὼς ἀνατρέπεις τὸν νόμον, καὶ τὸ ἀφεῖναι τὰ γράμματα ἐκεῖνα. οὐκοῦν δὲ ἐ-
φοβήθης ἀφεῖναι τὸν νόμον, εἰ μὴ τῆς πίστεως κατέγνως, ὡς ἀδυνοῦς, καὶ οὐκ ἰσχυούσης

καθ' ἑαυτὴν

καθ' ἑαυτὴν σῶσαι. εἰ γὰρ τὸ μὴ τηρῆσαι τὸ σάββατον φοβῇ, δῆλον ὅτι δὲ δικαίως τὸν νόμον
ὡς ἐπὶ κύριον ὄντα. εἰ δὲ χρεία νόμου πάλιν, οὐ μέρους, οὐδὲ μιᾶς ἐντολῆς, ἀλλὰ πάντες δῆλο
νότι χρεία τοῦ νόμου. εἰ δὲ πάντες, ἐξεβλήθη κατὰ μικρὸν ἡ ἀπὸ τῆς πίστεως δικαιοσύνη. εἰ γὰρ
σάββατα τηρεῖς, διατὶ μὴ καὶ περιτέμνῃ; εἰ δὲ περιτέμνῃ, διατὶ μὴ καὶ περιθύεις; εἰ γὰρ φυ-
λάττειν χρή, ὅλον τὸν νόμον χρὴ φυλάττειν. εἰ δὲ ὅλον οὐ χρή, οὐδὲ μέρος. εἰ δὲ ὑπὲρ τοῦ μέρους
φείπεις, μὴ παραβάσεως κριθῇς, ἀλλ' ὡς καὶ ὑπὲρ πάντες ἀνάγκη φοβεῖσθαι. εἰ δὲ ὅλος πα
ραβαινόμενος, οὐ κολάζει, δῆλονότι οὐδὲ μέρος. εἰ δὲ μέρος, πολλῷ μᾶλλον ὅλος. εἰ δὲ ὅλον
ἀνάγκη φυλάξαι, ἀνάγκη παρακοῦσαι τοῦ χυ. ἢ ἀκούοντας τοῦ χυ, παραβάτας γενέσθαι τοῦ
νόμου. εἰ γὰρ δεῖ φυλάττειν αὐτὸν, οἱ μὴ φυλάττοντες αὐτὸν, παραβάται, καὶ τῆς παραβά-
σεως ταύτης εὑρεθήσεται αἴτιος ἡμῖν ὁ χς. αὐτὸς γὰρ τὸν νόμον ἔλυσε τὸν περὶ αὐτῶν, μὴ λύειν
ἐκέλευσεν. ὁρᾷς τί κατασκευάζουσιν οἱ ἰουδαΐζοντες; τὸν χν τὸν τῆς δικαιοσύνης ἡμῖν αἴτιον,
τοῦτον καὶ ἁμαρτίας ἀποφαίνουσιν αἴτιον, καθὼς καὶ παῦλος φῇ. ἆρα χς ἁμαρτίας διά-
κονος. εἶτα εἰς ἄτοπον τὸν λόγον ἀναγαγών, οὐδὲ ἐδείχθη λοιπὸν ἀνάσκευος πρὸς τὴν ἀ-
» ναστροφὴν, ἀλλ' ἠρκέσθη τῇ ἀπαγορεύσει μόνον εἰπών. Μὴ γένοιτο. Γέρος γὰρ τὰ λίαν
ἀναίσχυντα, καὶ ἀναιδῆ, οὐδὲ κατασκευαστικῶν δεῖ λόγων, ἀλλ' ἀρκεῖ καὶ ἀπαγορεῦσαι
» μόνον. Εἰ γὰρ ἃ κατέλυσα ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι. Ὁρᾶ
τε παύλου σύνεσιν, ἐκεῖνοι δεῖξαι ἐβούλοντο, ὅτι ὁ μὴ τηρῶν τὸν νόμον, παραβάτης. οὗτος δὲ
εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον, δεικνὺς ὅτι ὁ τηρῶν τὸν νόμον, παραβάτης, οὐ τῆς πίστεως,
ἀλλὰ καὶ αὐτοῦ τοῦ νόμου. ἃ γὰρ κατέλυσα ταῦτα πάλιν οἰκοδομῶ, τὸν νόμον φῇ. ὁ δὲ λέγει,
τοιοῦτόν ἐστι, πέπαυται ὁ νόμος, καὶ ὄντως ὡμολογήσαμεν δι' ὧν ἀφέντες αὐτὸν, κατεφύγομεν
ἐπὶ τὴν ἐκ πίστεως σωτηρίαν. αὖ τοίνυν φιλονεικήσωμεν φῆσαι αὐτὸν, αὐτῷ τούτῳ παραβά-
ται γινόμεθα, τὰ παρὰ τοῦ θεοῦ λυθέντα φιλονεικοῦντες τηρεῖν. εἶτα καὶ πῶς κατελύθη,
» δείκνυσιν. Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον. Διπλοῦν ἔχει τὸν θεωρίαν. ἢ
γὰρ νόμου τοῦ τῆς χάριτος φησὶν, εἰ δὲ γε καὶ τοῦτον νόμον καλεῖν, ὡς ὅταν λέγῃ ὁ δὲ νόμος τοῦ
πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με, ἢ τὸν νόμον συνθῆκαι τὸν παλαιὸν λέγει, δεικνὺς ὅτι δι' αὐτοῦ
τοῦ νόμου τῷ νόμῳ ἀπέθανε. τοῦτέστιν αὐτός με ὁ νόμος συνήγαγεν εἰς τὸ μηκέτι προσέχειν αὐ-
τῷ. εἰ τοίνυν μέλλοιμι αὐτῷ προσέχειν, καὶ αὐτὸν παραβαίνω, πῶς μή τινι τρόπῳ, μωϋσῆς
φησι, προφήτην ὑμῖν ἀναστήσει κς ὁ θς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε, περὶ
τοῦ χυ λέγων; ὥστε οἱ μὴ τούτῳ πειθόμενοι, παραβαίνουσι τὸν νόμον. καὶ ἑτέρως δὲ πάλιν τοῦ
τό νοητέον ἡμῖν, τὸ διὰ νόμου νόμῳ ἀπέθανον. ὁ γὰρ νόμος πάντα κελεύει ποιεῖν τὰ ἐγγεγραμ
μένα, καὶ τὸν μὴ ποιοῦντα, κολάζει. οὐκοῦν ἅπαντες αὐτῷ τετελευτήκαμεν. οὐδεὶς γὰρ αὐ
τὸν ἐπλήρωσε. καὶ ὅρα πῶς, καὶ συνθῆκαι μεμετρημένως ποιεῖται τὴν πρὸς αὐτὸν μάχην.
οὐ γὰρ εἶπεν ὁ νόμος μοι ἀπέθανεν, ἀλλ' ἐγὼ τῷ νόμῳ ἀπέθανον. ὁ δὲ λέγει, τοῦτό ἐστιν. ὥσπερ
τὸν νεκρὸν, καὶ τεθνεῶτα οὐκ ἔστιν ὑπακοὴν τοῖς ἐντολοῖς τοῦ νόμου, οὕτως οὐδὲ ἐμὲ τὸν ἐκ τῆς
ἁρπαγῆς τῆς ἐκείνου τελευτήσαντα. τῷ γὰρ ἐκείνου λόγῳ ἀπέθανον. μὴ τοίνυν σπιτατήτω
τῷ τεθνεῶτι, ὃν καὶ αὐτὸς ἀνεῖλε, καὶ θάνατον, οὐ τὸν σωματικὸν μόνον, ἀλλὰ καὶ τὸν ψυχι-
» κὸν, δι' οὗ καὶ τὸν σωματικὸν ἐπήγαγεν. ὅπου γὰρ ἔστιν λέγει, διὰ τῶν ἑξῆς ἐδήλωσεν. Ἵνα
» γὰρ θεῷ ζήσω φησὶ, χριστῷ συνεσταύρωμαι. Ἐπειδὴ γὰρ εἶπεν ἀπέθανον, ἵνα μήτις

εἰ ὡς, πῶς οὖν ζῆς ἐπήγαγε καὶ τὴν αἰτίαν τῆς ζωῆς, καὶ ἔδειξεν, ὅτι ὁ μὲν νόμος ζῶντα ἀπ-
ωκτεινεν. ὁ δὲ Χς νεκρὸν λαβών, μᾶλλον θανάτου ἐζωοποίησε, καὶ διπλοῦν τὸ θαῦμα δείκνυ-
σιν, ὅτι καὶ τὸν νεκρὸν ἐζωογόνησε, καὶ μᾶλλον θανάτου, τὴν ζωὴν ἐχαρίσατο. ζωὴν δὲ λέγει νῦν,
τὸν θάνατον. οὐδὲν γάρ ἐστιν, ἵνα θεῷ ζήσω, χριστῷ συνεσταύρωμαι. καὶ πῶς ὁ ζῶν, καὶ ἐμ-
πνέων συνεσταυρώθη φησίν; ὅτι μὲν γὰρ ὁ Χς ἐσταυρώθη, δῆλον. σὺ δὲ πῶς ἐσταυρώσαι, καὶ
» ζῆς; ὅρα πῶς καὶ αὐτὸ ἑρμηνεύει λέγων. Ζῶ δὲ οὐκέτι ἐγώ. ζῇ δὲ ἐν ἐμοὶ Χς. Τῷ
μὲν γὰρ εἶναι χριστῷ συνεσταύρωμαι, τὸ βάπτισμα ἐνίξατο, τῷ δὲ εἶναι ζῶ δὲ οὐκέτι ἐγώ,
τὴν μεταταῦτα πολιτείαν, δι' ἧς νεκροῦται ἡμῶν τὰ μέλη. τί δέ ἐστι, ζῇ δὲ ἐν ἐμοὶ Χς; οὐδὲν
γίνεται φησὶν ὑπ' ἐμοῦ ὢν ὁ Χς οὐ βούλεται. ὥσπερ γὰρ θάνατον λέγει, οὐ τὸν τυχόν,
ἀλλὰ τὸν ἐκτῶν ἁμαρτιῶν, οὕτω καὶ ζωὴν, τὴν ἐκείνων ἀπαλλαγήν. θεῷ γὰρ οὐκ ἔστιν ἄλ-
λως ζῆν, ἀλλ' ἢ νεκρωθέντα τῇ ἁμαρτίᾳ. ὥσπερ οὖν ὁ Χς τὸν σωματικὸν ὑπέστη θάνατον,
οὕτως ἐγὼ τὸν κατὰ τῆς ἁμαρτίας. νεκρώσατε γὰρ τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς. ἅτινά ἐστι
πορνείαν, ἀκαθαρσίαν, μοιχείαν. καὶ πάλιν λέγει. ὁ παλαιὸς ἡμῶν ἄνθρωπος ἐσταυρώθη. ὅπερ
ἐν τῷ λουτρῷ γέγονε. μετὰ δὲ ταῦτα ἐὰν μένῃς νεκρὸς τῇ ἁμαρτίᾳ, ζῆς τῷ θεῷ. αὖ δὲ πάλ-
λιν αὖ τὴν ἀναφήσῃς, ἐλυμήνω τῇ τοιαύτῃ ζωῇ. ἀλλ' οὐχ ὁ παῦλος τοιοῦτος, ἀλλ' ἔμενε
διόλου νεκρός. εἰ τοίνυν ζῶ τῷ θεῷ φησιν, ἑτέραν παρὰ τὴν ἐν τῷ νόμῳ ζωὴν, καὶ νεκρὸς ἐ-
γενόμην τῷ νόμῳ, οὐδὲν τὸ νόμῳ φυλάττειν δύναμαι. καὶ ὅρα τὴν ἀκρίβειαν τῆς πολι-
τείας, καὶ θαύμασον μεθ' ὑπερβολῆς τὴν μακαρίαν ἐκείνην ψυχήν. οὐ γὰρ εἶπε ζῶ ἐγώ,
ἀλλὰ ζῇ ἐν ἐμοὶ Χς. τίς τοιαύτην τολμήσει ῥῆξαι τὴν φωνήν; ἐπειδὴ γὰρ δίκαιον ἑαυτὸν τῷ
χριστῷ κατεσκεύασε, καὶ ἅπαντα ἐξέβαλε τὰ βιωτικά, καὶ πρὸς τὸ θέλημα τὸ ἐκείνου πάν-
τα ἐπράττεν, οὐκέτι ἦν ζῶ τῷ χριστῷ, ἀλλ' ὁ πολλῷ πλέον ἦν. ζῇ δὲ ἐν ἐμοὶ Χς. ὥσπερ γὰρ
ἡ ἁμαρτία, ὅταν κρατήσῃ, αὕτη ἐστὶν ἡ ζῶσα, πρὸς ἃ βούλεται τὴν ψυχὴν ἄγουσα, οὕτως αὖ
εἰ ἐκείνης νεκρωθείσης τὰ τῷ χριστῷ δοκοῦντα γίνεται, οὐδὲ ἀνθρωπίνη λοιπὸν ἔστιν ἡ τοιαύ-
τη ζωή, ἀλλὰ τοῦ ζῶντος ἐν ἡμῖν τοῦτο ἐνεργοῦντος, κρατοῦντος. ἐπειδὴ δὲ ἔλεγε συνε-
σταύρωμαι, καὶ οὐκέτι ζῶ, ἀλλ' ἀποθανὼν καὶ ἐδόκει πολλοῖς ἀπιθανον λέγειν, ἐπήγαγεν.
» Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ. Τὰ μὲν εἰρημένα μοι φησὶ, περὶ
τῆς νοερᾶς ζωῆς. εἰ δὲ ζῆς ἐξετάζοι, καὶ ταύτην τὴν αἰσθητὴν, καὶ αὖθις τὴν εἰς χριστὸν
μοι πίστιν γέγονεν. ὅσον γὰρ εἰς τὴν παλαιὰν πολιτείαν, καὶ τὸν νόμον, ἐκ τῆς κολάσεως ἄ-
ξιος ἦμην, καὶ πάλαι ἂν ἀπωλώλειν. πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦντο τῆς δόξης τοῦ θεοῦ,
καὶ νῦν τὴν ἀποφασιν ἡμᾶς κειμένους, ἠλευθέρωσεν ὁ χς. καὶ γὰρ οἱ πάντες ἀπέθανον,
εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ ἀποφάσει. καὶ τὴν πληγὴν ἐκδεχομένους, ἀπήλλαξεν.
ἐπειδὴ καὶ ὁ νόμος κατηγόρησε, καὶ ὁ θεὸς ἀπεφήνατο, ἐλθὼν ὁ Χς, καὶ εἰς θάνατον ἑαυ-
τὸν ἐκδυὺς, πάντας ἡμᾶς ἐξήρπασε τοῦ θανάτου. ὥστε ὃ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ. ἐπεὶ
εἰ μὴ ἔζη ὁ Χς, οὐδὲν ἐκώλυσε πάντας ἀφανισθῆναι, ὃ καὶ ἐπὶ τοῦ κατακλυσμοῦ γέγονε.
ἀλλ' ἡ τοῦ χριστοῦ παρουσία φήσασα τοῦ θεοῦ τὴν ὀργὴν, μᾶλλον τῆς πίστεως ζῆν ἡμᾶς ἐποίη-
σεν. ὅτι γὰρ οὕτως φησὶν, ἄκουσον τῶν ἑξῆς. εἰπὼν γὰρ ὅτι ὁ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ, ἐ-
» πήγαγε. Τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ δόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. Τί
ποιεῖς ὦ παῦλε, τὰ κοινὰ σφετερίζόμενος, καὶ τὰ ὑπὲρ τῆς οἰκουμένης γενόμενα ἰδιοποιῶν; οὐ

γὰρ εἶπε

γὰρ εἶπε τὸ ἀγαπήσαν τὸς ἡμᾶς, ἀλλὰ τὸ ἀγαπήσαντός με. καὶ μὴν ὁ βλαγγελιστὴς φησίν. οὕτως ἠγάπησεν ὁ θεὸς τὸν κόσμον. καὶ σὺ δὲ αὐτὸς λέγεις, ὅσγε τὸ ἰδίου γοῦ οὐκ ἐφείσατο, ἀλλ' ἔδωκεν αὐτὸν οὐχ ὑπὲρ σοῦ, ἀλλ' ὑπὲρ πάντων. καὶ πάλιν. ἵνα περιποιήσηται ἑαυτῷ λαὸν περιούσιον. τί οὖν ἔστιν ἐνταῦθα ὃ λέγεις; ἐννοήσας τὴν ἀπόγνωσιν τῆς ἀνθρωπίνης φύσεως, καὶ τὴν ἄφατον τὸ χριστοῦ κηδεμονίαν, καὶ πόνων ἀπήλλαξε, καὶ πένα ἐχαρίσατο, καὶ πυρωθεὶς ὑπὸ τὸ περὶ αὐτὸν πάθους, οὕτω φθέγγεται. ἐπεὶ μὴ οἱ προφῆται τὸν κοινὸν θεὸν ἰδιοποιοῦνται πολλάκις. οὕτω λέγοντες, ὁ θεὸς ὁ θεός μου πρὸς σὲ ὀρθρίζω. καὶ χωρὶς δὲ τούτων δείκνυς, ὅτι ἕκαστον ἡμῶν τοσαύτην δίκαιον ὀφείλειν τῷ χριστῷ χάριν, ὅσην αὖ εἰ καὶ δι' αὐτὸν μόνον ἦλθεν. οὐ γὰρ ἂν παρῃτήσατο, καὶ ὑπὲρ ἑνὸς τοσαύτην οἰκονομίαν ἐπιδείξασθαι. οὕτως ἕκαστον αὐθρωπον τοσούτῳ ἀγάπης μέτρῳ φιλεῖ, ὅσῳ τὴν οἰκουμένην ἅπασαν. ἢ μᾶλλον θυσίας, ὑπὲρ πάσης προσήνεκται τῆς φύσεως, καὶ ἱκανὴ πάντας ἐν σῶσαι. οἱ δὲ τῇ βλασφημίᾳ χρησάμενοι, οἱ πιστεύοντες εἰσὶ μόνοι. ἀλλ' ὅμως οὐκ ἀπέφηνεν αὐτὸν τῆς τοιαύτης οἰκονομίας, τὸ μὴ πάντας προσελθεῖν, ἀλλ' ὅμως τὸ ἄριστον τὸ ἐν τῷ βλαγγελίῳ, πᾶσι μὲν ἐντρέπτω, ἐπειδὴ δὲ οὐκ ἠθέλησαν ἐλθεῖν οἱ κληθέντες, οὐ σωθῆναι τὰ προκείμενα, ἀλλ' ἑτέρους ἐκάλεσεν. οὕτω καὶ ἐνταῦθα πεποίηκε. καὶ γὰρ καὶ τὸ πρόβατον τὸ τῶν ἐνενηκονταεννέα ἀπολωλὸς ἦν, ἐν ἐν, ἀλλ' ὅμως οὐδὲ αὐτῷ κατεφρόνησε. δῆλον δὲ αὐτὸ οὕτω πῶς καὶ πρὸς ἰουδαίους διαλεγόμενος ὁ παῦλος αἰνίττεται λέγων. τί γὰρ εἰ ἠπίστησάν τινες, μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; μὴ γένοιτο. γενέσθω δὲ ὁ θεὸς ἀληθής. πᾶς δὲ ἄνθρωπος ψεύστης. εἶτα αὐτὸς μὲν οὕτως ἠγάπησεν, ὡς καὶ ἑαυτὸν παραδοῦναι, καὶ οὐκ ἔχοντα σωτηρίας ἐλπίδα, εἰς τοσαύτην, καὶ τοιαύτην ζωὴν ἀγαγεῖν. σὺ δὲ μετὰ τοσαῦτα ἀγαθὰ πρὸς τὰ παλαιὰ παλινδρομεῖς; ἐπειδὴ τοίνυν τὰ ἀπὸ τῶν λογισμῶν ἐνέθηκεν ἀκριβῶς, λοιπὸν ἐν ἀποφάσει σφοδρῶς ἀνακηρύττει λέγων. Οὐκ ἀθετῶ τὴν χάριν τοῦ θυ. Ἀκουέτωσαν οἱ ἐξ, καὶ νῦν ἰουδαΐζοντες, καὶ τῷ νόμῳ προσέχοντες. καὶ γὰρ πρὸς ἐκείνους ταῦτα λέγεται. Εἰ γὰρ δι' νόμου δικαιοσύνη, ἄρα χς δωρεὰν ἀπέθανε. Τί ταύτης τῆς ἁμαρτίας χαλεπώτερον; ἢ τῶν ῥημάτων τούτων ἐν πρεπωδέστερον; εἰ γὰρ ἀπέθανεν ὁ χς, δῆλον ὅτι δι' τὸ μὴ ἰσχύειν τὸν νόμον ἡμᾶς δικαιοῦν. εἰ δὲ ὁ νόμος δικαιοῖ, περιττὸς ὁ τοῦ χριστοῦ θάνατος. καὶ πῶς οὐκ ἔχει λόγον πρᾶγμα τοσοῦτον, τοσαύτης γέμον φείκης, καὶ λογισμὸν ἀνθρώπινον ὑπερβαῖνον; καὶ μυστήριον οὕτως ἀπόῤῥητον, ὃ προφῆται μὲν ὤφθησαν, πατριάρχαι δὲ προύλεγον, ἄγγελοι δὲ ἐξεπλήττοντο λέγοντες; κεφάλαιον δὲ τῆς τοῦ θεοῦ κηδεμονίας παρὰ πᾶσιν ὁμολογητέον, τοῦτο εἰκῇ, καὶ μάτην γεγενῆσθαι λέγειν. ἐννοήσας τὴν ὑπερβολὴν τῆς ἀποφάσεως, εἰ τοσοῦτον πρᾶγμα, καὶ τηλικοῦτον περιττῶς λέγοιεν γεγενῆσθαι. τοῦτο γὰρ ἀφ' ὧν ἐπ' οἴσθα σωίζεται, καὶ ὕβρει κατ' αὐτῶν κέχρηται λέγων οὕτως. » Ὦ ἀνόητοι γαλάται, τίς ὑμᾶς ἐβάσκανεν, οἷς κατ' ὀφθαλμοὺς ἰησοῦς χς προεγράφη ἐν » ὑμῖν ἐσταυρωμένος. Ἐνταῦθα λοιπὸν ἐφ' ἕτερον μεταβαίνει κεφάλαιον. ἐν μὲν γὰρ τοῖς προτέροις ἔδειξεν, ὅτι οὐκ ἀνθρώπων ἦν ἀπόστολος, οὐδὲ δι' ἀνθρώπων, οὐδὲ ἐδέήθη τῆς τῶν ἀποστόλων διδασκαλίας. ἐνταῦθα δὲ λοιπὸν ἀξιόπιστον κατασήσας ἑαυτὸν διδάσκαλον, μετὰ πλείονος τῆς αὐθεντίας διαλέγεται, πίστεως καὶ νόμου σύγκρισιν ποιούμενος. ἄρχόμενος μὲν οὖν φησι. θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε. ἐνταῦθα δὲ ὧν ἀνόητοι γαλάται. τότε

του. τότε μὲν γὰρ ὠδύνε τὴν ἀγανάκτησιν. ἐπειδὴ δὲ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπελογήσατο, εἰς μέσον αὖ τὴν ἀπορρήξασ ἐξέωγκε μετὰ τὴν ἀπόδειξιν. εἰ δὲ ἀνοήτους καλεῖ, μὴ θαυμάσῃς. οὐ γὰρ παραβαίνων τὸ χριστοῦ τὸν νόμον τὸν λέγοντα, μὴ λέγειν μωρὸν τὸν ἀδελφὸν αὐτοῦ, ἀλλὰ καὶ σφόδρα αὐτὸν τηρῶν, τοῦτο ποιεῖ. οὐ γὰρ ἁπλῶς εἴρηται ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρὸν, ἀλλ' ὁ εἰκῇ καλῶν. τινὲς δὲ τούτων δικαιότερον αὖ ἔτυχον τούτης τῆς προσηγορείας, οἱ μετὰ τοσαῦτα, καὶ πηλικαῦτα, ὡς οὐδενὸς γενομένου τῶν προτέρων ἐχόμενοι. εἰ δὲ διαπύρως εὑρεσιφήν καλεῖς τὸν παῦλον, καὶ διὰ τὴν σάτυφειραν, καὶ τὸν αὐανίαν, ἀνδροφόνον ἐρεῖς τὸν πέτρον. εἰ δὲ ἐκεῖνα μανίασ εἶναι, πολλῷ μᾶλλον, καὶ τοῦτα. σὺ δέμοι σκόπει πῶς οὐκ ἀπὸ προσοιμίων τούτῃ κέχρηται τῇ σφοδρότητι, ἀλλὰ μετὰ τοὺς ἐλέγχους, καὶ τὰς ἀποδείξεις, ὅτε λοιπὸν οὐ παρ' ἐκείνου, ἀλλὰ παρ' αὐτῶν τῶν ἐλέγχων τὴν ἐπιτίμησιν ἐδέχοντο. ὅτε γὰρ ἔδειξε τὴν πίστιν ἐξωθουμένους, καὶ τὸν θάνατον τοῦ χριστοῦ περιττὸν ἀποφαίνοντας, τότε ἐπάγει τὴν ἐπιτίμησιν, καὶ οὐδὲ τότε καταξίαν. καὶ γὰρ πολλῷ χαλεπωτέρων ἦσαν ἄξιοι ῥημάτων. θέα δέμοι πῶς δυθέως, καὶ καθυφίησι πλήξασ. οὐ γὰρ εἶπε τίς ὑμᾶς ἠπάτησε, τίς ὑμῖν ἀπεχρήσατο, τίς ὑμᾶς παρελογίσατο, ἀλλὰ τίς ὑμᾶς ἐβάσκανεν, οὐκέτι μοιρον τὴν ἐπίπληξιν θεὶς. τοῦτο γὰρ δεικνυμένου ἐστὶν, ὅτι φθόνου ἄξια ἔπραττον πρότερον, καὶ δαίμονος ἐπήρεια τὸ γινόμενον ἦν, σφοδρὸν κατὰ τῆς δυνημερίασ αὐτῶν πνεῦσαντος. ὅταν δὲ φθόνον ἀκούσῃς ἐνταῦθα, καὶ ἐν τῷ διαγγελίῳ ὀφθαλμὸν πονηρὸν τὸ αὐτὸ δηλοῦται, μὴ τοῦτο νομίσῃς, ὅτι ἡ τῶν ὀφθαλμῶν βολὴ τοὺς ὁρῶντας βλάπτειν πέφυκεν. ὀφθαλμὸς γὰρ οὐκ ἂν εἴη πονηρὸς αὐτὸ τὸ μέλος. ἀλλ' ἐνταῦθα ὁ χς, οὕτω τὸν φθόνον λέγει, ὀφθαλμῶν μὲν γὰρ τὸ ἁπλῶς ὁρᾶν μόνον, τὸ δὲ πονηρῶς ὁρᾶν, τῆς ἔνδον διεφθαρμένης γίνεται γνώμης. ἐπειδὴ γὰρ διὰ τῆς αἰσθήσεως ταύτης εἰς τὴν ψυχὴν ἡμῶν εἰσρεῖ τῶν ὁρωμένων ἡ θεωρία, καὶ ὡς ἐπὶ πολὺ ἐν πλούτῳ μάλιστα ὁ φθόνος πίπτεται. ὁ δὲ πλοῦτος ἀπὸ ὀφθαλμῶν ὁρᾶται. καὶ αἱ ἁλωναφεῖαι, καὶ αἱ διορυφοείαι, διὰ τοῦτο πονηρὸν ὀφθαλμὸν ἐκάλεσεν, οὐ τὸν ὁρῶντα, ἀλλὰ τὸν μετὰ βασκανίασ ὁρῶντα ἀπὸ τῆς κατὰ ψυχὴν πονηρίασ. εἰ πὼν δὲ τὶς ὑμᾶς ἐβάσκανε, δείκνυσιν ὅτι οὐχ ὡς κηδεμόνες, οὐδὲ ὡς τὸ λεῖπον ἀναπληροῦντες, ἀλλὰ καὶ τὸ ὂν ἀκρωτηριάζοντες, τοῦτο ποιοῦσι. φθόνου γάρ ἐστιν, οὐ τὸ λεῖπον προσθεῖναι, ἀλλὰ καὶ τῶν πεπληρωμένων ὑφελέσθαι τι, καὶ λυμήνασθαι τῷ παντί. ταῦτα δὲ λέγει, οὐχ ὡς τοῦ φθόνου καθ' ἑαυτὸν ἰσχὺν ἔχοντος, ἀλλ' ὡς τῶν ταῦτα διδασκόντων διὰ βασκανίαν τοῦτο ἐλθόντων. οἷς κατ' ὀφθαλμοὺς ἰησοῦς χς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος. καὶ μὴν οὐκέν τῇ γαλατῶν χώρᾳ, ἀλλ' ἐν ἱεροσολύμοις ἐσταυρώθη. πῶς οὖν φησιν ἐν ὑμῖν; τῆς πίστεως δεικνὺς τὴν ἰσχύν, καὶ τὰ πόρρωθεν διωκομένης ὁρᾶν. καὶ οὐκεῖσε ἐσταυρώθη, ἀλλὰ προεγράφη ἐσταυρωμένος. δηλῶν ὅτι τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἀκριβέστερον ἐθεώρησαν τῶν παρόντων ἐνίων, καὶ τὰ γινόμενα θεωμένων. ἐκείνων μὲν γὰρ πολλοὶ θεασάμενοι, οὐδὲν ἀπώναντο. οὗτοι δὲ ὀφθαλμοφανῶς μὲν οὐκεῖδον, διὰ δὲ τῆς πίστεως ἀκριβέστερον εἶδον. ταῦτα δὲ λέγει ὁμῶς, καὶ καθαιρόμενος αὐτῶν, καὶ ἐπαινῶν. ἐπαινῶν μὲν, ὅτι μετὰ τοσαύτης πληροφορείασ ἐδέξαντο τὸ γεγενημένον. καθαιρόμενος δὲ, ὅτι οὐκεῖδον ὑπὲρ αὐτῶν γυμνωθέντα, ἀνεσκολοπισμένον, προσηλωμένον, ἐμπτυόμενον, κωμῳδούμενον, ποτιζόμενον ὄξος, κατηγορούμενον ὑπὸ λῃστῶν, λόγχῃ νυττόμενον. διὰ δὲ τοῦ

ἐν ὑμῖν προεγράφη

εἰπεῖν προεμαρτύρατο ἐν ὑμῖν ἐσταυρωμένος. Ταῦτα πάντα ἐδήλωσε. Ταῦτην ἀφέντες, καὶ τὴν νόμον ἐδράμομεν, οὐδὲν αὐδεθέντες τῶν παθημάτων ἐκείνων. σὺ δέμοι σπόπει πῶς παντα χοῦ τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλασσαν, τὰ ἄλλα πάντα ἀφεὶς, τὴν δύναμιν ἐκήρυττε τὸ χρι
στοῦ, τὸν σταυρὸν περιφέρων. Ταύτης γὰρ μάλιστα κεφάλαιον τῆς ὑπὲρ ἡμῶν κηδεμονίας ἦν.
» Τοῦτο μόνον θέλω ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως.
Εἶτα διὰ γὰρ τοῖς μικροῖς οὐ παρακολουθεῖτε φησὶν, οὐδὲ τῆς οἰκονομίας τὸ μέγεθος κατα
σκοπεῖσαι βούλεσθε, ἀλλὰ σωτόμως λόγου, καὶ ταχίστης ἀποδείξεως ὑμᾶς τυχεῖσαι βούλο
μαι. ἀνωτέρω μὲν γὰρ ἐκ τῶν πρὸς τὸν πέτρον αὐτῷ λεχθέντων ἔφθεγξεν, ἐνταῦθα δὲ λοι
πὸν πρὸς αὐτοὺς ἀποδύεται, οὐκ ἐκ τῶν ἄλλα χοῦ συμβαίνων, ἀλλ' ἐκ τῶν ἐν αὐτοῖς γινο
μένων κατασκευάζων ἅπαντα, καὶ οὐκέτι μόνον ἀπὸ τῶν κοινῇ δεδομένων, ἀλλὰ καὶ ἐκ τῶν
αὐτοῖς ἰδίᾳ δεδωρημένων, πείθων καὶ ποιούμενος τὴν ἀπόδειξιν. διόφησι. Ταῦτα μόνον θέλω
μαθεῖν ἀφ' ὑμῶν ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως. ἐλάβετε πνεῦμα ἄ-
γιον φῆ. εἰργάσασθε δυνάμεις πολλάς, ἐνεπελέσατε σημεῖα, νεκροὺς ἐγείροντες, λεπρούς
καθαίροντες, προφητεύοντες, γλώσσαις λαλοῦντες. Ταύτην οὖν τὴν τοσαύτην ἰσχὺν ἔδω
κεν ὑμῖν ὁ νόμος; καὶ μὴν οὐδὲν πρότερον ἐποιεῖτε τοιοῦτον. ἀλλ' ἡ πίστις; πῶς οὖν οὐκ ἐχά-
τησε μανίας τοσαῦτα παρὰ τῆς πίστεως δυνηθέντας, ταύτην μὲν ἀφεῖναι, πρὸς δὲ τὸν
» οὐδὲν τοιοῦτον παρακόντα νόμον αὖ τραπῆναι πάλιν. Οὕτως ἀνόητοι ἐστε, ἀναρξά-
» μενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε. Πάλιν δικαίως τὴν ὕβριν ἐπήγαγε. δέον γάρ
φησι προσθήκην ποιῆσαι τοῦ χρόνου προϊόντος, οὐ μόνον οὐκ ἐπεδώκατε, ἀλλὰ καὶ εἰς τοὐ
πίσω κατηνέχθητε πάλιν. οἱ γὰρ ἀπὸ τῶν μικρῶν ἀρχόμενοι, προϊόντες ἐπὶ τὰ μείζονα ἀνα
βαίνουσιν. ὑμεῖς δὲ ἀπὸ τῶν μεγάλων ἀρξάμενοι, πρὸς τὰ ἐναντία κατηνέχθητε. εἰ γὰρ
καὶ ἀπὸ σαρκικῶν ἤρξασθε, ἔδει εἰς τὰ πνευματικὰ προκόψαι. νῦν δὲ ἀπὸ πνευματικῶν
ἀρξάμενοι, εἰς τὰ σαρκικὰ κατελύσατε. τὸ μὲν γὰρ σημεῖα ποιεῖν, πνευματικόν, τὸ δὲ περιτέ-
μνεσθαι, σαρκικόν. ὑμεῖς δὲ μετὰ τὰ σημεῖα, ἐπὶ τὴν περιτομὴν ἤλθετε, μετὰ τὸ δράξασθαι
τῆς ἀληθείας, ἐπὶ τοὺς τύπους κατεπέσετε, μετὰ τὸ κατοπτεύσαι τὸν ἥλιον, τὸν λύχνον ἐπι-
ζητεῖτε, μετὰ τὴν σοφίαν τερφνὰ, ἐπὶ τὰ γάλα τρέχετε. καὶ οὐκέτι σαρκὶ τελεῖσθε, ἀλλὰ
σαρκὶ ἐπιτελεῖσθε, δεικνὺς ὅτι δίκην θρεμμάτων ἀλόγων, λαβόντες αὐτοὺς ἐκεῖνοι κατέκο
πτον, τούτων ἑαυτοὺς ἐκδιδόντων εἰς τὸ πάσχειν ἅπερ ἐβούλοντο ἐκεῖνοι, ὥσπερ αὖ τις ἀπὸ
θρεπτηγῶν, καὶ ἀριστέων μετὰ μυεία τρέφοιτο, καὶ νίκας εἰς τὴν τῶν λειποτακτῶν δουὺς ἑαυ
» τὸν ἀτιμίαν, κατασφάζειν παρέχει τοῖς βουλομένοις τὸ σῶμα. Τοσαῦτα ἐπάθετε εἰκῇ εἴγε
» καὶ εἰκῇ. Τοῦτο τὸ προτέρου πολὺ πλημμελέστερον. οὐ γὰρ οὕτως ἠδύνατο τῶν σημείων
ἀναμνησις, ὡς ἡ τῶν ἀγώνων ἐπίδειξις, καὶ ἡ τῶν παθῶν ὑπομονὴ τῶν δὲ χριστόν. πάντα γὰρ
ἐκεῖνα φησὶν ἅπερ ὑπεμείνατε ζημιῶσαι ὑμᾶς οὕτω βούλονται, καὶ τὸν στέφανον ὑμῶν ἁρ-
πάσαι. εἶτα ἵνα μὴ κατασείσῃ αὐτῶν τὴν ψυχὴν, καὶ ἐκλύσῃ τὰ νεῦρα, οὐκ ἐμεινεν ἕως τῆς
ἀποφάσεως, ἀλλ' ἐπήγαγεν, εἴγε καὶ εἰκῇ. εἰ γὰρ βουληθείητέ φησιν ἀναννῆψαι, καὶ ἀνακτή-
σασθαι ἑαυτούς, οὐκ εἰκῇ. ποῦ νῦν εἰσιν οἱ τὴν μετάνοιαν ἐκπόνοντες; ἰδοὺ γὰρ οὗτοι καὶ
πνεῦμα ἔλαβον, καὶ σημεῖα εἰργάσαντο, καὶ ὡμολογηταὶ ἐγένοντο. μυεῖους δὲ τὸν χριστὸν
ὑπομείναντες κινδύνους, καὶ διωγμοὺς, καὶ μετὰ τοσαῦτα κατορθώματα τῆς χάριτος ἐξέ-

» ωτερον. ἀλλ' ὅμως φησὶν ἐὰν βούλησθε, δύνασθε ἑαυτοὺς ἀνακτήσασθαι. Ὁ οὖν ἐπι-
» χορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου, ἢ ἐξ ἀκοῆς πίστεως;
Τοσαύτης φησὶν ἠξιώθητε δωρεᾶς, καὶ θαύματα ἐπετελέσατε τοσαῦτα, ὅπ νόμον ἐφυ-
λάξατε, ἢ ὅπ πίστιν ἐτηρήσατε; δηλονότι διὰ τὴν πίστιν. Ἐπειδὴ γὰρ ἄνω, καὶ κάτω τοῦ-
το ἔφερεν, καὶ περιέφερον ἐκεῖνοι λέγοντες, ὅπ οὐκ ἔχει ἡ πίστις ἰσχύν, τῷ νόμῳ μὴ προσκει-
μένου, δείκνυσι τὸ ἐναντίον, ὅπ τῶν ἐντολῶν προστεθεισῶν, οὐδὲν ἡ πίστις ὠφελήσει λοι-
πόν. ἡ γὰρ πίστις τότε ἰσχύει, ὅταν μὴ προστεθῇ ἀπὸ τοῦ νόμου. ὅσοι γὰρ ἐν νόμῳ δικαιοῦσθε
φησὶ, τῆς χάριτος ἐξεπέσετε. ἀλλὰ οὐκ ἔστιν· προϊὼν φησὶν, ὅτε καὶ μείζονι κέχρηται παῤ-
ρησίᾳ, ἀπὸ τῶν ἤδη κατεσκευασμένων τὴν ἀφορμὴν λαμβάνων. τέως δὲ ἀπὸ τῶν πα-
ρελθόντων τὴν ἀφορμὴν κατασκευάζει. ὅτε γάρ φησιν οὐ προσείχετε τῷ νόμῳ, ἀλλὰ τῇ
πίστει, τότε τὸ πνεῦμα ἐλάβετε, καὶ τὰ σημεῖα ἐπετελέσατε. εἶτα ἐπειδὴ περὶ νόμου ὁ
λόγος ἦν, καὶ ἕτερον ἐπάγει τόπον ἀγωνιστικώτατον, τὸν Ἀβραὰμ εἰς μέσον ἄγων, καὶ σφό-
» δρα δικαίρως, καὶ μετὰ πολλῆς τῆς παρουσίας οὕτω λέγων. Καθὼς Ἀβραὰμ ἐπί-
» στευσε τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Δηλοῖ μὲν γάρ φησι τῆς πίστεως
τὴν δύναμιν, καὶ τὰ ὑφ' ἡμῶν γενόμενα θαύματα, εἰ δὲ βούλεσθε, καὶ ἐκ παλαιῶν ὑμᾶς
πείσαιμι διηγημάτων. Ἐπειδὴ γὰρ πολὺς τοῦ πατριάρχου λόγος ἦν παρ' αὐτοῖς, ἄγει καὶ
αὐτὸν εἰς μέσον, καὶ δείκνυσι καὶ αὐτὸν οὕτω δικαιωθέντα. εἰ δὲ ὁ πρὸ τῆς χάριτος ἀπὸ
πίστεως ἐδικαιώθη, καὶ τοιγε καὶ ἐν ἔργοις κομῶν, πολλῷ μᾶλλον ὑμεῖς. τί γὰρ ἐκεῖνος ἐ-
βλάβη μὴ γενόμενος ὑπὸ νόμον; οὐδέν, ἀλλ' ἤρκεσεν ἡ πίστις εἰς δικαιοσύνην αὐτῷ. οὐδὲ
γὰρ ἦν νόμος τότε φησίν. οὐδὲ γὰρ ναῦς ἔστι νόμος, ὥσπερ οὐδὲ τότε. διὰ γὰρ ἄνωθεν ἀνελὼν
τοῦ νόμου τὴν χρείαν, τότε τὸν πρὸ τοῦ νόμου δικαιωθέντα εἰσήγαγεν, ἵνα μὴ ταύτην δέξη-
ται τὴν ἀντίθεσιν. ὥσπερ γὰρ τότε οὐδέπω δοθεὶς ἦν, οὕτω καὶ ναῦς δοθεὶς πέπαυται.
εἶτα ἐπειδὴ μέγα ἐφρόνουν τῷ ἐξ Ἀβραὰμ γεγενῆσθαι, καὶ ἐδεδίκεισαν, μὴ τὸν νόμον
ἀφέντες ἀλλοτριωθῶσι τῆς ἐκείνου συγγενείας, καὶ πάλιν εἰς τὸ ἐναντίον περιτρέ-
πει, καὶ λύει τὸν φόβον ὁ παῦλος, δεικνὺς ὅπ τὴν πρὸς ἐκεῖνον ἀγχιστείαν μάλιστα ἡ πίστις
ἐργάζεται. καὶ ἔστι σαφέστερον μὲν ἐν τῇ πρὸς ῥωμαίους κατεσκεύασεν, οὐχ ἧττον δὲ
» αὐτὸ καὶ ἐν ταύτῃ ἐργάζεται, λέγων οὕτως. Γινώσκετε ἄρα, ὅπ οἱ ἐκ πίστεως οὗτοι
» υἱοί εἰσιν Ἀβραάμ. Εἶτα καὶ αὐτὸ ἔστι ἀπὸ μαρτυρίας σωίσησι παλαιᾶς. Προϊ-
» δοῦσα γάρ φησιν ἡ γραφὴ, ὅπ ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεὸς, προευηγγελίσατο τῷ Ἀ-
» βραὰμ, ὅτι ἐν σοὶ εὐλογηθήσονται πάντα τὰ ἔθνη. Εἰ τοίνυν οὐχ οἱ τὴν φυσικὴν ἔχον
τες πρὸς αὐτὸν συγγένειαν οὗτοί εἰσιν υἱοί, ἀλλ' οἱ τὴν πίστιν ἐκείνου μιμησάμενοι. ἔστι γάρ
ὅτε ἐν σοὶ τὰ ἔθνη. δηλονότι εἰς ταύτην εἰσάγεται τὴν συγγένειαν. διὰ δὴ τούτων, καὶ
ἕτερον δείκνυται μέγα. Ἐπειδὴ γὰρ αὐτοὺς ἐθορύβει τὸν νόμον ἀρχαιότερον εἶναι, τὴν δὲ
πίστιν μετὰ τὸν νόμον, καὶ ταύτην αὐτῶν ἀναιρεῖ τὴν ὕβριν, δεικνὺς ὅτι τοῦ νόμου πρε-
σβυτέρα ἡ πίστις, καὶ ἔστι δῆλον ἀπὸ τοῦ Ἀβραάμ. πρὶν γὰρ φανῆναι τὸν νόμον, ἐκεῖνος
ἐδικαιώθη. δείκνυσι δὲ ὅπ καὶ τὰ ναῦς γενόμενα, κατὰ προφητείαν ἐγένετο. προϊδοῦσα
γάρ φησιν ἡ γραφὴ, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεὸς, οὐκ ἐκ τοῦ νόμου, προευηγγελίσατο
τῷ Ἀβραάμ. τί δέ ἔστιν; αὐτὸς ὁ τὸν νόμον δεδυσφησι, καὶ πρὶν τὸν νόμον ἔστιν δοῦ-
ναι, ἔστιν

ναι, ὅθεν ἰὼν ὁ εἷσας, ἐκ πίστεως δικαιωθῆναι τὰ ἔθνη. καὶ οὐκέτι τὸν ἀπεκάλυψεν, ἀλλ' ὑπήγγε
λίσατο, ἵνα μάθῃς, ὅτι μὴ ὁ πατριάρχης τούτῳ τῷ τρόπῳ τῆς δικαιοσύνης ἔχαιρε, μὴ σφό-
δρα ἐπόθει ὅθεν ἐκβιῶναι. Ὅτι δὲ καὶ φόβος καὶ αὐτοὺς ἕτερος, γέγραπται γάρ· ἐπικατά-
ρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου τοῦ ποιῆ
σαι αὐτά, καὶ ὅθεν διαλύει τὸ δέος σοφῶς, μὴ σωθῆναι πάλιν εἰς τὸ ἀνάπτιον αὐτὸ περιτρέ-
πων, καὶ δεικνὺς ὅτι οὐ μόνον οὐκ εἰσὶν ἐπικατάρατοι οἱ τὸν νόμον ἀφέντες, ἀλλὰ καὶ εὐλογη-
μένοι. οἱ δὲ κατέχοντες, οὐ μόνον οὐκ εὐλογημένοι, ἀλλὰ καὶ ἐπικατάρατοι. ἐκεῖνοι μὲν γὰρ ἔλε
γον, ὅτι ὁ μὴ τηρῶν τὸν νόμον ἐπικατάρατος, ὁ δὲ τηρῶν εὐλογημένος. ἐκεῖνοι πάλιν ἔλεγον, ὅτι
ὁ τῇ πίστει μόνῃ προσέχων, ἐπικατάρατος. οὗτος δὲ δείκνυσιν, ὅτι ὁ τῇ πίστει προσέχων μόνῃ, εὐ-
λογημένος. πῶς οὖν ταῦτα πάντα δείκνυσιν; οὐ γὰρ τὸ τυχὸν ἐπηγγειλάμεθα. διὸ χρὴ καὶ
μετὰ ἀκριβείας προσέχειν τοῖς ἐξῆς. ἔδειξε μὲν γὰρ μὴ ἔμπροσθεν ὅθεν εἰπών, ὅτι ἡ γραφὴ εἶπε
τῷ πατριάρχῃ, ὅτι ἐν σοὶ εὐλογηθήσονται πάντα τὰ ἔθνη. τότε δὲ νόμος οὐκ ἦν, ἀλλὰ πίστις.
» διὸ μὴ συλλογιζόμενος, ἐπήγαγεν. Ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.
Ἵνα δὲ μὴ ὅθεν εἰς ἀντίθεσιν λάβωσι, καὶ εἴπωσιν· εἰκότως ἀπὸ πίστεως ἐδικαιώθη. οὕτω
γὰρ ἦν νόμος· σὺ δέμοι δεῖξον μὴ τὴν τοῦ νόμου θέσιν ἢ πίστιν δικαιοῦσαν. ταῦτα ὅθεν ἔρχεται,
καὶ πλέον ὧν ζητοῦσιν ἐπιδείκνυσιν, οὐχὶ δικαιοῦσαν μόνον ἡ πίστιν, ἀλλὰ μὴ τὸν νόμον ἐπικατα
ράτους τοὺς χρωμένους αὐτῷ τοιούτους. καὶ ἵνα ταῦτα μάθῃς, αὐτῶν ἄκουσον τῶν ἀποστο-
» λικῶν ῥημάτων. Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσίν, ὑπὸ κατάραν εἰσίν. Ἀλλὰ ὅθεν ἀπό
φασις, οὐδέπω ἡ ἀπόδειξιν ἔχουσα. τίς οὖν ἡ ἀπόδειξις; ἐξ αὐτοῦ τοῦ νόμου, ἐπικατάρατος
γὰρ πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου τοῦ ποιῆσαι
αὐτά. ὅτι δὲ ἐν νόμῳ, οὐ δικαιοῦται, παντὶ που δῆλον. πάντες γὰρ ἥμαρτον, καὶ ὑπὸ κατά-
ραν εἰσίν, ἀλλ' οὕτω μὲν οὐ λέγει, ἵνα μὴ δόξῃ αὐτὸς ἀποφαίνεσθαι. πάλιν δὲ ἀπὸ μαρτυ-
είας αὐτὸ σωίστησιν, ἀμφότερα ἐχούσης ἐν βραχεῖ, καὶ ὅτι νόμον οὐδεὶς ἐπλήρωσε. διὸ μὴ ἐπι
κατάρατοι ἦσαν, καὶ ὅτι ἡ πίστις δικαιοῖ. τίς οὖν ἡ μαρτυρία; ἀπὸ τοῦ προφήτου ἀββακούμ
οὕτω λέγοντος. ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. ὅθεν γὰρ οὐ τὴν ἐκ πίστεως δείκνυσι δικαιοσύνην
μόνον, ἀλλ' ὅτι καὶ ἀπὸ νόμου σωθῆναι οὐκ ἔνι. Ὅτι δὲ νόμον φησὶν οὐδεὶς ἐτήρησεν, ἀλλὰ
πάντες ἦσαν ὑπὸ τὴν ἀρὰν ἀπὸ τὴν παράβασιν, ἐνενοήθη ῥᾳδίως ὁδὸς ἡ ἀπὸ τῆς πίστεως.
ὅπερ καὶ σημεῖον μέγιστόν ἐστι τοῦ μηδένα δύνασθαι δικαιωθῆναι ἐκ τοῦ νόμου. οὐ γὰρ εἶπεν
ὁ προφήτης, ὁ δὲ δίκαιος ἐκ νόμου ζήσεται, ἀλλ' ἐκ πίστεως. ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ' ὁ
ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς. οὐ γὰρ πίστιν ἐπιζητεῖ μόνον ὁ νόμος φύσει, ἀλλὰ μὴ ἔργα. εἴδες
πῶς ἔδειξεν ὅτι οἱ τῷ νόμῳ προσέχοντες ἀδύνατον εἶναι πληρωθῆναι, ὑπὸ κατά-
ραν ἐγένοντο; πῶς δὲ καὶ ἡ πίστις ταύτην ἔχει τὴν ἰσχὺν τοῦ δικαιοῦν; ταῦτα γὰρ ἔμπροσθεν
ἐπηγγείλατο, καὶ μὴ πολλῆς αὐτὰ παρεσκεύασε τῆς ἰσχύος. Ἐπειδὴ γὰρ ἠθέλησε πρὸς δι-
καιοσύνην ὁ νόμος τὸν ἄνθρωπον ἀγαγεῖν, εὑρέθη φάρμακον, οὐ μικρὸν ἡ πίστις, τὸ ἀδύνατον τοῦ
τοῦ νόμου ποιοῦσα, δυνατὸν δι' αὐτῆς. εἰ πίνω, καὶ ἡ γραφή λέγει, ὅτι ὁ δίκαιος ἐκ πίστεως ζή-
σεται, ἀπογνώσει θεὸς τὴν διὰ τοῦ νόμου σωτηρίαν, καὶ ὁ Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη, δῆ
λον ὅτι τῆς πίστεως πολλὴ ἡ ἰσχύς. ἀλλ' ὅτι μὲν ὁ μὴ ἐμμένων τῷ νόμῳ ἐπικατάρατος, καὶ ὅτι
ὁ τῇ πίστει προσέχων δίκαιος, δῆλον. ὅτι δὲ οὐκ ἔφθασεν ἐπ' ἐκείνῃ ἡ κατάρα, πόθεν ἔχεις ἀπο-

δεῖξαι ἡμῖν φησιν. ὁ μὲν γὰρ ἀβραὰμ, πρὸ τοῦ νόμου ἦν. ἡμεῖς δὲ ἅπαξ ὑπὸ τὸν ζυγὸν γενόμενοι τῆς δουλείας, ὑπευθύνους ἑαυτοὺς κατεστήσαμεν τῇ κατάρᾳ. τίς οὖν ὁ τὴν κατάραν λύσας ἐκείνῳ; πρὸς τοῦτο ὅρα πῶς ἅπαντα τάχεως. ἱκανὰ μὲν γὰρ καὶ τὰ εἰρημένα. ὁ γὰρ δικαιωθεὶς ἅπαξ, καὶ ἀποθανὼν τῷ νόμῳ, καὶ ζωῆς ἐπιλαβόμενος ξένης, πῶς αὖ ὑπεύθυνος εἴη τῇ ἀρᾷ; πλὴν ἀλλ' οὐκ ἀρκεῖται τούτοις, ἀλλὰ καὶ ἑτέρως ἀγωνίζεται
» μέφων. Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατά-
» ρα. γέγραπται γὰρ ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. Καὶ μὴν ἑτέρᾳ ὁ λαὸς ὑπεύθυνος ἦν τῇ λεγούσῃ, ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου. καὶ τί δήτα; ὁ μὲν γὰρ λαὸς ὑπεύθυνος ἦν. οὐ γὰρ ἐνέμεινεν, οὐδὲ ἦν ὡς ὁ πεπληρωκὼς τὸν νόμον ἅπαντα. ὁ δὲ χριστὸς ἑτέραν κατάραν ταύτης ἀλλάξας τὴν λέγουσαν ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. ἐπεὶ οὖν καὶ ὁ κρεμάμενος ἐπὶ ξύλου ἐπικατάρατος, καὶ ὁ τὸν νόμον παραβαίνων ἐπικατάρατος. μέλλοντα δὲ ἐκείνῳ λύειν τὴν κατάραν ὑπεύθυνον οὐκ ἔδει γενέσθαι αὐτῆς. δεῖ δὲ δέξασθαι κατάραν αὐτ' ἐκείνης. τοιαύτην ἐδέξατο, καὶ δι' αὐτῆς ἐκείνῳ ἔλυσε. καὶ καθάπερ ζωὴς καταδικασθέντος ἀποθανεῖν, ἕτερος ἀνυπεύθυνος ἑλόμενος θανεῖν ὑπὲρ ἐκείνου ἐξαρπάζει τῆς τιμωρίας αὐτὸν, οὕτως καὶ ὁ χριστὸς ἐποίησεν. ἐπειδὴ γὰρ οὐχ ὑπῆκεν κατάρᾳ τῇ τῆς παραβάσεως, ἀνεδέξατο ὁ χριστὸς αὐτ' ἐκείνης ταύτην, ἵνα λύσῃ τὴν ἐκείνων ἁμαρτίαν. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. ὥσπερ οὖν ἀποθανὼν τοὺς ἀποθνήσκειν μέλλοντας
» ἐξείλετο θανάτου, οὕτως καὶ κατάραν δεξάμενος, τῆς κατάρας ἀπήλλαξεν. Ἵνα
» εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ ἀβραὰμ γένηται. Πῶς εἰς τὰ ἔθνη; ἐν τῷ σπέρματί σου φησὶν εὐλογηθήσονται πάντα τὰ ἔθνη, τουτέστιν ἐν τῷ χριστῷ. εἰ δὲ περὶ ἰουδαίων δῆτα ἐλέγετο, πῶς αὖ ἔχοι λόγον τοὺς ὑπευθύνους ὄντας τῇ κατάρᾳ διὰ τὴν παράβασιν, τούτους ἑτέροις εὐλογίας αἰτίους γενέσθαι; οὐδεὶς γὰρ τῶν κατηραμένων ἑτέρῳ μεταδίδωσιν εὐλογίας ἧς αὐτὸς ἀπεστέρηται. ὅθεν δηλονότι περὶ τοῦ χριστοῦ τὸ πᾶν εἴρηται. αὐτὸς γὰρ ὢν σπέρμα τοῦ ἀβραὰμ, καὶ δι' αὐτοῦ τὰ ἔθνη εὐλογοῦνται, καὶ οὕτω πρόσεισιν ἡ τοῦ πνεύματος ἐπαγγελία. ὅπερ καὶ αὐτὸ δηλῶν ἔλεγεν, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωσι διὰ τῆς πίστεως. ἐπειδὴ γὰρ οὐκ ἦν τὴν χάριν τοῦ πνεύματος εἰς ἀχάριστον, καὶ προσκεκρουκότα ἐλθεῖν, εὐλογοῦνται πρῶτον τῆς κατάρας ἀφαιρεθείσης. εἶτα διὰ τῆς πίστεως δικαιωθέντες, ἐπιτυγχάνονται τοῦ πνεύματος τὴν χάριν, ὥστε ὁ μὲν σταυρὸς, τὴν κατάραν ἔλυσεν. ἡ δὲ πίστις, τὴν δικαιοσύνην εἰσήγαγεν. ἡ δὲ δικαιοσύνη, τοῦ πνεύματος τὴν χάριν ἐπεποίησατο. Ἀδελφοὶ κατὰ ἄνθρωπον λέγω. ὅμως ἀνθρώπου προ-
» κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ, ἢ ἐπιδιατάσσεται. Τί δῆτα κατὰ ἄνθρωπον λέγω; ἐξ ἀνθρωπίνων παραδειγμάτων. ἐπειδὴ γὰρ καὶ ἀπὸ γραφῶν, καὶ ἀπὸ τῶν παρ' αὐτοῖς γινομένων θαυμάτων, καὶ ἀφ' ὧν ὁ χριστὸς ἔπαθε τὸν λόγον συνέστησε, καὶ ἀπὸ τοῦ πατριάρχου, καὶ εἰς ἓν κοινὸν λοιπὸν ἐκβαίνει συνήθειαν. ἔθος γὰρ αὐτῷ ἀεὶ δῆτα ποιεῖν, ὥστε καὶ καταγλυκαίνειν τὸν λόγον, καὶ δυσπαράδεκτόν τε, καὶ δυσπαθέστερον τοῖς πατρίοις ποιεῖν, οὕτω καὶ κοσμικοῖς διαλεγόμενος, φησίν. τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει;

καὶ ἑβραίοις

καὶ ἑβραίοις πάλιν. διαθήκην γὰρ τὴν παλαιὰν βεβαίαν. ὅπου μή ποτε ἰσχύει, ὅταν ζῇ ὁ διαθέμενος. καὶ πολλαχοῦ δὲ αὐτὴν οὗτοι τούτοις αὐτὴν ἐμφιλοχωροῦντα τοῖς λογισμοῖς. καὶ γὰρ ὁ θεὸς ἐν τῇ παλαιᾷ συνεχῶς αὐτὸ ποιεῖ, οὕτω λέγων. μὴ ἐπιλήσονται γυναικὸς παιδίου αὐτῆς; καὶ πάλιν. μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι τί ποιεῖς; καὶ ἐν τῷ ὡσεὴ ἀνδρὸς μοιχᾶται καταφρονούμενον ὑπὸ τῆς γυναικός. καὶ ἐν τοῖς τύποις δὲ πολὺ τῶν ἀνθρωπίνων παραδειγμάτων, ἴδοις ἄν, ὡς ὅταν τὸ περίζωμα ὁ προφήτης λαμβάνῃ, καὶ εἰς τὸν οἰκίσκον τοῦ κεραμέως κατίει. τί οὖν αὐτῷ τὸ ὑπόδειγμα βούλεται; ὅτι ἡ μὲν πίστις ἀρχαιοτέρα ἦν, ὁ δὲ νόμος νεώτερός τε, καὶ πρόσκαιρος, καὶ διαθήκῃ δεδομένος, ἵνα προσδοποιήσῃ τὴν πίστει, διόφησιν. ἀδελφοὶ κατὰ ἄνθρωπον λέγω. ἀνωτέρω ἀνοήτους εἰπών, ἐνταῦθα ἀδελφοὺς καλεῖ, ὑπισχνούμενος ὁμοῦ, καὶ παραμυθούμενος. ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην. ἐὰν ἄνθρωπος φησὶ διάθηται, μὴ πολλαχῆς ἀναιρεῖται μεταξὺ τὰ ἐλθόν, ἢ προσεπιτάττει τι; οὐδὲν γάρ ἐστιν, ἢ ὑπισχνούμενον
» ται. οὐκοῦν μᾶλλον ἐπὶ τοῦ θεοῦ. καὶ πρὸς τίνα διέθετο ὁ θεός; Τῷ ἀβραὰμ ἐρρήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. Οὐ λέγει, καὶ τοῖς σπέρμασιν αὐτοῦ, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, καὶ τῷ σπέρματί σου, ὅ ἐστι χριστός.
» Τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ θεοῦ εἰς χριστὸν, ὁ μετὰ τετρακόσια, καὶ τριάκοντα ἔτη γενομὸς νόμος, οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας. τῷ δὲ ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ θεός. Ἰδοὺ τοίνυν, καὶ ὁ θεὸς διέθετο τῷ ἀβραὰμ διαλεγόμενος εἰς τὰ ἔθνη, ἐν τῷ σπέρματί σου ἤξειν τὰς εὐλογίας. πῶς οὖν ὁ νόμος ἀναιρεῖται δύναται ταύτας; Ἐπειδὴ δὲ τὸ παράδειγμα ἅπαν οὐκ ἴσχυσεν ἐλκύσαι πρὸς τὸ ὑποκείμενον, καὶ διαθήκην προεῖπεν κατὰ ἄνθρωπον λέγω, μηδὲν ἀπὸ τοῦ παραδείγματος εἰς τὴν τοῦ θεοῦ μεγαλοπρέπειαν λάβῃς. σπόσον δὲ οὖν ὑπόδειγμα, ἐπηγγείλατο τῷ ἀβραὰμ καὶ τοῦ σπέρματος αὐτοῦ εὐλογεῖσθαι τὰ ἔθνη. σπέρμα δὲ αὐτοῦ κατὰ σάρκα ἐστὶν ὁ χριστός. ἦλθε μετὰ τετρακόσια, καὶ τριάκοντα ἔτη ὁ νόμος. εἰ τοίνυν ὁ νόμος χαρίζεται τὰς εὐλογίας, καὶ τὴν ζωὴν, καὶ τὴν δικαιοσύνην, ἡ ἐπαγγελία ἐκείνη ἄκυρος ἦν, εἴτα ἀνθρώπου μὲν οὐδεὶς ἀκυροῖ διαθήκην, τοῦ δὲ θεοῦ μετὰ τετρακόσια, καὶ τριάκοντα ἔτη ἀκυροῦται ἡ διαθήκη; εἰ γὰρ ἃ ἐπηγγείλατο ἐκείνη, οὐκ ἐκείνη δὲ δίδωσιν, ἀλλ' ἕτερος αὐτὴ ἐκείνης, ἐνέβλητται ἐκείνη. καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον; Τίνος οὖν ἕνεκεν τὸν νόμον ἔδωκε
» φησι; τῶν παραβάσεων χάριν. οὐδὲ γὰρ οὗτος ἐστὶ περιττός. Ὁρᾷς πῶς πάντα συνορᾷς; πῶς μυρίοις κέχρηται ὀφθαλμοῖς; ἐπειδὴ γὰρ τὴν πίστιν ἐπῆρε, καὶ πρεσβυτέραν ἔδειξεν, ἵνα μήτις νομίσῃ περιττὸν τὸν νόμον, καὶ ἐνταῦθα διορθοῦται τὸ μέρος, δεικνὺς ὅτι οὐκεικῆ, ἀλλὰ πάνυ χρησίμως ἐδόθη, τῶν παραβάσεων χάριν, τοῦτ' ἔστιν ἵνα μὴ ἐξῇ ἡδέως τοῖς ἀδικοῦσιν ἀδεῶς ζῆν, καὶ εἰς ἕκαστον ἐξολισθαίνειν κακίας, ἀλλ' ἀντὶ χαλινοῦ, ὁ νόμος αὐτοῖς ἐπικείμενος ἦ, τοὺς ἀδεῶς, ῥυθμίζων, κωλύων παραβαίνειν, εἰ καὶ μὴ πάσας, ἀλλ' ὅμως καὶ ἐνίας τῶν συντελῶν, ὥστε οὐ μικρὸν τὸ κέρδος τοῦ νόμου. ἀλλ' ἄχρι τίνος; Ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ὡς ἐπήγγελται. Περὶ χριστοῦ λέγων. εἰ τοίνυν μέχρι τῆς τοῦ χριστοῦ παρουσίας δέδοται, τί περαιτέρω, καὶ παρὰ καιρὸν αὐτὸν ἕλκεις; Διατάγεις δι' ἀγγέλων ἐν χειρὶ μεσίτου.

» μεσίτου. Ἢ τοὺς ἱερέας ἀγγέλους καλεῖ, ἢ καὶ αὐτοὺς τοὺς ἀγγέλους ὑπηρετήσασθαι φησὶ τῇ νομοθεσίᾳ. μεσίτην δὲ ἀνεζωῦσθαι τὸν χριστόφησι, δεικνὺς ὅτι προλῶ, καὶ τὸν νόμον
» αὐτὸς ἔδωκεν. Ὁ δὲ μεσίτης, ἑνὸς οὐκ ἔστιν, ὁ δὲ θεὸς, εἷς ἐστι. Τί οὖν ἀνεζωῦσθαι εἰποιεν αἱρετικοί; εἰ γὰρ τὸ μόνος ἀληθινὸς οὐκ ἀφίησι τὸν υἱὸν εἶναι θεὸν ἀληθινόν, οὐκ ἄρα οὐδὲ θεόν, ἀλλὰ τὸ λέγεσθαι ὁ δὲ θεὸς εἷς ἐστιν. εἰ δὲ ἑνὸς λεγομένου θεοῦ τοῦ πατρὸς. ἐστι θεὸς καὶ ὁ υἱός, δῆλον ὅτι καὶ ἀληθινοῦ λεγομένου μόνου τοῦ πατρὸς, ἀληθινὸς καὶ ὁ υἱός. ὁ δὲ μεσίτης φησὶ, δύο τινῶν γίνεται μεσίτης. τίνος οὖν μεσίτης ἦν ὁ χριστός; ἢ δηλονότι θεοῦ καὶ ἀνθρώπων. ὁρᾷς πῶς δείκνυσιν, ὅτι καὶ τὸν νόμον αὐτὸς ἔδωκεν; εἰ τοίνυν αὐτὸς ἔδωκε, κύριος αὖ εἴη, καὶ λῦσαι πάλιν. Ὁ οὖν νόμος μετὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ.
Εἰ γὰρ ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη, ὁ δὲ νόμος κατάραν εἰσάγει, ἆρα κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ. πῶς οὖν λύει τὴν ἀντίθεσιν; πρῶτον μὲν ἀπαγορεύει
» εἰπών. Μὴ γένοιτο. Ἔπειτα καὶ κατασκευάζει οὕτω λέγων. Εἰ γὰρ ἐδόθη νόμος
» ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν, ἡ δικαιοσύνη. Οὐ δὲ λέγει, οὐδαμοῦ ἔστιν. εἰ μὲν ἐν αὐτῷ φησι τὴν ἐλπίδα τῆς ζωῆς εἴχομεν, καὶ αὐτὸς ἦν ὁ τὸ κῦρος ἔχων τῆς ἡμετέρας σωτηρίας, ἴσως ἂν οὕτω καλῶς ἔλεγε. εἰ δὲ ἀπὸ πίστεως σώζει, κἂν ἐπικαταράτους ποιῇ, οὐδὲν ἐμπλέκεται ἐρχομένης ἐκείνης, καὶ πάντα λυούσης. εἰ μὲν γὰρ διὰ ἐκείνους ἡ ἐπαγγελία, εἰκότως ἐδέδοικεις, μὴ τῆς δικαιοσύνης ἐκπίπτωσιν ἐκπίπτων τὸν νόμον. εἰ δὲ διαζῶσι ἐδόθη, ἵνα συγκλείσῃ πάντας, τουτέστιν ἵνα ἐλέγξῃ, καὶ δείξῃ τὰ οἰκεῖα αὐτῶν πλημμελήματα, οὐ μόνον οὐ κωλύεισε τὸν τυχεῖν τῆς ἐπαγγελίας, ἀλλὰ καὶ συμπράττει πρὸς
» τὸ τυχεῖν. διὸ καὶ φησὶ δηλῶν ἔλεγεν. Ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρ
» τίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως ἰησοῦ χριστοῦ δοθῇ τοῖς πιστεύουσιν. Ἔπειδὴ γὰρ ἰουδαῖοι, οὐδὲ τῶν ἁμαρτημάτων ἠθέλησαν τῶν οἰκείων, οἱ δὲ μὴ αἰσθανόμενοι, οὐδὲ ἀφέσεως ἐπεθύμουν, ἔδωκε τὸν νόμον ἐλέγχοντα τὰ πταίσματα, ἵνα ποθήσωσι τὸν ἰατρόν. τὸ γὰρ συνέκλεισεν, ἤλεγξέν ἐστι, καὶ ἐλέγξας, κατεῖχεν ἐν φόβῳ. εἶδες ὅτι οὐ μόνον κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ οὐκ ἔστιν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐπαγγελιῶν ἐδόθη; εἰ μὲν γὰρ ἦν τῷ τὸ πρᾶγμα ἐξισάζει, καὶ τὴν αὐθεντίαν ὁ νόμος, καλῶς ἔλεγε. εἰ δὲ ἑτέρῳ πρόσεχει, καὶ διὰ ἐκεῖνον πάντα ἔπραττε, πῶς κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ; εἰ γὰρ μὴ νόμος ἐδόθη, πάντες εἰς κρίσιν ἐξῴκειλαν, καὶ οὐδεὶς ἔμελλεν ἰουδαίων ἔσεσθαι ὁ ἀκουσόμενος τοῦ χριστοῦ. νυνὶ δὲ δοθείς, δύο ζῶντα κατώρθωσεν, ἀρετὴν συμμετρον ποιήσας τοὺς προσέχοντας, καὶ πείσας εἰδέναι τὰ οἰκεῖα ἁμαρτήματα, ὁ μάλιστα αὐτοὺς ἔπεισε προθυμοτέρους πρὸς τὸ ζητεῖν τὸν ἰατρόν. οἱ γοῦν μὴ πιστεύσαντες αὐτῷ, ἐκτὸς μὴ κατεγνῶσαι τῶν
» οἰκείων ἁμαρτημάτων οὐκ ἐπίστευσαν, καὶ διὰ τοῦτο δηλῶν ἔλεγεν. Ἀγνοοῦντες γὰρ τὴν τοῦ
» θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ θεοῦ
» οὐχ ὑπετάγησαν. πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν
» μέλλουσαν πίστιν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Εἶδες πῶς σαφῶς ἅπερ εἰρήκαμεν παρέστησε; τὸ γὰρ ἐφρουρούμεθα, καὶ συγκεκλεισμένοι, οὐδὲν ἕτερον δηλοῦντός ἐστιν, ἢ τὴν ἐκτὸς σὺν πόνοις τοῦ νόμου γενομένην ἀσφάλειαν. ὥσπερ γὰρ ἐν τειχίῳ τινὶ τῷ φόβῳ κατέχων αὐτοὺς, καὶ
» τῷ βίῳ τῷ κατ' αὐτὸν ὁ νόμος ἐπήρει τὴν πίστιν. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονε

εἰς χριστὸν,

» εἰς χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. Ὁ δὲ παιδαγωγὸς οὐκέναντίοῦται τῷ διδα-
σκάλῳ, ἀλλὰ καὶ συμπράττει, πάσης καιρίας ἀπαλλάττων τὸν νέον, καὶ μετὰ πάσης
σχολῆς τὰ μαθήματα παρὰ τοῦ διδασκάλου δέχεσθαι παρασκευάζων, ἀλλ' ὅταν ἐν ἕξει
» γένηται, ἀφίσταται λοιπὸν ὁ παιδαγωγός. διαῤῥήδην φησίν. Ἐλθούσης δὲ τῆς πίστεως
» τῆς εἰς τὸν τέλειον αὐδρα ἀγούσης, οὐκέτι ὑπὸ παιδαγωγὸν ἐσμέν. πάντες γὰρ υἱοὶ θεοῦ
» ἐστὲ διὰ τῆς πίστεως ἐν χριστῷ ἰησοῦ. Εἰ γοῦν νόμος παιδαγωγὸς, καὶ ὑπ' αὐτὸν ἐφρου
ρούμεθα συγκεκλεισμένοι, οὐκέναντίος τῆς χάριτος, ἀλλὰ καὶ συνεργός. εἰ δὲ ἐλθού-
σης τῆς χάριτος ἐτιμένοι κατέχων, τότε ἐναντίος. αὐ γὰρ ὀφείλοντας ἐξελθεῖν πρὸς αὐτὸ
συγκλείει, τότε τὴν ἡμετέραν λυμαίνεται σωτηρίαν. ὥσπερ γὰρ ὁ λύχνος ἐν τῇ νυκτὶ φω-
τίσας, ἐὰν γενομένης ἡμέρας ἀναγκάζῃ μὴ καθορᾶν τὸν ἥλιον, οὐ μόνον οὐκ ἐχρήσατο, ἀλ-
λὰ καὶ ἐλυμήνατο, οὕτω καὶὁ νόμος αὐ πρὸς τὰ μείζονα κώλυμα γίνηται. οἱ γοῦν αὐ-
τὸν τηροῦντες νυῦ, οὗτοι μάλιστα αὐτὸν διαβάλλουσι. καὶ γὰρ ὁ παιδαγωγὸς τότε κατα
γέλαστον ποιεῖ τὸν νέον, ὅταν καιροῦ καλοῦντος αὐτὸν ἀποδῆναι, παρ' ἑαυτῷ κατέχῃ. διὸ
καὶ ὁ παῦλος φησίν. ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγὸν ἐσμέν. ὥστε οὐκέ-
τι ὑπὸ παιδαγωγὸν ἐσμέν. πάντες γὰρ υἱοὶ θεοῦ ἐστέ. βαθεῖα πόση τῆς πίστεως ἡ δύναμις,
καὶ πῶς αὐτὴν ἐκκαλύπτει προϊών. πρότερον μὲν γὰρ ἔδειξεν, ὅτι υἱοὺς ποιεῖ τοῦ παντοκρά
τορος. γινώσκετε γάρ φησιν ὅτι οἱ ἐκ πίστεως οὗτοί εἰσιν υἱοὶ ἀβραάμ. ναῦν δὲ ἀποφαίνει, ὅτι καὶ
τοῦ θεοῦ. πάντες γὰρ υἱοὶ θεοῦ φησιν ἐστὲ, διὰ πίστεως τῆς ἐν χριστῷ ἰησοῦ. διὰ τῆς πίστεως,
οὐ διὰ τοῦ νόμου. εἶτα ὑπεισδὺς μέγα εἶπε, καὶ θαυμαστὸν, λέγει καὶ τὸν τρόπον τῆς υἱοθε-
» σίας. Ὅσοι γὰρ εἰς χριστὸν ἐβαπτίσθητε, χριστὸν ἐνεδύσασθε. Καὶ τίνος ἕνεκεν οὐκ
εἶπεν, ὅσοι γὰρ εἰς χριστὸν ἐβαπτίσθητε ἐκ τοῦ θεοῦ ἐγεννήθητε; τὸ γὰρ ἀκόλουθον τοῦ δεῖξαι
υἱοὺς, τοῦτο ἦν, ὃ δὴ πολὺ φεικωδέστερον αὐτὸ πέφηνεν. εἰ γὰρ ὁ χς υἱὸς τοῦ θεοῦ, σὺ δὲ αὐ-
τὸν ἐνδέδυσαι τὸν υἱὸν, ἔχων ἐν ἑαυτῷ, καὶ πρὸς αὐτὸν ἀφομοιωθείς, εἰς μίαν συγγένειαν,
» καὶ μίαν ἰδέαν ἦλθες. Οὐκένι ἰουδαῖος οὐδὲ ἕλλην, οὐκένι δοῦλος, οὐδὲ ἐλεύθερος,
» οὐκένι ἄρσεν, ἢ θῆλυ. πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν χριστῷ ἰησοῦ. Εἰ δὲς ψυχὴν ἀκόρε-
στον; εἰ πὼν γὰρ ὅτι υἱοὶ τοῦ θεοῦ γεγόναμεν διὰ τῆς πίστεως, οὐχ ἵσταται μέχρι τούτου, ἀλ-
λ' ἐπιζητεῖ τί πλέον εὑρεῖν, τὸ δοθὲν σαφέστερον παρασῆσαι τὴν ἐγγυτέραν πρὸς τὸν
χριστὸν ἕνωσιν. καὶ εἰ πὼν ὅτι αὐτὸν ἐνεδύσασθε, οὐδὲ τούτῳ ἀρκεῖται τῇ λέξει, ἀλλ' ἑρ-
μηνεύων αὐτὴν, ἐνδοτέρω προέισι τῆς τοιαύτης σημασίας, καὶ φησίν. ὅτι πάντες εἷς ἐστὲ
ἐν χριστῷ ἰησοῦ. τουτέστι μίαν μορφὴν ἕνα τύπον ἔχετε πάντες τὸν τοῦ χριστοῦ. τί τούτων γε-
νοιτ' ἂν φεικωδέστερον τῶν ῥημάτων; ὁ ἕλλην, καὶ ἰουδαῖος, καὶ ὁ δοῦλος πρῶην, οὐκ
ἀγγέλου, οὐδὲ ἀρχαγγέλου, ἀλλ' αὐτοῦ τοῦ πάντων δεσπότου τὴν μορφὴν ἔχων περιέρχε
» ται, καὶ ἐν αὐτῷ δεικνὺς τὸν χν. Εἰ δὲ ὑμεῖς τοῦ χριστοῦ, ἄρα τοῦ ἀβραὰμ σπέρμα ἐστὲ,
» καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. Εἰ δὲς πῶς ὃ περ ἔμπροσθεν ἔλεγεν ἀποδείξει ναῦν τὸ σπέ
ρμα τοῦ σπέρματος; ὅτι αὐτῷ, καὶ τῷ σπέρματι αὐτοῦ αἱ βλογίαι εἰσὶ δεδομέναι. Λέγω
» δὲ ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου κς πάντων ὤν, ἀλλ' ὑπὸ
» ἐπιτρόπους, καὶ οἰκονόμους ἐστὶν, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. οὕτω καὶ ἡμεῖς ὅταν
» ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν. Νήπιον δὲ νοῦν ἔχειν οὐ τὴν ἡλικίαν φησὶν,

ἀλλὰ τὴν

ἀλλὰ τὴν γνώμην, δεικνὺς ὅτι ὁ μὲν θεὸς ἐξ ἀρχῆς ἐβούλετο ταῦτα χαρίσασθαι, ἐπεὶ δὴ δὲ ἐπὶ νηπιωδέστερον διεκείμεθα, ἀφῆκεν ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου εἶναι. τουτέστι νουμηνίας, καὶ σάββατα. αὗται γὰρ ἡμῖν αἱ ἡμέραι, ἀπὸ δρόμου σελήνης, καὶ ἡλίου γίνονται. εἰ τοίνυν καὶ νῦν ὑμᾶς ὑπὸ νόμον ἄγουσιν, οὐδὲν ἕτερον ποιοῦσιν, ἀλλ' ἢ καὶ ἐν τῷ χρόνῳ τῆς τελείας ἡλικίας εἰς τοὐπίσω πάλιν ὑμᾶς ἀπάγουσιν. ὁρᾷς ὅσον ἐστὶ παρατήρησις ἡμερῶν; τὸν κύριον τὸν οἰκοδεσπότην, τὸν πάντων κρατοῦντα, ὑπηρέτου καθίστησι τάξει. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσηται, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Δύο πίθηκεν ἐνταῦθα αἰτίας, καὶ κατορθώματα. τῆς σαρκώσεως, καὶ κακῶν ἀπαλλαγήν, καὶ ἀγαθῶν χορηγίαν, ἅπερ οὐδενὶ ἄλλῳ ἔδωκεν ἢ αὐτῷ κατορθῶσαι μόνῳ. τίνας δὲ ταῦτα ἦν; ἀπαλλαγῆναι τῆς ἀρᾶς τοῦ νόμου, καὶ εἰς υἱοθεσίαν ἀχθῆναι. ἵνα γὰρ τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ φησὶν, καὶ ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. καλῶς εἶπεν ἀπολάβωμεν, δεικνὺς ὀφειλομένην. ἄνωθεν γὰρ ἐπηγγείλατο, καθὼς μέλλω πολλῶν καὶ αὐτὸς ἔδειξε πρὸς τὸν Ἀβραὰμ ὑπὲρ τούτων ἐπαγγελίας γενομένας. καὶ πόθεν δῆλον ὅτι γεγόναμεν υἱοί φησιν; ἔπεμψε τοῦτον ἕνα, ὃς τὸν χριστὸν ἀνεδυσάμεθα τὸν ὄντα υἱόν. λέγει καὶ δεύτερον, ὅτι τὸ πνεῦμα τῆς υἱοθεσίας ἐλάβομεν. οὐ γὰρ αὐτὴν ἠλωήθημεν καλέσαι πατέρα, εἰ μὴ πρότερον υἱοὶ κατέστημεν. εἰ τοίνυν ἀντὶ δούλων ἐλευθέρους, ἀντὶ νηπίων τελείους, ἀντὶ ἀλλοτρίων κληρονόμους ἐποίησε, καὶ υἱοὺς ἡ χάρις, πῶς οὐκ ἄτοπον, καὶ ἐσχάτης ἀγνωμοσύνης ἀφιέναι μὲν ταύτην, ὑποφρέψαι δὲ εἰς τοὐπίσω; Ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς. νῦν δὲ γνόντες θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ, καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; Ἐνταῦθα πρὸς τοὺς ἐξ ἐθνῶν πιστεύσαντας ἀποτεινόμενος φησίν. ὅτι καὶ εἰδωλολατρία τὸ τοιοῦτόν ἐστιν, ἡ τῆς τῶν ἡμερῶν παρατηρήσεως φυλακὴ, καὶ ὅτι μείζονα φέρει τὴν κόλασιν νῦν. διὸ καὶ θεοὺς οὐ φύσει τὰ στοιχεῖα ἐκάλεσε, ταῦτα αὐτὰ κατασκευάσαι βουλόμενος, καὶ εἰς μείζονα ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὅτι τότε μὲν ἐσκοτισμένοι, καὶ ἐν τῇ πλάνῃ διάγοντες, καμοὶ ἐσύρεσθε. νῦν δὲ ὅτε ἐγνωτε τὸν θεὸν, μᾶλλον δὲ ἐγνώσθητε παρ' αὐτοῦ, πῶς οὐ μείζονα, καὶ χαλεπωτέραν ἐπιπάσασθε κόλασιν, μετὰ τοσαύτην ἐπιμέλειαν τὰ αὐτὰ νοσοῦντες πάλιν; οὐδὲ γὰρ ὑμεῖς κάμνοντες ζητεῖτε τὸν θεὸν, ἀλλ' ὑμεῖς μὲν ἐν τῇ πλάνῃ διατρίβετε, αὐτὸς δὲ ὑμᾶς ἐπεσπάσατο. ἀσθενῆ δὲ στοιχεῖα καλεῖ, καὶ πτωχὰ, τῷ μὴ δύνασθαι ἔχειν εἰς τὰ προκείμενα ἀγαθά. Ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς. Ἐκ τούτων δῆλον, ὅτι οὐ μόνον περιτομὴν αὐτοῖς ἐκήρυττον ἐκεῖνοι, ἀλλὰ καὶ τὰς ἑορτὰς, καὶ τὰς νουμηνίας. Φοβοῦμαι ὑμᾶς μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. Εἶδες πολλὰ γλίσχρα ἀποστολικά; ἐκεῖνοι ἐσαλεύοντο, καὶ οὗτος τρέμει, καὶ δέδοικε. διὸ μὴ σφόδρα ἐντρεπτικῶς αὐτὸ τέθεικεν εἰπών. κεκοπίακα εἰς ὑμᾶς, ὡς αὖ εἰ ἔλεγε, μὴ κενώσητέ μου τοὺς τοσούτους ἱδρῶτας. εἰπὼν δὲ φοβοῦμαι, καὶ τὸ μήπως προσθεὶς, εἰς ἀγῶνα αὐτοὺς ἐνέβαλε, καὶ εἰς ἐλπίδας ἦγε χρηστάς. οὐ γὰρ εἶπεν εἰκῇ ἐκοπίασα, ἀλλὰ μήπως. οὐδέπω φθὴ ἐξέβη τὸ ναυάγιον, ἀλλ' ἐπὶ τὸν χειμῶνα ἔτι νῦν ὁρμίζοντα βλέπω. διὰ τοῦτο δέδοικα, οὐ μὴν

καὶ, οὐ μὴν ἀπέγνωκα. κύριοι γὰρ ὑμεῖς τὸ πᾶν διορθῶσαι, καὶ εἰς τὴν προτέραν ἐπανελθεῖν
» χαλιώλιν. εἶτα ὥσπερ χειμαζομένοις χεῖρα ὀρέγων, ἑαυτὸν εἰς μέσον ἄγει λέγων. Γίνεσθε,
» ὡς ἐγὼ, ὅτι καὶ γὼ, ὡς ὑμεῖς. Ταῦτα πρὸς τοὺς ἐξ Ἰουδαίων. διὸ καὶ ἑαυτὸν εἰς μέσον ἄ-
γει, τοιοῦτον καὶ τοῦτον αὐτοὺς ἀποφῆναι τῶν παλαιῶν. εἰ γὰρ καὶ μηδένα ἕτερον εἴχετε εἰς
ὑπόδειγμα, ἤρκει εἰς ἐμὲ μόνον ἰδεῖν ταύτης ἕνεκεν τῆς μεταβολῆς, καὶ θαρρῆσαι ῥᾳδίως.
διαβλέψατε τοίνυν. καὶ γὰρ ταῦτα καὶ γὼ ἔπαθον πάλαι, καὶ σφόδρα, καὶ περιεκαιόμην
τῷ νόμῳ, ἀλλ' ὅμως οὐ τοσοῦτον οὐκ ἐφοβήθην ἀφεῖναι τὸν νόμον, οὐδὲ μεταθῆναι τῆς πολιτείας
ἐκείνης. καὶ ταῦτα ὑμεῖς ἴστε σαφῶς, πῶς μεθ' ὑπερβολῆς πολλῆς ἀντειχόμην τῶν ἰουδαϊσμοῦ
καὶ πῶς μετὰ μείζονος αὐτὸν σφοδρότητος εἰάσας μετὰ ταῦτα. καὶ καλῶς αὐτὸ τέθεικεν ὕ-
βριν. οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων, κἂν μυρίους βύρωσι λογισμοὺς, καὶ δικαίους, ἀπὸ τῶν
ὁμογενοῦς μᾶλλον ἐφέλκονται, καὶ ὅταν ἴδωσι τὰ αὐτὰ πράττοντα, μᾶλλον ἔχονται τῶν
» αὐτῶν. Ἀδελφοὶ δέομαι ὑμῶν, οὐδένα ἠδικήσατε. Ὅρα πῶς πάλιν τῷ τῆς τιμῆς
ὀνόματι προσαγορεύει, τὸ δ' αὐτὸ, καὶ τῆς χάριτος ὑπόμνησις ἰδοὺ. Εἶτα δὴ γὰρ σφόδρα καθή-
ψατο αὐτῶν, καὶ πανταχόθεν συνέκρινε τὰ πράγματα, καὶ ἔδειξε παρανομοῦντας, καὶ
πολλαχόθεν αὐτοὺς ἔβαλε, πάλιν αἰνίσσει, καὶ δόξαν τείνει, προσηνεστέροις κεχρημένος λό-
γοις. ὥσπερ γὰρ τὸ διαπαντὸς δόξαν τείνειν ἐκλύει, οὕτως τὸ συνεφραμμένως ἀεὶ διελέγχεσθαι,
τραχύτερον ποιεῖ. διὰ τοῦτο πανταχοῦ τῇ συμμετρίᾳ κεχρῆσθαι καλόν. ὅρα τοίνυν πῶς αὐ
τοῖς ὑπὲρ τῶν εἰρημένων ἀπολογεῖται, δεικνὺς ὡς οὐχ ἁπλῶς ἀποχθανούμενος αὐτοῖς, ἀλ
λὰ κινδυνεύμενος εἰρήκειν ἅπερ εἴρηκεν. Εἶτα δὴ γὰρ βαθυτέραν ἔδωκε τὴν τομὴν, ὥσπερ ἔλαιον
λοιπὸν τὴν παράκλησιν ταύτην ἐπάγων. καὶ δηλῶν ὅτι οὐ μίσους, οὐδὲ ἔχθρας ἰδοὺ τὰ εἰρη-
μένα, ἀναμιμνήσκει τῆς ἀγάπης αὐτοὺς, ἰδοὺ ἐνεδείξατο πρὸς αὐτοὺς, καὶ μετ' ἐγκωμίων τὴν
» ἀπολογίαν ποιῆται. διόφησι. Δέομαι ὑμῶν, οὐδένα ἠδικήσατε. οἴδατε δὲ ὅτι διὰ ἀθε-
» νειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν, καὶ τὸν πειρασμὸν τὸν ἐν τῇ σαρκί μου, οὐκ ἐξου
» θενήσατε. Ἀλλ' οὔπω ἴσον μέγα τὸ μὴ ἀδικῆσαι. καίτοιγε οὐδὲ ὁ τυχὼν ἄνθρωπος τὸν
οὐκ ἀδικήσαντα βλάψαι ἠθέλησεν ἄν, καὶ εἰκῇ λυπῆσαι, καὶ μάτην. ὑμεῖς δὲ οὐ μόνον οὐκ
ἠδικήσατε, ἀλλὰ καὶ πολλῷ, καὶ ἄφατον ἐπεδείξασθε εὐνοιαν, καὶ οὐχ οἵοντε τὸν τοιού-
της ἀπολαύσαντα δόξαν τεῖσαι, ἐκ παρονοίας ταῦτα λέγειν. οὐ τοίνυν διὰ ἀτεχθειαν ταῦ-
τα λέγω, λείπεται δὲ φιλοτιμίαν, καὶ κηδεμονίαν. δέομαι ὑμῶν, οὐδένα ἠδικήσατε. οἴ-
δατε δὲ ὅτι διὰ ἀθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν. οὐδὲν προσηνέστερον τῆς ἀ-
γάπης ἐκείνης ψυχῆς, οὐδὲν γλυκύτερον, καὶ φιλοτιμότερον. οὐ τοίνυν οὐδὲ τὰ πρότερα ἀ-
λόγου θυμοῦ, οὐδὲ πάθους ψυχῆς ἰδοὺ, ἀλλὰ κηδεμονίας πολλῆς. καὶ τί λέγω οὐκ ἠδικήσα-
τε. πολλῷ μᾶλλον οὖν καὶ γνησίαν σπουδὴν περὶ ἡμᾶς ἐπεδείξατε. οἴδατε γάρ φησιν, ὅτι διὰ
ἀθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν, καὶ τὸν πειρασμὸν τὸν ἐν τῇ σαρκί μου, οὐκ ἐξου
θενήσατε. τί ποτέ ἐστιν ὃ λέγει; ἠλαζονεύμην φησὶν, ἐμεγαλυνόμην, μυρίους θανάτους ὑπέμε
νον κηρύττων ὑμῖν, καὶ οὐδὲ οὕτω κατεφρονήσατέ μου. δῆλον γάρ ὅτι τὸν, τὸν πειρασμὸν τὸν ἐν
τῇ σαρκί μου οὐκ ἐξουθενήσατε, οὐδὲ διεπτύσατε. εἶδες σωφρονίσεις πνευματικάς; καὶ γὰρ τά-
χει ἀπολογίας πάλιν αὐτοὺς ἐντρέπει, δεικνὺς ὅσα ἔπαθε δι' αὐτοὺς, ἀλλ' ὅμως οὐδὲν
δῆλον ὑμᾶς ἐσκανδάλισε φησίν. οὐδὲ διεπτύσατέ με μᾶλλον τὰ πάθη, καὶ τοὺς διωγμούς.

ἀθένειαν

» ἀθένειαν γὰρ καὶ πειρασμὸν ταῦτα καλεῖ. Ἀλλ' ὡς ἄγγελον θεοῦ ἐδέξασθέ με.
Γοῦν οὖν οὐκ ἄτοπον διωκόμενον, καὶ ἐλαυνόμενον, ὡς ἄγγελον θεοῦ δέχεσθαι, παρα-
» νοοῦντας δὲ τὰ δέοντα, μὴ δέχεσθαι. πῆς οὖν ἰδοὺ ὁ μακαρισμὸς ὑμῶν; Μαρτυρῶ γὰρ ὑμῖν
» ὅτι εἰ δυνατὸν τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι, ὥστε ἐχθρὸς ὑμῶν γέ-
» γονα ἀληθεύων ὑμῖν. Ἐνταῦθα διαπορεῖ, καὶ ἐκπλήττεται, καὶ παρ' αὐτῶν ζητεῖ τὴν
αἰτίαν τῆς μεταβολῆς μαθεῖν. πῆς γὰρ ὑμᾶς ἐξεπάτησέ φησι, καὶ ἔπεισεν ἕτερος διατεθῆ-
ναι πρὸς ἡμᾶς; οὐχ ὑμεῖς ἐστε οἱ περιέποντες, καὶ θαρσαποιοῦντες, καὶ τῶν ὀφθαλμῶν τι-
μιώτερον ἄγοντες; τί δῆτα γέγονε; πόθεν ἡ ἔχθρα; πόθεν ἡ ὑποψία; ὁρᾷ τἀληθῆ πρὸς ὑ-
μᾶς εἶπον; διαβολὴν μὲν οὖν μείζονος ἐχρῆν ὑμᾶς, καὶ θαρσαποιεῖν. νυνὶ δὲ ἐχθρὸς ὑμῶν γέ-
γονα ἀληθεύων ὑμῖν. ἐγὼ γάρφησιν οὐκοῖδα ἄλλην αἰτίαν, ἢ τὸ ἀληθῆ λέγειν ὑμῖν. καὶ ὁρᾶ
μεθ' ὅσης ἀπολογεῖται τὰ ταπεινοφροσύνης. οὐ γὰρ ἀφ' ὧν πρὸς αὐτοὺς ἀπεδείξατο, ἀλλ' ἀφ'
ὧν αὐτὸς πρὸς αὐτὸν, δείκνυσιν ἀδύνατον εἶναι ἐκ κακονοίας ταῦτα λέγεσθαι. οὐδὲ γὰρ εἰκὸς
οὕτως, καὶ πῶς ἐγχωρεῖ τὸν μαστιζόμενον, τὸν ἐλαυνόμενον, τὸν μυρία παθόντα δι' ὑμᾶς, νυνὶ ἐ-
πιβουλεύειν ὑμῖν; ἀλλ' ἀφ' ὧν εἶχον ἐναβρύνεσθαι ἐκεῖνοι, ἀπὸ τούτων συλλογίζεται λέγων.
πῶς ἐγχωρεῖ τὸν τιμηθέντα παρ' ὑμῶν, τὸν ὡς ἄγγελον δεχθέντα τοῖς ἐναντίοις ἀμείψα-
» σθαι; Ζηλοῦσιν ὑμᾶς οὐκ ἀληθῶς, ἀλλ' ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε.
Ἔστι γὰρ καὶ ζῆλος ἀγαθὸς, ὅταν τις οὕτω ζηλοῖ, ὥστε μιμήσασθαι τὴν ἀρετήν. ὅτι καὶ ζῆ-
λος πονηρὸς, ὥστε ἐκβάλλειν τῆς ἀρετῆς τὸν κατορθοῦντα. ὃ δὴ καὶ αὐτοὶ νῦν ἐπιχειροῦ-
σι. τῆς μὲν τελείας γνώσεως ἐκβάλλειν θέλοντες, εἰς δὲ τὴν ἠρωτηριασμένην, καὶ νόθον
ἀγαγεῖν, δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα αὐτοὶ μὲν ἐντάξει κάθωνται διδασκάλων, ὑμᾶς δὲ τοὺς
νῦν ὑψηλοτέρους αὐτῶν ὄντας, ἐν τάξει καταστήσωσι μαθητῶν. ὅθεν γὰρ ἐδήλωσεν εἰπών,
ἵνα αὐτοὺς ζηλοῦτε. ἐγὼ δὲ τοὐναντίον βούλομαι φησὶν, ὑμᾶς αὐτῶν καλλίονας, καὶ ὑπο-
δείγματα γίνεσθαι τῶν τελειοτέρων. ὃ δὴ καὶ ἐγένετο, ὅτε πρὸς ὑμᾶς ἦμεν. διὸ καὶ ἐπάγει λέ-
» γων. Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑ-
» μᾶς. Ἐνταῦθα γὰρ αἰνίττεται, ὅτι ἡ ἀπουσία αὐτῶν ταῦτα εἰργάσατο, καὶ ὅτι τὸ μὲν μα-
κάριον, ἔστιν ὅτε, μὴ παρόντος τοῦ διδασκάλου μόνον, τοὺς μαθητὰς τὴν δέουσαν ἔχειν γνώ-
μην, ἀλλὰ καὶ ἀπόντος. ἔπειδὴ δὲ ἐκεῖνοι οὐδέπω ἦσαν πρὸς ἔστιν ὅτε τελειότητος ἀφιγμένοι,
» πάντα ποιεῖται, ὥστε εἰς ἔστιν ὅτε αὐτοὺς ἐμβιβάσαι. Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις
» οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. Ὅρα ταραττόμενον, ὅρα θορυβούμενον. ἀδελφοί μου δέομαι
» ὑμῶν. τεκνία μου, οὓς πάλιν ὠδίνω, μᾶλλον μιμεῖται περιτρέμουσαν τοῖς παιδίοις, ἄχρις οὗ
» μορφωθῇ Χριστὸς ἐν ὑμῖν. Εἶδες ὡλάγχνα πατρικά; εἶδες οἷαν ἀφῆκεν ὁλολυγήν; πολὺ
τῶν πικτουσῶν πικροτέραν; διεφθείρατέ φησι τὴν εἰκόνα, ἀπωλέσατε τὴν συγγένειαν, τὴν
μορφὴν ἠλλοιώσατε. ἀναγεννήσεως ἑτέρας ὑμῖν δεῖ, καὶ ἀναπλάσεως, ἀλλ' ὅμως τεκνία
καλῶ τὰ ἀμβλωθρίδια, τὰ ἐκτρώματα, ἀλλ' οὕτω μὲν οὐ λέγει, ἑτέρως δέ. φείδεται
γὰρ καὶ οὐ βούλεται πλῆξαι, οὐδὲ τραύματα ἐπιθεῖναι τραύμασιν, ἀλλ' ὥσπερ οἱ σο-
φοὶ τῶν ἰατρῶν τοὺς εἰς μανίαν καταστησόντας νόσον, οὐχ ὑφὲν δοξάζουσιν, ἀλλὰ
διαλιμπάνουσιν, ὥστε μὴ ὀλιγοψυχοῦντας ἀπολέσθαι, οὕτως ὁ μακάριος οὗτος. καὶ
γὰρ οἱ ὠδῖνες αὗται σφριμύτεραι, ὅσῳ καὶ ἡ φιλοστοργία μείζων, καὶ τὸ ἁμαρτηθὲν, οὐ

τὸ τυχὸν

τὸ τυχὸν ἰῶ. ὅπερ γὰρ ἀεὶ λέγω, καὶ λέγων οὐ παύσομαι, καὶ τὸ μικρὸν παραβαθὲν, ὁ-
» λόκληρον τῇ ὄψιν ἠφάνισε, καὶ τὴν μορφὴν ἐλυμήνατο. Ἤθελον παρεῖναι πρὸς
» ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνὴν μου. Σκόπειμαι τὸν ἀκαρτερήτον, τὸν δοξόμον,
τὸν οὐ δυνάμενον φέγειν τὰ τοιαῦτα. Τοιοῦτον γὰρ ἡ ἀγάπη. οὐκ ἀρκεῖται τοῖς ῥήμα-
σιν, ἀλλ' ἐπιζητεῖ καὶ τὴν παρουσίαν. ὥστε ἀλλάξαι τὴν φωνὴν μου φησί. τουτέστιν
ἀλλάξαι τὸν ὀλοφυρμόν, ποιῆσαι καὶ δάκρυα, καὶ πάντα εἰς ἡδονὴν ἐπιστάσασθαι. διὰ
γὰρ ἐπιστολῆς, οὐκ ἂν ἐδάκρυα δεῖξαι, οὐδὲ ὀλολυγμόν. διὸ καίεται τὴν παρουσίαν ἐπι
» ζητῶν. Ὅτι ἀποροῦμαι ἐν ὑμῖν. Οὐκ ἔχω γάρ φησι τί εἴπω, οὐκ ἔχω τί λογίσο-
μαι, πόθεν οἱ πρὸς αὐτὴν ἀναβαίντες τῶν οὐρανῶν τὴν κορυφὴν, καὶ διὰ τῶν κινδύ
νων, οὓς ὑπεμείνατε ὑπὲρ τῆς πίστεως, μὴ διὰ τῶν σημείων ὧν ἐπεδείξασθε διὰ τῆς πίστεως,
νῦν ἀθρόον οὕτως εἰς τοσαύτην δυτέλειαν κατηνέχθητε, ὡς εἰς περιτομὴν, καὶ σάββα-
τα σύρεσθαι, καὶ τῶν ἰουδαϊζόντων ἐκκρέμασθαι. διατοῦτο καὶ ἀρχόμενος ἔλεγε, θαυ-
μάζω ὅτι οὕτως ταχέως μετατίθεσθε. καὶ ἐνταῦθα. ἀποροῦμαι ἐν ὑμῖν, ὡς οὐκ εἰ
ἔλεγεν. τί εἴπω, τί λαλήσω, τί ἐννοήσω, ἀπορῶ. διὸ καὶ ὀλολύζειν ἀνάγκη, ὅπερ ἐν τοῖς
ἀπόροις ποιοῦσι καὶ οἱ προφῆται. εἶδος δὲ καὶ τοῦτο δοξαστείας οὐ μικρόν, τὸ μὴ μό-
νον συμβουλεύειν, ἀλλὰ καὶ θρηνεῖν. οὕτω γὰρ καὶ μιλησίοις διαλεγόμενος ἔλεγε. πρεσβῦταν
μετὰ δακρύων νουθετῶν ὑμᾶς, οὐ διέλειπον. οὕτω καὶ ἐνταῦθα φῂ λέγων, ἀλλάξαι τὴν
φωνήν μου. καὶ γὰρ ἐν ταῖς ἀπορίαις, καὶ ταῖς ἀμηχανίαις ταῖς παρ' ἐλπίδα συμβαινού
σαις νικώμενοι, λοιπὸν κἂν τὰ δάκρυα καταφερόμεθα. ἐπειδὴ τοίνυν ἐπέπληξε, καὶ ἐ-
νέτρεψε, καὶ ἐδοξάστευσε πάλιν, εἶτα ὠλοφύρατο. ὁ δὲ ὀλοφυρμὸς, ἐπιπλήξεως μόνης, καὶ
κολακείας ἐστίν. οὔτε γὰρ τραχυτέρα ὥσπερ ἐπίπληξις, οὔτε χαλᾷ καθάπερ ἡ θερα-
πεία, ἀλλ' ἔστι μεμιγμένον φάρμακον, καὶ πολλὴν ἔχει τὴν ἰσχὺν πρὸς παραίνεσιν. ἐ-
πειδὴ οὖν ὠλοφύρατο, καὶ ἐμάλαξεν αὐτῶν τὴν διάνοιαν, καὶ ἐπεστάσατο μειζόνως, πά
λιν εἰς τοὺς ἀγῶνας ἐμβαίνει, κεφάλαιον ἔτι μεῖζον, δεικνὺς ὅτι αὐτὸς ὁ νόμος οὐ βού
λεται ἑαυτὸν φυλάττεσθαι. τότε μὲν οὖν ἐκ τοῦ ἀβραὰμ τὸ παράδειγμα εἰσήγαγε, νυνὶ δὲ
αὐτὸν εἰσάγει τὸν νόμον παραινοῦντα μὴ φυλάττειν αὐτὸν, ἀλλὰ ἀναχωρεῖν. ὅπερ ἦν ἰσχυ-
ρότερον. ὥστε εἰ βούλεσθε πείθεσθαι τῷ νόμῳ φῇ, ἀπόστητε αὐτοῦ. οὕτω γὰρ αὐτὸς βούλεται.
» ἀλλ' οὕτω μὲν οὐ λέγει. ἑτέρως δὲ αὐτὸ κατασκευάζει, καὶ ἱστορίαν μιγνύς. Λέγετε γάρ
» μοι φῇ, οἱ ὑπὸ νόμον θέλοντες εἶναι τὸν νόμον οὐκ ἀκούετε; Καλῶς εἶπεν οἱ θέλον-
τες. οὐ γὰρ τῆς τῶν πραγμάτων ἀκολουθίας, ἀλλὰ τῆς ἐκείνων ἀκαίρου φιλονεικίας τὸ
πρᾶγμα ἦν. νόμον δὲ ἐνταῦθα τὸ βιβλίον τῆς κτίσεως καλεῖ. ὅπερ πολλάκις ποιεῖ, τὴν
» παλαιὰν ἅπασαν οὕτως ὀνομάζων. Γέγραπται γὰρ ὅτι ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα
» ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Πάλιν οὖν τὸν ἀβραὰμ αἰνίσσεται, οὐ
τὸν τόπον, ἀλλ' ἐπειδὴ πολλὴ τοῦ πατριάρχου παρὰ τοῖς ἰουδαίοις ἡ δόξα ἦν, δεί-
κνυσιν ὅτι ἐκεῖθεν οἱ τύποι τὴν ἀρχὴν ἔλαβον, καὶ τὰ παρόντα ἐν αὐτῷ προεζωγρα-
φεῖτο. καὶ πρῶτον δείξας υἱοὺς ὄντας τοῦ ἀβραὰμ, ἐπειδὴ οὐ τῆς αὐτῆς ἀξίας ἦ-
σαν οἱ υἱοὶ τοῦ πατριάρχου, ἀλλ' ὁ μὲν ἐκ τῆς δούλης, ὁ δὲ ἐκ τῆς ἐλευθέρας, δεί-
κνυσιν λοιπὸν, ὅτι οὐ μόνον υἱοὶ, ἀλλὰ καὶ οὕτως υἱοὶ, ὡς ὁ ἐλεύθερος, καὶ δυνενής. Τοσαύτη

τῆς πίστεως

» τῆς πίστεως ἡ δύναμις. Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς
» ἐλευθέρας, κατ' ἐπαγγελίαν. Τί ἐστι κατὰ σάρκα; Ἐπειδὴ ἔλεγεν ὅτι ἡ πίστις ἡμᾶς συ-
νάπτει τῷ Ἀβραάμ, καὶ ἔδοκει τοῖς ἀκούουσιν ἀπίθανον εἶναι, εἰ τοὺς μὴ γενομένους ἐξ ἐκεί-
νου τούτους φησὶν οὓς ἐκεῖνος, δείκνυσιν ὅτι τὸ παράδοξον τοῦτο οὐ νῦν γέγονεν. ὁ γὰρ Ἰσαὰκ
οὐ κατὰ φύσεως ἀκολουθίαν, οὐδὲ κατὰ γάμων νόμον, οὐδὲ κατὰ σαρκὸς δύναμιν γενόμε
νος, καὶ γὰρ γήσιος ἦν, ἀπὸ νενεκρῶν σωμάτων φύς, καὶ ἀπὸ τῆς μήτρας ἐκείνης. οὐ γὰρ ἡ σάρξ
τὴν κύησιν, οὐδὲ τὸ ὠάριον τὸν τόκον εἰργάσαντο. νενεκρὰ γὰρ ἡ μήτρα, καὶ ἀγὰρ τὴν ἡλικίαν
ἀγὰρ τὴ πήρωσιν, ἀλλ' ὁ τοῦ θεοῦ λόγος αὐτὸν ἔπλασεν. ὧδὶ δὲ τοῦ δούλου, οὐχ οὕτως ἀλλ' ἐκεῖ-
νος τοῖς τῆς φύσεως δεσμοῖς, καὶ τῇ τοῦ γάμου συνηθείᾳ πίπτει. ἀλλ' ὅμως ὁ μὴ κατὰ σάρκα,
τοῦ κατὰ σάρκα γεννηθέντος τιμιώτερος ἦν. μὴ θορυβείτω τίνων ὑμᾶς τὸ μὴ κατὰ σάρκα γε
γεννῆσθαι. ἀγὰρ γὰρ μάλιστα αὐτοῦ συγγενεῖς ὑμεῖς, ὅτι οὐ κατὰ σάρκα ἐγεννήθητε. οὐ γὰρ
τιμιωτέρους ἔδει τὸ κατὰ σάρκα, ἀλλὰ καὶ ἀτιμοτέρους ἐργάζεται. θαυμαστότερος γὰρ ὁ τό
κος ὁ μὴ κατὰ σάρκα, καὶ πυθμαπικώτερος, καὶ δῆλον ἐκτῶν ἄνωθεν τεχθέντων. ἐτέχθη
γὰρ κατὰ σάρκα ὁ Ἰσμαήλ, ἀλλὰ δοῦλος ἦν, καὶ οὐ μόνον, ἀλλὰ καὶ ἐξεβάλλετο τῆς
πατρῴας οἰκίας. ὁ δὲ κατ' ἐπαγγελίαν τεχθεὶς ὁ Ἰσαάκ, ἅτε υἱὸς ὢν, καὶ ἐλεύθερος, τῶν ἦν
» πάντων. Ἅτινά ἐστιν ἀλληγορούμενα. Καταχρηστικῶς τὸν τύπον ἀλληγορίαν ἐκάλε-
σεν. ὁ δὲ λέγει, τοῦτό ἐστιν. ἡ μὲν ἱστορία αὕτη, οὐ μόνον παραδηλοῖ, ὅπερ φαίνεται, ἀλλὰ καὶ
ἄλλα τινα ἀναγορεύει. διὸ καὶ ἀλληγορία κέκληται. τί δὲ ἀναγόρευσεν; οὐδὲν ἕτερον, ἢ τὰ παρόν
» τα πάντα. Αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι φησὶ, μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν
» γεννῶσα, ἥτις ἐστὶν Ἀγάρ. Αὗται τίνες τῶν Ἰουδαίων ἐκείνων αἱ μητέρες; ἡ Σάρρα, καὶ ἡ Ἀγάρ.
τί εἰσι; δύο διαθῆκαι, δύο νόμοι. ἀλλ' ἐπειδὴ γυναικῶν ὀνόματα ἦν ἐν τῇ ἱστορίᾳ, ἐνέμεινεν
ἐν τῇ προσηγορίᾳ τοῦ γένους, καὶ ἀπὸ τῶν ὀνομάτων πολλαχοῦ δείκνυσι τὴν ἀκολουθίαν. πῶς
» δὲ ἀπὸ τοῦ ὀνόματος; Τὸ γὰρ Ἀγάρ, Σινᾶ ὄρος ἐστὶ φησὶν ἐν τῇ Ἀραβίᾳ. Ἀγὰρ ἐλέγετο ἡ δούλη.
τὸ δὲ Σινᾶ ὄρος οὕτω μεθερμηνεύεται τῇ ἐπιχωρίῳ αὐτῶν γλώττῃ, ὥστε τοὺς ἐκ τῆς παλαιᾶς τε
τοκομένους, πάντας ἀνάγκη δούλους εἶναι. τὸ γὰρ ὄρος ἐκεῖνο ἐν ᾧ ἡ παλαιὰ διαθήκη ἐδό-
» θη, ὁμώνυμον ἐν τῇ δουλῇ παραλαμβάνει, καὶ τὴν Ἱερουσαλήμ. ἔδει γάρ φησι. Συστοιχεῖ
» δὲ τῇ νῦν Ἱερ. Τί τέφει γειτνιάζει, ἀκολουθεῖται. τί οὖν ἀπὸ τούτου; ὅτι οὐ μόνον ἐκείνη δού-
λη ἦν, καὶ δούλους ἔτικτεν, ἀλλὰ καὶ αὕτη τοιοῦτόν ἐστιν, ἡ διαθήκη ἧς τύπος ἡ δούλη. καὶ γὰρ ἡ
Ἱερ. μετὰ γειτόνων κεῖται τῷ ὄρει τῷ ὁμωνύμῳ τῇ δούλῃ. ἐν τούτῳ δὲ τῷ ὄρει, καὶ ἡ διαθήκη
» δέδοται. ποῦ οὖν καὶ τῆς Σάρρας ὁ τύπος; Ἡ δὲ ἄνω Ἱερ. ἐλευθέρα ἐστίν. Οὐ-
κοῦν, καὶ οἱ ἐξ αὐτῆς τικτόμενοι, οὐ δοῦλοι. τῆς μὲν Ἱερ. τῆς κάτω, τύπος ἦν Σάρρα, μᾶλ
λον ἐκτοῦ ὄρους τοῦ οὕτω καλουμένου, τὴ δὲ ἄνω, ἡ ἐκκλησία. ἀλλ' ὅμως οὐκ ἀρκεῖται τοῖς τύποις,
ἀλλὰ καὶ τὴν ἱστορίαν προστίθησι μαρτυροῦντα τοῖς εἰρημένοις. εἰπὼν γὰρ ἡ ἄνω Ἱερ. μήτηρ
ἡμῶν ἐστι, μὴ τὴν ἐκκλησίαν οὕτω καλέσας, παρίστησι τὴν προφήτην τὰ αὐτὰ αὐτῷ φθεγξόμε-
» νον. Εὐφράνθητι γάρφησι τεῖρα ἡ οὐ τίκτουσα. ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ
» τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Τίς οὖν ἡ τεῖρα, καὶ τίς ἡ ἔρημος
πρὸ τούτου, οὐκοῦν δῆλον ὅτι ἡ ἐξ ἐθνῶν ἐκκλησία τῆς τοῦ θεοῦ γνώσεως ἀποστερημένη; τίς δὲ
ἡ τὸν ἄνδρα ἔχουσα, οὐκοῦν δῆλον ὅτι ἡ συναγωγή; ἀλλ' ὅμως ἐνίκησεν αὐτὴν τῇ πολυτεκνί-

ᾳ ἡ τεῖρα

σία ἡ τεῖρα. ἐκείνη μὲν γὰρ ἓν ἔθνος ἔχει. τὰ δὲ τῆς ἐκκλησίας τέκνα, τὴν ἑλλάδα, τὴν βάρβαρον, τὴν γῆν, τὴν θάλατταν, τὴν οἰκουμένην ἅπασαν ἐπλήρωσεν. εἰδὲς πῶς μὲν πραγμάτων ἡ σάρρα, μὲν δὲ ῥημάτων ὁ προφήτης τὰ μέλλοντα ἡμῖν ὑπεμφαίνει σπόρει δὲ. τεῖραν ἐκάλεσεν ὁ ἡσαίας, καὶ τοῦτην ἔδειξε πολύπαιδα γενομένην. ὅθεν τοι καὶ τῆς σάρρας σπέρμα. καὶ γὰρ καὶ αὕτη τεῖρα οὖσα πλήθους ἐκράτησεν ἐγένετο μήτηρ. τῷ παύλῳ δὲ οὐδὲ τοῦτα ἀπόχρη, ἀλλὰ καὶ πῶς ἐγένετο μήτηρ ἡ τεῖρα διεργάζεται, ἵνα καὶ ἐντεῦθεν τὴν ἀλήθειαν προσαγάγῃ τὸν τύπον. διὸ καὶ ἐπάγει λέγων.

» Ἡμεῖς δὲ ἀδελφοὶ κατὰ ἰσαὰκ, ἐπαγγελίας τέκνα ἐσμέν. Οὐ γὰρ μόνον τεῖρα ἦν ἡ ἐκκλησία ὥσπερ ἡ σάρρα, οὐδὲ μόνον πολύπαις ἐγένετο, ὥσπερ ἐκείνη, ἀλλὰ καὶ οὕτως ἐγέννησεν, ὥσπερ ἡ σάρρα. καθάπερ γὰρ ἐκείνῳ μητέρα οὐχ ἡ φύσις εἰργάσατο, ἀλλ' ἡ ἐπαγγελία τοῦ θεοῦ. ὁ γὰρ εἰρηκὼς κατὰ τὸν καιρὸν ὅθεν ἐλεύσομαι, καὶ ἔσται τῇ σάρρᾳ υἱός, οὗτος εἰσελθὼν εἰς τὴν νηδὺν, τὸ βρέφος διέπλασεν. οὕτω δὴ καὶ ἐπὶ τῆς ἀναγεννήσεως τῆς ἡμετέρας. φύσις μὲν οὐδὲ μία, τὰ δὲ ῥήματα τοῦ θεοῦ διὰ τοῦ ἱερέως λεγόμενα ἅπερ, ἴσασιν οἱ πιστοὶ, ταῦτα ἐν τῇ κολυμβήθρᾳ τῶν ὑδάτων, καθάπερ ἐν νηδύϊ τινὶ διαπλάττει, καὶ ἀναγεννᾷ τὸν βαπτιζόμενον. οὐκοῦν ἐκ τῆς τεῖρας ἐσμὲν παῖδες, καὶ ἐλεύθεροι ἐσμέν. καὶ ποία αὕτη ἐλευθερία εἴποις ἄν, ὅταν οἱ μὲν ἰουδαῖοι κατέχωσι, καὶ μαστίζωσι τοὺς πιστεύσαντας, οἱ δὲ δοκοῦντες ἐλεύθεροι εἶναι διώκονται; ταῦτα γὰρ τότε συνέβαινε τῶν πιστῶν διωκομένων, ἀλλὰ μὴ δὲ ὅθεν ὑμᾶς θορυβεῖτω φησί. καὶ γὰρ καὶ ὅθεν προέλαβεν ἐν τῷ τύπῳ. ὁ γὰρ ἰσαὰκ ἐλεύθερος ὢν ὑπὸ τοῦ δούλου ἰσμαὴλ ἐδιώκετο. διὸ καὶ ἐπάγει λέγων. Ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν » κατὰ πνεῦμα, οὕτως καὶ νῦν. ἀλλὰ τί λέγει ἡ γραφή; ἔκβαλε τὴν παιδίσκην » καὶ τὸν υἱὸν τῆς παιδίσκης. » οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. Τί οὖν, αὕτη ἡ παράκλησις πᾶσα τὸ δεῖξαι τοὺς ἐλευθέρους ὑπὸ τῶν δούλων διώκεσθαι; οὐχ ἅπαντα. οὐδὲ γὰρ ἐν τοῦτο ἦν ἡμᾶς, ἀλλ' ἄκουσον καὶ τῶν ἑξῆς, καὶ τότε λήψῃ παραμυθίαν ἱκανὴν, οὐ μικροψύχων τοῖς διωγμοῖς. τίνας οὖν τὰ ἑξῆς; ἔκβαλε τὴν υἱὸν τῆς παιδίσκης. οὐ γὰρ μὴ κληρονομήσει μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. εἶδες τὰ ἐπίχειρα τῆς προσκαίρου τυραννίδος, καὶ τῆς ἀπονοίας τῆς ἀκαίρου; ἐκπίπτει τῶν πατρῴων ὁ παῖς, καὶ γίνεται φυγὰς, καὶ πλανὸς μετὰ τῆς μητρός. σὺ δὲμοι σπόρει τὴν σοφίαν τῶν εἰρημένων. οὐ γὰρ εἶπεν ἐπειδὴ ἐδίωκε, διὰ τοῦτο ἐξεβάλλετο μόνον, ἀλλ' ἵνα μὴ κληρονομήσῃ. οὐ γὰρ τοῦ προσκαίρου διωγμοῦ τιμωρίαν αὐτὸν ἀπαιτεῖ ταύτην. τοῦτο γὰρ μικρὸν, καὶ οὐδὲν πρὸς ἐκεῖνο. ἀλλ' οὐκ ἀφῆκε γενέσθαι κοινωνὸν τῶν ἡτοιμασμένων τῷ παιδὶ, δεικνὺς ὅτι καὶ τοῦ διωγμοῦ χωρεῖς τοῦτον ἄνωθεν αὐτὸ διατετυπωμένον ἵνα. καὶ οὐκεῖθεν οὐ μὴ κληρονομήσει ὁ υἱὸς τοῦ ἀβραὰμ, ἀλλ' ὁ υἱὸς τῆς παιδίσκης, ἀπὸ τοῦ φαυλοτέρου γένους αὐτὸν καλῶν. ἀλλ' ἡ σάρρα τεῖρα ἦν. καὶ γὰρ ἡ ἐξ ἐθνῶν ἐκκλησία, τοιαύτη. ὁρᾷς μὲν πάντων τὸν τύπον τηρούμενον; ὥσπερ γὰρ ἐν ὅλοις τοῖς ἔμπροσθεν ἔπεσεν ἐκείνη μὴ τίκτουσα πρὸς ἑκάτερα γίνεται μήτηρ, οὕτω καὶ αὕτη, ὅτε ἦλθε τὸ πλήρωμα τίκτει. τοῦτο γὰρ καὶ προφῆται προανεφώνουν λέγοντες. εὐφράνθητι τεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. τὴν ἐκκλησίαν οὕτω καλοῦντες.

οὐ γὰρ ἦν

οὐ γὰρ ἦν ἐπεγνωκυῖα τὸν θεόν. ἀλλ' ὅμως ἐπιγνοῦσα, τὴν πολύπαιδα ἐνίκησε συναγωγήν.
» Ἄρα ἀδελφοὶ οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας. Ταῦτα πάντα
κινεῖ, καὶ ῥήφει. δεῖξαι βουλόμενος, ὅτι τὸ γενόμενον, οὐ πρόσφατον ἦν, ἀλλ' αὖθις ἤδη πρὸ
πολλῶν διέτριβε χρόνων. πῶς οὖν οὐκ ἄτοπον πρὸ τοσούτων χρόνων ἀφορισθέντας, καὶ
ἐλευθερίας τυχόντας, ἑκόντας ἑαυτοὺς, εἰς τὸν τῆς δουλείας ὑπάγειν ζυγόν. εἶτα καὶ ἄλλως
» αὐτὰν πίθησι τὴν πειθουσαν αὐτοὺς τῶν δογμάτων μένειν. Τῇ γὰρ ἐλευθερίᾳ
» φησὶν, ἡ Χς ὑμᾶς ἐξηγόρασε, στήκετε. Μὴ γὰρ ἑαυτοὺς ἠλευθερώσατε, ὅτι πάλιν τῶν πρὸ
τέραν πρέχετε δεσποτείαν; ἀλλ' αὐτός ἐστιν ὁ ὑμᾶς ἐξηγορακώς. ἄλλος ὁ τὴν τιμὴν δοὺς ὑ-
περὶ ὑμῶν. ὁρᾷς ὅ ὅσων αὐτοὺς ἀπάγει τῆς ἰουδαϊκῆς πλανης; πρῶτον δείκνυς, ὅτι ἐκ τῆς
ἀνοίας ἐλευθέρους ἀντὶ δούλων γενομένους, δούλους ἀντ' ἐλευθέρων ἐπιθυμεῖν εἶναι.
δεύτερον ὅτι περὶ τὸν δυσεργέτην ἀγνώμονες, καὶ ἀχάριστοι δειχθήσονται, τὸ μὲν ἐλευθερώ-
σαντι καταφρονοῦντες, τὸν δὲ δουλωσάμενον τιμῶντες. τρίτον ὅτι οὐ σπουδαῖον τοῦτο. οὐ
γὰρ ἔχει τὴν δεσποτείαν ὁ νόμος, ἅπαξ ἑτέρου παρ' αὐτοῦ πάντας ἡμᾶς πριαμένου. στήκετε δὲ
» εἰπὼν, τὸν σάλον ἔδειξε. Καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. Τῷ μὲν τοῦ ζυγοῦ ὀνό-
ματι, τὸ βαρὺ τοῦ πράγματος αὐτοῖς ἐνδείκνυται. τῷ δὲ πάλιν εἰσῆλθεν πολλῷ αὐτῶν δεί-
κνυσι τὴν ἀναισθησίαν. εἰ μὲν γὰρ ἄσπερ ἦσαν τοῦ βάρους ἐκείνου, οὕτω τοσούτων ἦσαν ἐγκλη-
μάτων ἄξιοι, οἱ δὲ τῇ πείρᾳ μαθόντες τὸ φορτικὸν τοῦ ζυγοῦ, εἶτα ὑποδεδεντες ἑαυτοὺς
» ἐκείνῳ πάλιν, ποίας ἂν εἶεν δίκαιοι τυχεῖν συγγνώμης; Ἴδε δὲ ἐγὼ παῦλος λέγω ὑμῖν,
» ὅτι ἐὰν περιτέμνησθε, Χς ὑμᾶς οὐδὲν ὠφελήσει. Ὅρα πόση ἀπειλή, εἰκότως ἄρα, καὶ
ἀγγέλους ἀνεδεμάτιζε. πῶς δὲ Χς αὐτοὺς οὐδὲν ὠφελήσει; αὐτὸς μὲν γὰρ τοῦτο οὐκ ἀπε-
σκύλασεν, ἀλλ' ἀπεφήνατο, ὡς τοῦ προσώπου ἀξιοπιστίαν ἀρκούσης ἀντὶ πάσης ἀποδεί-
ξεως λοιπόν. διαπορῶν γὰρ προλαβὼν εἶπεν. ἰδὲ ἐγὼ παῦλος λέγω ὑμῖν. ὅπερ ἦν θαῤῥοῦντος
οἷς λέγει, ἡμεῖς δὲ ὡς αὖ οἷόν τε τὰ παρ' ἑαυτῶν προσθήσομεν. πῶς οὐδὲν ὠφελήσει τὸ πε
ριτεμνόμενον ὁ Χς; ὁ περιτεμνόμενος, ὡς νόμον δεδοικὼς, περιτέμνει), ὁ δὲ δεδοικὼς, ἀπιστεῖ τῇ
δυναμένῃ δι' ἀγάπης ἐνεργούσῃ χάριτος. ὁ δὲ ἀπιστῶν, οὐδὲν κερδαίνει παρὰ τὸ ἀπιστούμενος. πάλιν ἑτέρως. ὁ περι
τεμνόμενος, τὸν νόμον κύριον ποιεῖ. κύριον δὲ εἶναι νομίζων, μὴ ἐκ τοῦ μείζονος αὐτὸν παραβαίνων μέ
ρους, ἐν δὲ τῷ ἐλάττονος τηρῶν, πάλιν ἔνοχον τὸν ἀρὰν ἑαυτὸν πίθησιν. ὑποβάλλων δὲ ἑαυτὸν τῇ
ἀρᾷ, καὶ διακρουσάμενος τὴν ἀπὸ τῆς πίστεως ἐλευθερίαν, πῶς δύναται σωθῆναι; εἰ
γὰρ χρὴ καὶ παράδοξον εἰπεῖν, οὗτος οὔτε τῷ χῷ, οὔτε τῷ νόμῳ πιστεύει, ἀλλ' ἐν μέσῳ ἑστη-
κε, κἀκεῖθεν, καὶ ἐνθεν βουλόμενος κερδαίνειν. διόπερ οὐδαμόθεν οὐδὲν κερδανεῖται. εἶτα
εἰπὼν οὐδὲν ὠφελήσει, αἰνιγματωδῶς μὲν βραχέων τὴν ἀπόδειξιν πίθησιν οὕτω λέγων.
» Μαρτύρομαι δὲ παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶ-
» σαι. Ἵνα γὰρ μὴ νομίσῃς κατ' ἐχθραν ταῦτα λέγεσθαι, οὐχ ὑμῖν λέγω μόνον φησὶν, ἀλλὰ
καὶ παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι.
» Ἀλλήλων γὰρ ἔχετε τὰ νόμιμα. Καὶ καθάπερ ἀπεμαψάμενος εἶναι δοῦλος ἐξ ἐλευ
θέρου οὐκέτι ποιεῖ, ὃ βούλεται, ἀλλὰ πᾶσι τοῖς τῆς δουλείας κατέχεται νόμοις, οὕτω μὴ
τοῦ νόμου, ὅταν ἀναδέξῃ μικρόν τι τοῦ νόμου, καὶ ὑπάγῃς σεαυτὸν τῷ ζυγῷ, ὅλως ὠφελή
σει τὴν δεσποτείαν. οὕτω μὴ τῆς ἔξωθεν κληρονομίας, ὁ μὲν μηδενὸς ἁψάμενος, πάντων

ἀπήλλακται

ἀπήλλακται τῶν ἀπαγομένων τῷ κλήρῳ τὸ τετελευτηκότος πραγμάτων. αὖ δὲ μικρόν τι
ἐπιχειρήσῃ, καὶ μὴ πάντα λάβῃ, πᾶσιν ἑαυτὸν ὑπεύθυνον κατέστησε, καὶ τὸ μέρους, καὶ
καὶ τοῦτο τῷ νόμῳ συμβαίνει. οὐ μόνον δὲ οὗτος δὲ μόνον οὐ εἰρηκα τρόπον, ἀλλὰ καὶ ἕτερον.
ἀλλήλων γὰρ τὰ νόμιμα ἔχεται, οἷόν τι λέγω, ἡ περιτομή, θυσίαν ἔχει συνεζευγμένην, καὶ
ἡμερῶν παρατήρησιν, ἡ θυσία πάλιν, καὶ ἡμέρασι, καὶ τόπου φυλακήν. ὁ τόπος, μυρίων
καθαρμῶν τρόπους, οἱ καθαρμοὶ, ἐσμόν τινα παρατηρήσεων εἰσάγουσι ποικίλων. τὸν γὰρ
ἀκάθαρτον, οὐ θύειν, οὐ χ' ἱερῶν ἐπιβαίνειν ἀλύτων, οὐκ ἄλλο τι τοιοῦτον ποιεῖν θέμις.
διὸ καὶ πολλὰ ὠφέληται, καὶ διὰ τῆς μιᾶς ἐντολῆς ὁ νόμος. αὖ τοίνυν περιτμηθῇς, μὴ
ἐν τῇ ὀγδόῃ δὲ ἡμέρᾳ, ἢ ἐν τῇ ὀγδόῃ μ', μὴ οὔσης δὲ θυσίας, θυσίας δὲ οὔσης, μὴ ἐν τῷ ὡρισ-
μένῳ δὲ τρόπῳ, μὴ τὰ νενομισμένα δὲ, ἢ τὰ νενομισμένα μὴν, μὴ καθαρὸς δὲ ὤν, ἢ καθα-
ρὸς ὤν, οὐ τοῖς προσήκουσι δὲ θεσμοῖς καθαρθείς, πάντα οἴχεται ἐκεῖνα. διὰ τοῦτο φησὶ ὅτι
ὀφειλέτης ἐστὶ ὅλον τὸν νόμον πληρῶσαι. μὴ μέρος πλήρωσης, ἀλλὰ τὸ πᾶν. εἰ δὲ οὐκ ἔστι κύ-
» ριος, μὴ δὲ τὸ μέρος. Καταργήθητε ἀπὸ τοῦ χυ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος
» ἐξεπέσετε. Ἐπειδὴ γὰρ κατεσκεύασεν, ἀποφαίνεται λοιπὸν, καὶ τὸν περὶ τῶν ἐκά-
των κριμνῶν κίνδυνον. ὅταν γὰρ ὁ τῷ νόμῳ προσέχων, μὴ ἐκεῖθεν δύνηται σώζεσθαι, καὶ
τῆς χάριτος ἐκπίπτῃ, τί λοιπὸν, ἀλλ' ἢ κόλασις ἀπαραίτητος; τοῦτο μὲν ἀτονοῦντος, τῆς δὲ,
οὐ προσιεμένης αὐτόν; αὐξήσας τοίνυν αὐτῶν οὕτω τὸν φόβον, μὴ κατασείσας αὐτῶν οὕτω
τὸν φόβον, καὶ κατασείσας αὐτῶν τὴν διάνοιαν, καὶ δείξας τὸ ναυάγιον ὃ μέλλουσιν ὑπομέ
νειν πᾶν, ἐγγύθεν ἀνοίγει αὐτοῖς τῆς χάριτος τὸν λιμένα. ὃ πανταχοῦ ποιεῖ, δύνολωτάτην
» τε, καὶ ἀσφαλεστάτην ἐντεῦθεν ἀποφαίνων τὴν σωτηρίαν. διὸ καὶ ἐπάγει λέγων. Ἡμεῖς γὰρ
» διὰ πίστεως ἐν πνεύματι ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. Οὐδενὸς ἐκείνων τῶν
νομίμων δεόμεθα φησὶν, ἀρκεῖ γὰρ ἡ πίστις ἡμῖν πύλας παρασχεῖν, καὶ δι' αὐτῆς δικαιοσύνην,
» καὶ τὰ πολλὰ, καὶ μεγάλα ἀγαθά. Ἐν γὰρ χῷ ἰησοῦ, οὔτε περιτομή τί ἐστιν, οὔτε ἀκρο
» βυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη. Ὁρᾷς πῶς λοιπὸν μετὰ πλείονος ἀποδύεται
παῤῥησίας; ὁ γὰρ τὸν χν ἐνδυσάμενος, μηκέτι ταῦτα περιεργαζέσθω φησὶν, καὶ μὴν ἔλεγεν
ὅτι βλαβερόν ἡ περιτομή. πῶς οὖν ἀδιάφορον αὐτὸ τίθησιν; ἀδιάφορον ὄντων ἤδη πρὸ
τῆς πίστεως ἐχόντων, οὐκ ὄντων μετὰ τὴν πίστιν περιτεμνομένων. ὅρα δὲ ποῦ αὐτὴν ἐξέβαλε,
μετὰ ἀκροβυστίαν σῴσας αὐτήν. τὸ γὰρ ποιοῦν τὴν διαφοράν, ἡ πίστις ἐστίν. ὥσπερ οὖν οὐ
ἀθλητὰς τὸν καταλέγῃ, οὔτε γυμνοὺς, οὔτε σεσημένους, οὔτε μέλανας, οὔτε λευκούς, οὐδὲν διαφέρει πρὸς τὴν δοκιμασίαν ταῦτα, ἀλλ' ἵνα ἰσχυροὶ, καὶ ἐπιστήμονες ὦσι. τοῦτο δεῖ ζητεῖν, οὕτως καὶ τὸν μέλλοντα ἀπογράφεσθαι, εἰς τὴν καινὴν διαθήκην, οὐδὲν βλάπτει τὰ σωματικὰ ταῦτα ἅπαντα, ὥσπερ οὖν οὔτε ὀνίνησιν οὐ πρᾶσις. τί δέ ἐστι δι' ἀγάπης ἐνεργουμένη; μεγάλων ἐν ταύτῃ πλοῦτον αὐτὸς ἔπλεξεν, ἐμφήνας ὅτι ἐκτὸς τῆς πρὸς χν ἀγάπην μὴ ῥιζωθῆναι, αὐτὴν ἡ παρείσδυσις γέγονεν. οὐ γὰρ τὸ πιστεῦσαι ἐστὶ τὸ ζητούμενον μόνον, ἀλλὰ καὶ τὸ μεῖναι ἀγαπῶντας, ὡς οὖν εἰ ἔλεγεν, εἰ ἠγαπᾶτε τὸν χν ὡς ἐχρῆν, οὐκ οὐ ἠτιμάσατε πρὸς τὴν δουλείαν, οὐκ οὐ τὸν ἐξαγοράσαντα ὑμᾶς ἀφήκατε, οὐκοὖν εὑρίσκετε τὰ ἐλευθερώσαντα. αἰνίττεται δὲ ἐν ταύτῃ, καὶ τοὺς ἐπιβουλεύοντας αὐτοῖς, δεικνὺς ὅτι μὴ ἐκεῖνοι εἰ ἀγάπην εἶχον πρὸς αὐτὸν, οὐκοὖν ἐτόλμησαν ταῦτα ποιεῖν. βούλεται δὲ καὶ τὸν βίον αὐτοῖς

» διορθοῦ ἀπὸ τ ῥήματος τούτου. Ε τρέχετε καλῶς, τίς ὑμᾶς ἐνέκοψεν; Οὐκ ἐρω-
τῶν ζς ὅτι ζ ἔλαττ, ἀλλ ἀπορουμένους καὶ ὀλοφυρομ, πῶς ὁ ζσοῦ ζς ἐνέκοπη δρόμος, τίς ὁ το
σοῦτον ἰσχύσας. οἱ πάντων ἀνώτεροι, καὶ ἐν τάξει διδασκάλων ὄντες, οὐ δὲ ἐν τάξει μα θη-
τῶν ἐμείνατε. τί γέγονε; τίς τοσοῦτον ἴσχυσε; ζῶν τα ἀπορουμένους ὅτι, καὶ θρηνοῦντος μ θν.
» ὥσπερ καὶ ἔμπροσθεν ἔλεγε. τίς ἡμᾶς ἐβάσκηνεν; Ἡ πεισμονὴ οὐκ ἐκ τ καλοῦντος ὑμᾶς.
Οὐκ ἔστι τούτοις ἐνκάλεσεν ὑμᾶς ὁ καλῶν, ὥστε οὕτως σαλεύεσθαι, οὐ ζῶν τα ἐνομοθέτησεν,
ὥστε ἰουδαΐζειν. εἶτα ἵνα μήτις λέγῃ, τί οὕτως τὸ πρᾶγμα σπαίρεις, καὶ δεινοῖς τ λόγοις;
μίαν ἐν ζηλοῖ τ νόμου ἐφυλάξαμεν μόνον, καὶ τοσαῦτα θορυβεῖς, ἄκουσον πῶς φοβεῖ.
» οὐκ ἀπὸ τῶν παρόντων, ἀλλ ἀπὸ τῶν μελλόντων λέγων οὕτως. Μικρὰ ζύμη ὅλον τὸ
» φύραμα ζυμοῖ. Οὕτως καὶ ὑμᾶς ἰσχύει φῆ τὸ μικρὸν ζς σφάλμα, μὴ διορθωθέν, μ
» εἰς τέλειον ἰουδαϊσμὸν ἀγαγεῖν, ὥσπερ ἡ ζύμη τὸ φύραμα. Ε γὼ πέποιθα εἰς ὑμᾶς ἐν χ,
» ὅτι οὐδὲν ἄλλο φρονήσετε. Οὐκ εἴασεν ὅτι οὐ φρονεῖτε, ἀλλ οὐ φρονήσετε. τουτέστιν ὅτι διορ-
θώσεσθε. πόθεν οἶδας ζς; οὐκ εἴασεν οἶδα, ἀλλὰ πιστεύω τ θεῷ φησι, καὶ τ ἐν ἐκείν καλ-
λῶ συμμαχίαν πρὸς τὴν ὑμετέραν διόρθωσιν θαῤῥῶν, καὶ οὐχ ἁπλῶς εἶπε πέποιθα, εἰς
ὑμᾶς, ἀλλ ἐν κυρίῳ. πανταχοῦ γὰ μετ ἐγκωμίων πλέκει τὰς κατηγορίας, ὡς αὐ εἰ ἔλεγεν.
οἶδα τὴς ἐμοὺς μαθητάς, οἶδα τ ὑμῶν δ διόρθωτον. θαῤῥῶ ζς μ. ἀλλ ἐν κύριον τ οὐκ
ἐῶντα ἀπολέσθαι, οὐ δὲ τ τυχόν. ζς δὲ δι ὑμᾶς τοὺς δι ωαμένους ταχέως ἑαυτοὺς ἀνα-
κτήσασθαι. ἅμα δὲ καὶ προτρέπει, καὶ τὴν παρ ἑαυτῶν ωονδὴν εἰσενεγκεῖν, ὡς οὐκ ἐνὸν
» τῶν παρὰ τ δ τυχεῖν, αὐ μὴ καὶ τὰ παρ ἡμῶν εἰσφέρεται. Ὁ δὲ ταράττων ὑμᾶς,
» βαστάσει τὸ κρίμα, ὅστις αὐ ἦ. Ε κατέρωθεν αὐτὸς ἀλείφει, καὶ ἐξ ὧν παρεθαῤῥύνε, μ
ἐξ ὧν ἐκείνοις ἐπηράσατο, ἢ προεφήτευσε. σὺ δέμοι σκόπει πῶς οὐδαμοῦ ὄνομα τίθησι τῶν
σπιβουλευόντων, ἵνα μὴ ἀναισχυντότεροι γένωνται. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. οὐκ σπεισθὴ
ὑμεῖς οὐδὲν ἄλλο φρονήσετε, διαζς οἱ τῆς ἀπάτης αὐτοὶ ἀπηλλαγμένοι τῆς πολάσεως εἰ-
σίν. ἀλλὰ δώσουσι δίκην. οὐ δὲ ζῆ προσῆκον τὴν ἑτέρων ωονδὴν τῆς ἰδίων κακοπαθείας γε-
νέσθαι παραμυθίαν. γίνεται δὲ τ το, ἵνα μὴ καὶ ἑτέροις πάλιν σπίδωνται. μ οὐχ ἁπλῶς
» εἶπεν οἱ ταράττοντες, ἀλλὰ καὶ ἐπῆρε τὸν λόγον, ὅστις αὐ ἦ. Ε γὼ δὲ ἀδελφοὶ εἰ περι-
» τομὴν κηρύττω, τί ἔτι διώκομαι; Ε πειδὴ ζῆ διέβαλλον αὐτὸν ὡς πολλαχοῦ ἰουδαΐζον-
τα, καὶ ζῶν κρινόμενον τὸ κήρυγμα, ὅρα πῶς καθαροὺς ἐνεδύσατο μάρτυρας αὐτοὺς κα-
λῶν. οἴδατε γάρ φησι, καὶ ὑμεῖς, ὅτι διωγμῶν μου πρόφασις τοῦτό ἐστι, ὅτι κελεύω ἀπέχεσθαι
τ νόμου. εἰ δὲ περιτομὴν κηρύσσω, τί διώκομαι; οὐδὲν ζῆ ἕτερον ἐγκαλεῖν ἔχουσί μοι οἱ ἐξ
ἰουδαίων, ἢ τ το μόνον. καὶ ζῆ εἰ συνεχώρουν αὐτοῖς μετὰ τῶν πατρῴων ἐθῶν πιστεύειν, οὐκ
ἂν οὔτε οἱ πιστεύσαντες, οὔτε οἱ ἀπιστήσαντες ἐπεβούλευσαν, τῷ μηδὲν τῶν οἰκείων παρα-
σαλεύεσθαι. τί οὖν οὐκ ἐκήρυξε περιτομήν; οὐ περιέτεμε τὸν Τιμόθεον; περιέτεμε μέν. πῶς
οὖν φησιν, οὐ κηρύσσω; καὶ ἐνταῦθα αὐ τ μάθε τὴν ἀκρίβειαν. οὐ ζῆ εἶπεν, ὅτι περιτομὴν
οὐκ ἐργάζομαι, ἀλλὰ κηρύσσω. τουτέστιν οὐχ οὕτως κελεύω πιστεύειν. μὴ ζῆ εἰς δογμάτων
» λάβῃς βεβαίωσιν. περιέτεμεν μέν ζῆ, οὐκ ἐκήρυξα δὲ περιτομήν. Ἆρα κατήργηται τὸ
» σκάνδαλον τ σταυροῦ. Τουτέστι τὸ ἐμπόδιον τὸ κώλυμα ἀνῄρηται, εἰ τ το ἔστιν ὁ φα-
τέ. οὐ δὲ ζῆ οὕτως ὁ σταυρὸς ἦν σκάνδαλον τοῖς ἰουδαίοις, ὡς τὸ μὴ πείθεσθαι τοῖς πατρῴοις
νόμοις. καὶ ζῆ

νόμοις. καὶ γὰρ τὸν στέφανον προσενεγκόντες, οὐκ εἶπον ὅτι οὗτος τὸν ἐρῶμενον προσκυνεῖ, ἀλλ' ὅτι κατὰ τὸν τόπον, καὶ τὸν νόμον λέγει τὸν ἅγιον. καὶ τῷ Ἰησοῦ δὲ τῷ συνεκάλουν, ὅτι τὸν νόμον παραλύει. διόφησιν ὁ παῦλος, εἰ συγκεχώρηται περιτέμνεσθαι, λέλυται ἡ φιλονεικία ἡ πρὸς ὑμᾶς, οὐ δὲ μία λοιπὸν ἔχθρα μένει πρὸς τὸν θεὸν, καὶ τὸ κήρυγμα. εἰ δὲ καθ' ἑκάστην ἡμέραν φονῶσι καθ' ἡμῶν, πῶς τοῦτο ἐγκαλοῦσιν ἡμῖν; ἐμοὶ γοῦν διὰ τοῦτο ἐπείσθησαν, ὅτι εἰσήνεγκα ἀκροβυστον, εἰς τὸν ναόν. ἆρ' οὖν οὕτως ἀνόητός εἰμι φησὶν, ὡς συγκεχωρημένης περιτομῆς, εἰκῆ καὶ μάτην τοσαύτην ἀναδέχεσθαι βλάβην; τοσοῦτον σκάνδαλον θεῖναι τῷ θεῷ; ὁρᾶτε γὰρ ὅτι δι' οὐδὲν ἡμῖν πολεμοῦσιν οὗτος, ὡς διὰ τὴν περιτομήν. οὕτως οὖν ἀνόητος ἦμην, ὡς ὑπὲρ τοῦ μηδενὸς θλίβεσθαι, καὶ σκανδαλίζειν ἑτέρους; θεοῦ δὲ σκάνδαλον ἐκάλεσεν, ὅπερ δὴ καὶ ὁ τοῦ θεοῦ λόγος τοῦτο ἐποίησε, καὶ τοῦτο μάλιστα ἦν τὸ σκανδαλίζον Ἰουδαίους, καὶ κωλύον τὸν θεὸν ἀναδέχεσθαι, τὸ κελεύειν τῶν πατρώων ἀφίστασθαι ἐθῶν. » Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. Ὅρα πῶς ἐστι πικρὸς ἐντεῦθεν καὶ κατὰ τῶν ἀπατηκότων. παρὰ μὲν γὰρ τὴν ἀρχὴν, τοὺς ἀπατημένους τὴν κατηγορίαν ἔτρεπεν, ἀνοήτους καλῶν, καὶ ἄπαξ, καὶ δεύτερον. ἐπειδὴ δὲ καλῶς αὐτοὺς ἐπαίδευσε, καὶ διώρθωσε, πρὸς τοὺς ἀπατηκότας τρέπεται λοιπόν. δεῖ δὲ ἡμᾶς σωφρονεῖν, καὶ ἐντεῦθεν αὐτῆς τὴν σοφίαν. πῶς τούτους μὲν ὡς παῖδας οἰκείους, καὶ διωκομένους λαβεῖν διόρθωσιν, νουθετεῖ σωφρονίζει, τοὺς δὲ ἀπατηκότας, ὡς ἀλλοτρίους, καὶ ἀνίατα νοσοῦντας, ἐκκόπτει. τοῦτο μὲν λέγει, βασάνει τὸ κρίμα, ὅστις ἂν ᾖ. τοῦτο δὲ ἐπαρώμενος αὐτοῖς, καὶ λέγων, ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. μὴ καλῶς εἶπεν ἀναστατοῦντες. τὴν γὰρ οἰκείαν πατρίδα, καὶ τὴν ἐλευθερίαν, καὶ τὴν συγγένειαν ἀφέντες τὴν ἄνω, τὴν ἀλλοτρίαν, καὶ ξένην μεταδιώκειν ἠνάγκασαν, ἀπὸ μὲν τῆς ἄνω Ἱερουσαλὴμ, καὶ τῆς ἐλευθέρας ἐκβάλλοντες, διαζόμενοι δὲ καθάπερ αἰχμαλώτους, μὴ μετανάστας πλανᾶσθαι. διόπερ αὐτοῖς ἐπαρᾶται. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, οὐδέν μοι μέλλει περὶ ἐκείνων, αἱρετικὸν γὰρ ἄνθρωπον μετὰ πρώτην, καὶ δευτέραν νουθεσίαν παραιτοῦ. εἰ βούλονται μὴ περιτεμνέσθωσαν μόνον, ἀλλὰ καὶ περικοπτέσθωσαν. ποῦ τοίνυν εἰσὶν, οἱ ζηλοῦντες ἀποκόπτειν ἑαυτοὺς, καὶ τὴν αἰρεσιν σπιασώμενοι; καὶ τὴν τοῦ θεοῦ δημιουργίαν διαβάλλοντες, καὶ τοῖς μανιχαίοις συμπράττοντες; ἐκεῖνοι μὲν γάρ φασι τὸ σῶμα σπίβουλον εἶναι, καὶ ὕλης τῆς πονηρᾶς. οὗτοι δὲ διὰ τῶν ἔργων τοῖς χαλεποῖς δόγμασι τούτων διδόασιν ἀφορμήν. ὡς γὰρ ἐχθρὸν, καὶ σπίβουλον ἀποκόπτουσι τὸ μέλος. οὐκοῦν πολλῷ μᾶλλον τοὺς ὀφθαλμοὺς πηρῶσαι ἐχρῆν. διὰ γὰρ τῶν ὀφθαλμῶν, εἰς τὴν ψυχὴν κάτεισιν ἡ σπιθυμία, διὰ οὔτε ὀφθαλμὸς, οὔτέ τι ἄλλο μέλος αἴτιον. ἀλλ' ἡ πονηρὰ προαίρεσις μόνον. εἰ δὲ οὐκ ἀνέχῃ, διατί μὴ καὶ γλῶτταν διὰ τὴν βλασφημίαν, καὶ χεῖρας διὰ τὴν ἁρπαγὴν, καὶ πόδας διὰ τὴς πονηρίαν δρόμους, καὶ πᾶν ὡς εἰπεῖν τὸ σῶμα κατακόπτεις; καὶ γὰρ ἀκοὴ καζουλιζομένη, πολλάκις κατεμάλαξε τὴν ψυχὴν, καὶ ῥῖνες ὀσμὴν ἡδεῖαν δεξάμεναι, κατεγοήτευσαν τὴν διάνοιαν, καὶ πρὸς ἡδονὴν ἐξεβάκχευσαν. οὐκοῦν πάντα περικόψωμεν, καὶ ὦτα, καὶ χεῖρας, καὶ ῥῖνας, ἀλλ' ἐχάτης ταῦτα παρανομήσας, καὶ σατανικῆς παραπλησίας. δέον γὰρ διορθῶσαι μόνον τὴν ἄτακτον τῆς ψυχῆς ὁρμὴν, ὡς τὸ τεχνίτου διαμαρτάνοντος, τὸ ὄργανον συντρίβειν ἀνέπεσεν ὁ πονηρὸς δαίμων, καὶ φόνοις χαίρων διηνεκῶς. πῶς οὖν τὸ σώ-

μαρς παινο μένου φησὶν ἐκκαίεται ἐπιθυμία; ἰδοὺ πάλιν τὸ ἁμάρτημα τῆς ψυχῆς. τὸ γὰρ παίνειν τὴν σάρκα, οὐ τῆς σαρκός ἐστιν, ἀλλὰ τῆς ψυχῆς. εἰ γὰρ βούλοιτο κατατήκειν, αὐτὴ τὴν ἐξουσίαν ἅπασαν ἔχει, σὺ δὲ παραπλήσιον ποιεῖς. ὥσπερ αὖ εἴ τις ὁρῶν τινὰ τῶν καίοντα, καὶ ἐπιβάλλοντα ξύλα, καὶ οἰκίαν ἐμπιπρῶντα, ἀφεὶς τὸν ἅψαντα τὴν πυρὰν, ἐγκαλέσειε τῇ πυρᾷ, ὅτι πολλῶν ἐπιλαβομένη ξύλων, εἰς ὕψος ἐρρύη, ἀλλ' οὐκ ἦν τὸ ἔγκλημα τοῦ πυρός, ἀλλὰ τοῦ ἅψαντος τὸ πῦρ. οὕτω γὰρ πρὸς προφῶ, πρὸς φωτισμὸν, πρὸς ἄλλα τοιαῦτα ἐδόθη διακονίαν, οὐχ ἵνα καίῃ τὰς οἰκίας. ὥσπερ οὖν καὶ ἡ ἐπιθυμία, εἰς πάσαν ποιΐαν, καὶ βίου σύγκασιν, οὐ πρὸς μοιχείαν, καὶ πορνείαν, καὶ ἀσελγείαν, ἵνα πατὴρ γένῃ, οὐχ ἵνα μοιχὸς, ἵνα νομίμως ὁμιλήσῃς γυναικὶ, οὐχ ἵνα παρανόμως διαφθείρῃς, ἵνα καταλίτῃς ὠέρμα, οὐχ ἵνα τὸ ἑτέρου λυμήνῃ. τὸ γὰρ μοιχεύειν, οὐ τῆς ἐπιθυμίας ἐστὶ τῆς φυσικῆς, ἀλλὰ τῆς ὕβρεως τῆς παρὰ φύσιν, ἡ γὰρ ἐπιθυμία μίξιν ἐπιθυμεῖ μόνον, οὐ τοιαύτην δὲ μίξιν. ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται νυνὶ, ἀλλὰ προαναιρούμεθά τινας ἀγῶνας, καὶ προαπροβολιζόμεθα πρὸς τοὺς ἔχοντας τὸ θεοῦ τὴν δημιουργίαν πονηρὰν εἶναι, καὶ τῆς μὲν ψυχῆς τὴν ῥᾳθυμίαν ἐῶντας, κατὰ δὲ τὸ σώματος μαινομένους, καὶ τὴν σάρκα ἡμῶν διαβάλλοντας, περὶ ὧν καὶ μεταξὺ ὁ ἀπόστολος παῦλος διαλέγεται, οὐ τῆς σαρκὸς κατηγορῶν ἀλλὰ τῶν διαβολικῶν λογισμῶν. Ὑμεῖς δὲ ἀδελφοὶ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε. μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί. Ἐντεῦθεν λοιπὸν δοκεῖ μοι εἰς τὸν ἠθικὸν ἐκβαίνειν λόγον, πάσχει δέ τι καινὸν, καὶ ὅπερ οὐδεμιᾷ τῶν ἄλλων ἔπαθεν ἐπιστολῶν. πάσας γὰρ διαλαμβάνων εἰς μέρη δύο, καὶ τὰ μὲν πρῶτα περὶ δογμάτων τὰ δὲ ἔσχατα περὶ βίου διαλεγόμενος, ἐνταῦθα εἰς τὸν ἠθικὸν ἐμπεσὼν λόγον, πάλιν ἀναμίγνυσι τὸν δογματικόν. καὶ γὰρ οὗτος ἐκείνου πάλιν ἔχεται ἐν τῇ πρὸς μανιχαίους μάχῃ. τί δέ ὅτι μόνον μὴ τὴν ἐλευθερίαν τῇ σαρκὶ εἰς ἀφορμήν; ἀπήλλαξεν ὑμᾶς φησὶν ὁ χριστὸς τοῦ ζυγοῦ τῆς δουλείας, κυρίους ἀφῆκε τοῦ πράττειν ὅ, τι βούλεσθε, οὐχ ἵνα τῇ ἐξουσίᾳ πρὸς κακίαν χρησώμεθα, ἀλλ' ἵνα μείζονος λάβωμεν μισθοῦ πρόφασιν καὶ φιλοσοφίαν μείζονα ἐνιόντες. ἐπειδὴ γὰρ ἄνω, καὶ κάτω ζυγὸν δουλείας καλεῖ τὸν νόμον, καὶ καταράσασθαι παλλαγὴν, ἵνα μήτις ὑποπτεύσῃ ὅτι διαβολὴν κελεύει τοῦ νόμου ἀποφῆναι, ἵνα ἔξει παρανόμως ζῶν, διορθοῦται τὴν ὑπόνοιαν λέγων, οὐχ ἵνα παράνομος γένηται ἡ πολιτεία, ἀλλ' ἵνα ὑπὲρ τὸν νόμον ἡ φιλοσοφία. ἐλύθη γὰρ τοῦ νόμου τὰ δεσμὰ, καὶ ἐγὼ ταῦτα λέγω, οὐχ ἵνα τανῦν πονηρότεροι, ἀλλ' ἵνα ὑψηλότεροι γενώμεθα. καὶ γὰρ ὁ πορνεύων, καὶ ὁ παρθενεύων, ἀμφότεροι τοῦ νόμου τὰ μέτρα ἐξέβησαν, ἀλλ' οὐκ ἐπὶ τοῖς αὐτοῖς. ἀλλ' ὁ μὲν ἐπὶ τὸ χεῖρον κατενεχθείς, ὁ δὲ ἐπὶ τὸ βέλτιον ἐπαρθείς, ὁ μὲν παραβὰς, ὁ δὲ ὑπερβὰς τὸν νόμον. διὸ οὖν φησιν, ὁ παῦλος, ὅτι ἐλυσε τὸν ζυγὸν ἀφ' ἡμῶν, οὐχ ἵνα σκιρτήσητε, οὐδ' ἵνα λακτίσητε, ἀλλ' ἵνα χωρεῖς ζυγοῦ βαδίζητε εὐρύθμως, εἶτα καὶ δείκνυσι τρόπον δι' οὗ ῥᾳδίως αὐτὸ τοιοῦτον κατορθωθείη. τίς οὖν ὁ τρόπος; Διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις φησί. Πάλιν ἐνταῦθα αὐτίπαλος ὅτι φιλονεικία, καὶ στάσις, καὶ φιλαρχία, μὴ ἀπόνοια, ταύτης τῆς πλαυήσης αὐτοῖς ἐγένοντο. ἡ γὰρ τῶν αἱρέσεων μήτηρ, ἡ τῆς φιλαρχίας ἐστὶν ἐπιθυμία. εἰπὼν γὰρ ὅτι δουλεύετε ἀλλήλοις, ἔδειξεν ὅτι ἐξ ἀπονοίας, καὶ τύφου ἔλαβεν ἀρχὴ τὸ κακὸν, διὸ κατάλληλον ἐπεισάγει φάρμακον. ἐπειδὴ γὰρ ἀλλήλων ἄρχειν βουλόμενοι διεχίθητε, δουλεύσατε

λβύσατε ἀλλήλοις, οὕτως γὰρ σωαχθήσεσθε πάλιν. ἀλλὰ φανερῶς μὲν οὐ λέγει τὸ ἁμάρτημα, φανερῶς δὲ πάθησι τὴν διόρθωσιν, ἵνα δι' αὐτῆς κἀκεῖνοι μάθωσιν, ὡς αὖ εἴ τις τῷ ἀσελγαίνοντι, ὅπ μὴ ἀσελγαίνειν μὴ λέγοι, παραινεῖ δὲ συνεχῶς σωφρονεῖν. ὁ γὰρ ἀγαπῶν, ὡς χρὴ τὸν πλησίον, οὐ παραιτεῖται δουλεύειν αὐτῷ πανταχοῦ δοῦλα τὰ ταπεινότερον. καθάπερ γὰρ πῦρ ὁμιλῆσαν κηρῷ μαλάττει ῥᾳδίως αὐτὸν, οὕτως καὶ ἡ τοῦ ἀγάπης θερμότης, πάντα τὸν φόβον, καὶ ἀπόνοιαν πυρὸς σφοδρότερον διαλύει. διαπαντὸς οὖν εἶπεν ἀγαπᾶτε ἀλλήλους ἁπλῶς. ἀλλὰ δουλεύετε, τῇ ἐπιτεταμένῃ δηλῶν φιλίαν. ἐπεὶ δὴ γὰρ τὸν νόμον τὸν ζυγὸν ἀνεῖλεν, ἵνα μὴ ἀποσκιρτήσωσιν, ἕτερον αὐτοῖς ἐπιτίθησι ζυγὸν τὸν τῆς ἀγάπης, ἰσχυρότερον μὲν ἐκεί
» νου, κουφότερον δὲ καὶ ἡδίω πολλῷ. εἶτα δείκνυς αὐτὸ τὸ κατορθούμενον, φησίν. Ὁ γὰρ πᾶς
» νόμος, ἐνὶ λόγῳ πεπλήρωται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν. Ἐπεὶ δὴ γὰρ ἄνω καὶ κάτω τὸν νόμον ἔφερεν, εἰ βούλει αὐτὸν φησι πληροῦν, μὴ περιτέμνου, οὐ γὰρ ἐν τῇ περιτομῇ ἀλλ' ἐν τῇ ἀγάπῃ πληροῦται. ὅρα τῆς ὁδοιπορίας πῶς οὐκ ἐπιλανθάνεται τῆς
» ἑαυτοῦ, ἀλλὰ τὸ πονοῦν κινεῖ συνεχῶς, καὶ εἰς τὸν ἡθικὸν ἐξελθὼν λόγον. Εἰ δὲ ἀλλήλους
» δάκνετε, καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε. Οὐκ ἀποφαίνεται ἵνα μὴ βαρήσῃ, ἀλλ' οἷα μὲν αὐτὸ γινόμενον. λέγει δὲ αὐτὸ μὴ ἀμφιβολίας, οὐ γὰρ εἶπεν ἐπεὶ δὴ ἀλλήλους δάκνετε, καὶ τὰ ἑξῆς ὁμοίως. οὐ δὲ γὰρ ἐκεῖ πάλιν ἀπεφλαύρισε τὸ ὑπ' ἀλλήλων ἀναλωθῆτε, ὅπερ ὄντι φοβουμένου, καὶ ἀσφαλιζομένου οὐ κατασιγάζοντος. μὴ ταῖς λέξεσι δὲ ἐμφανῶς ἐχρήσατο, οὐ γὰρ εἶπε δάκνετε μόνον, ὅπερ ὄντι θυμουμένου, ἀλλὰ καὶ κατεσθίετε, ὅπερ ὄντων ἐμμένοντας τῇ πονηρίᾳ. ὁ μὲν γὰρ δάκνων, ὀργῆς ἐπλήρωσε πάθος, ὁ δὲ κατεσθίων, θηριωδίαν ἐχούσης παρέσχεν ἀπόδειξιν. δήγματα δὲ καὶ βρώσεις, οὐ τὰς σωματικὰς φησιν, ἀλλὰ τὰς πολὺ χαλεπωτέρας. οὐ γὰρ οὕτως ὁ ἀνθρωπίνης ἀπογευσάμενος σαρκὸς ἔβλαψεν, ὡς ὁ δήγματα εἰς τὴν ψυχὴν πηγνύς. ὅσον γὰρ ψυχὴ πρωτέρα σώματος, τοσοῦτον χαλεπωτέρα ἡ ταύτης βλάβη. βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε, ἐπεὶ δὴ γὰρ οἱ ἀδικοῦντες, καὶ ἐπιβουλεύοντες, ὡς ἄλλους ἀναλίσκοντες εἰς τοῦτο ἔρχονται, διὰ τοῦτο φησι, σκοπεῖτε μὴ εἰς ὑμᾶς τὸ πρᾶγμα περιτραπῇ. ἡ γὰρ διάφασις, καὶ ἡ μάχη, φθορᾶς ποιόν, καὶ ἀναλωτικόν, μὴ τῶν δεχομένων αὐτὴν, καὶ τῶν εἰσαγόντων, καὶ ἐντὸς μᾶλλον
» ἅπαντα διατρώγει. Λέγω δὲ πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τε-
» λέσητε. Ἰδοὺ καὶ ἑτέραν δείκνυσιν ὁδὸν εὔκολον ποιοῦσαν τὴν ἀρετὴν, καὶ κατορθοῦσαν τὰ εἰρημένα, ὁδὸν τίκτουσαν ἀγάπην, μὴ σφιγγομένην ὑπὸ τῆς ἀγάπης. οὐδὲν γὰρ οὐδὲν οὕτως ἀγαπητικοὺς ποιεῖ, ὡς τὸ πνευματικοὺς εἶναι. καὶ οὐδὲν οὕτως ἰσχύει παραμένειν ἡμῖν τὸ πνεῦμα, ὡς ἡ τῆς ἀγάπης ἰσχύς, διό φησι. πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. ἐπεὶ δὴ γὰρ εἶπε τὸ ποιοῦν τὴν νόσον, λέγει καὶ τὸ τὴν ὑγείαν χαριζόμενον φάρμακον. ποῖον δὲ τοῦτο ὅτι, μὴ τὶς ἡ δύναμις τῶν εἰρημένων καλῶν, ἢ τὸ πνεύματι
» ζῆν; διό φησι. Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε, ἡ γὰρ σὰρξ
» ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς, ταῦτα δὲ ἀντίκειται ἀλ-
» λήλοις, ἵνα μὴ ἃ θέλετε, ταῦτα ποιῆτε. Ἐνταῦθα δὲ ἐπιτίθενταί τινες λέγοντες, ὅτι διεῖλεν εἰς δύο τὸν ἄνθρωπον ὁ ἀπόστολος, ὡς περ ἐξ ἐναντίας οὐσίας κατεσκευασμένον εἰσάγων, καὶ μάχην πρὸς τὴν ψυχὴν δεικνὺς οὖσαν. ἀλλ' οὐκ ὄντι ταῦτα οὐκ ὄντι. σάρκα γὰρ

ζῶν θαι οὐ τὸ σῶμα καλεῖ. εἰ γὰρ σάρξ φησι, πῶς ἔχει τὸ ἐξῆς εἰρημένον; ἐπιθυμεῖ γάρ φησι κατὰ τοῦ πνεύματος. μὴ μὴν σάρξ, οὐ τῶν κινουντων, ἀλλὰ τῶν κινουμένων ἐστὶν, οὐ τῶν ἐνεργούντων, ἀλλὰ τῶν ἐνεργουμένων. πῶς οὖν ἐπιθυμεῖ; εἰ γὰρ ἐπιθυμία, οὐ σαρκὸς, ἀλλὰ ψυχῆς. μὴ γὰρ ἄλλα χοῦ φησι, κατεπίθυμός ἐστιν ἡ ψυχή μου. καὶ τί ἐπιθυμεῖ ἡ ψυχή σου καὶ ποιήσωσοι; καὶ μὴ πορεύου κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς σου. καὶ πάλιν οὕτως ἐπιποθεῖ ἡ ψυχή μου, πῶς οὖν παῦλος φησὶν ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος; οἱ δὲ σάρκα καλεῖν οὐ τὸ τοῦ σώματος φύσιν, ἀλλὰ τὴν πονηρὰν προαίρεσιν, ὡς ὅταν λέγῃ, ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. μὴ πάλιν. οἱ δὲ ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται. τί οὖν, ἀνελεῖν δεῖ τὴν σάρκα; οὐδὲ ὁ ζῶντα λέγων, οὐ σάρκα περιέκειτο; οὐ τὸ σαρκὸς, ἀλλὰ τοῦ διαβόλου ταῦτα τὰ διδάγματα, ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἦν ἀπαρχῆς. τί οὖν φησι; σάρκα ἐν ζῶν θαι τὸν λογισμὸν καλεῖ τὸν γεώδη, τὸν ῥᾳθυμον, καὶ ἠμελημένον. σὰρξ δὲ οὐ σώματος κατηγορία, ἀλλὰ ῥᾳθύμου ψυχῆς ἔγκλημα. ὄργανον γάρ ἐστιν ἡ σάρξ, τὸ δὲ ὄργανον οὐδεὶς ἀποτρέφεται, καὶ μισεῖ, ἀλλὰ τὸν τὸ ὄργανον κακῶς μεταχειριζόμενον. καὶ γὰρ οὐ τὸν σίδηρον ἀλλὰ τὸν ἀνδροφόνον, καὶ μισοῦμεν, καὶ κολάζομεν. ἀλλὰ καὶ αὖ τὸ σὰρξ φησὶ κατηγορία σώματος, τὰ τὰ ἁμαρτήματα τῆς ψυχῆς τῷ τῆς σαρκὸς ὀνόματι καλεῖσθαι. ἐγὼ δὲ ὁμολογῶ μὲν ἐλάττονα εἶναι τῆς ψυχῆς τὴν σάρκα, καὶ αὐτὴν δὲ καλῶ, τὸ γὰρ ἔλαττον τοῦ κρείττονος, καὶ αὖ τὸ καλὸν, τὸ δὲ κακὸν, οὐκ ἔλαττον τοῦ κακοῦ, ἀλλ' ἐναντίον. σὺ δὲ εἰ μὴ ἔχεις δεῖξαι ἀπὸ τοῦ σώματος καταστυγαζομένην τὴν κακίαν, κατηγόρει τῆς σαρκὸς, εἰ δὲ ἀπὸ τῆς προσηγορίας διαβάλλειν ἐπιχειρεῖς, ὥρασε, μὴ τῆς ψυχῆς κατηγορεῖν. καὶ γὰρ ψυχικὸς ἄνθρωπος λέγεται ὁ τῆς ἀληθείας ἐστερημένος. καὶ πνεύματα πονηρίας λέγεται τὰ τῶν δαιμόνων πλήθη. τῷ δὲ τῆς σαρκὸς ὀνόματι πάλιν, μὴ τὰ μυστήρια καλεῖν εἰώθεν ἡ γραφὴ, καὶ τὴν ἐκκλησίαν ἅπασαν, σῶμα λέγουσαν εἶναι τοῦ χυ. εἰ δὲ βούλει, καὶ κατορθώματα καλεῖν τὰ δι' αὐτῆς γινόμενα, σθένον τῷ λόγῳ τὰς αἰσθήσεις, καὶ ἔρημον ὄψει τὴν ψυχὴν γνώσεως ἁπάσης, καὶ οὐδὲν εἰδυῖαν ὧν οἶδεν. εἰ γὰρ ἡ δύναμις τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοουμένη καθορᾶται, πῶς αὖ ἴδοιμεν χωρὶς ὀφθαλμῶν; εἰ δὲ καὶ ἡ πίστις ἐξ ἀκοῆς, πῶς ἀκουσόμεθα χωρὶς ὤτων; μὴ τὸ κηρύξαι δὲ μὴ τὸ περιελθεῖν, δίχα γλώττης μὴ ποδῶν. πῶς γὰρ κηρύξουσιν ἐὰν μὴ ἀποταλῶσι; μὴ τὸ γράψαι δίχα χειρῶν. ὁρᾷς ὅτι μυρίων ἡμῖν ἀγαθῶν ὄντων αἰτία τῆς σαρκὸς ἡ διανοία; εἰ δὲ λέγει ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, περὶ δύο φησὶ λογισμῶν, οὗτοι γὰρ ἀλλήλοις ἀντίκεινται), ἡ ἀρετὴ μὴ ἡ κακία, οὐχ ἡ ψυχὴ μὴ τὸ σῶμα. εἰ γὰρ ταῦτα ἀντίκειται), ἀλλήλων ἐστὶν ἀναιρετικὰ, ὡς τὸ πῦρ τοῦ ὕδατος, ὡς τὸ σκότος τοῦ φωτὸς. εἰ δὲ ἐπιμελεῖ) σώματος ψυχὴ, μὴ πολλὴν αὐτοῦ ποιεῖ πρόνοιαν, μὴ μυρίας πάσχει, ὥστε αὐτὸ μὴ καταλιτωεῖν, καὶ ἀποῤῥιγνυμένη κωλύει, καὶ τὸ σῶμα αὐτῇ διανοεῖται, καὶ πολλῷ εἰσάγει γνῶσιν αὐτῇ, καὶ πρὸς τὴν ἐκείνης ἐνέργειαν ἕδρας κατεσκεύασται, πῶς οὖν ἐναντία ταῦτα εἴη, καὶ μαχόμενα ἀλλήλοις; ἐγὼ γὰρ οὐ μόνον οὐκ ἐναντία, ἀλλὰ καὶ σφόδρα ὁμονοοῦντα, μὴ ἀλλήλων αὐτεχόμενα δίχα τοῦ ἔργου ἐρῶ. οὐ τοίνυν περὶ τούτων φησὶν, ὅτι ἀντίκειται) ἀλλήλοις. ἀλλὰ λογισμῶν πονηρῶν, μὴ ἀγαθῶν μάχην εἰσάγει. τὸ γὰρ θέλειν, καὶ μὴ θέλειν, τῆς ψυχῆς διαφόρως φησὶ, ταῦτα δὲ ἀντίκειται, ἵνα μὴ συγχωρῇς τῇ ψυχῇ πορεύεσθαι ἐν ταῖς ἐπιθυμίαις αὐτῆς ταῖς πονηραῖς. καθάπερ γάρ τις παιδαγωγὸς, καὶ

δαγωγὸς, μὴ διδάσκαλος φοβῶν, ταῦτα ἐφ' ἑτέρᾳ. εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. ποία οὖν ἀκολουθία; μεγίστη μὲν καὶ σαφὴς, ὁ γὰρ πνεῦμα ἔχων ὡς χρὴ, σβέννυσι μὲν τοὺς πονηροὺς ἐπιθυμίαν ἅπασαν, ὁ δὲ τούτων ἀπαλλαγεὶς, οὐ δεῖται τῆς ἀπὸ τοῦ νόμου βοηθείας, ὑψηλότερος πολλῷ τῆς ἐκείνου παραγγελίας γενόμενος. ὁ γὰρ μὴ ὀργιζόμενος, πῶς δεῖται ἀκούειν οὐ φονεύσεις; ὁ μὴ βλέπων ἀκολάστοις ὀφθαλμοῖς, πῶς χρήζει τοῦ παιδαγωγοῦντος μὴ μοιχεύειν; τίς γὰρ διαλέγεται περὶ τοῦ καρποῦ τῆς καλιᾶς, τῷ τὴν ῥίζαν αὐτὴν ἀνασπάσαντι; ῥίζα γὰρ φόνου, θυμὸς, καὶ μοιχείας, ἡ περίεργος θεωρία τῶν ὀψέων. διαρρήδην φησὶν, εἰ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. ἐν τούτῳ δὲ μοι δοκεῖ, καὶ ἐγκώμιον τοῦ νόμου εἰρηκέναι μέγα, καὶ θαυμαστόν. εἰ δὲ ἐνταῦθα τοῦ πνεύματος ὁ νόμος ἦν, κατὰ δύναμιν τὴν ἑαυτοῦ πρὸς τῆς τοῦ πνεύματος ἐπιφοιτήσεως, οὐ μὴν διαρρήδην ἔναπομένειν χρὴ τῷ παιδαγωγῷ. τότε μὲν εἰκότως ὑπὸ νόμον ἦμεν, ἵνα τῷ δέει κολάζωμεν τὰς ἐπιθυμίας, οὔπω τοῦ πνεύματος φανέντος. νυνὶ δὲ τῆς χάριτος δεδομένης τοῦ κωλύουσης μόνον αὐτῶν ἀπέχεσθαι, ἀλλὰ καὶ παραινούσης αὐτὰς, καὶ πρὸς μείζονα πολιτείαν ἀναγούσης, τίς χρεία νόμου; τῷ γὰρ οἰκοδεν κατορθοῦντι τὰ μείζω, ποῦ χρεία παιδαγωγοῦ; οὐ δὲ γραμματικοῦ τις δέεται φιλόσοφος ὤν. τί τοίνυν ἑαυτοὺς ἐξοπλίζετε, τῷ πνεύματι πρότερον ἑαυτοὺς ἐκδύντες, καὶ νυνὶ προσκαθήμενοι τῷ νόμῳ; Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, φαρμακεία, εἰδωλολατρεία, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν καθὼς προεῖπον, ὅτι τὰ τοιαῦτα πράσσοντες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. Ἐν τούτοις δὲ λοιπὸν ὁ τῆς σαρκὸς συνήγορος, εἰ σέμνοι καὶ νομίζων, ὡς περὶ ἐχθρὰ, καὶ πολεμίου ταῦτα εἰρῆσθαι. ἐγὼ γὰρ ἡ μοιχεία μὴ ἡ πορνεία τῆς σαρκὸς κατ' ὑμᾶς, αἱ ἔχθραι, μὴ αἱ ἔριδες, μὴ οἱ ζῆλοι, μὴ αἱ εἰθεῖαι, μὴ αἱ αἱρέσεις. προαιρέσεως γὰρ ταῦτα διεφθαρμένης μόνον, ὥσπερ οὖν μὴ τὰ ἄλλα, πῶς ἂν εἴεν σαρκὸς; ὁρᾷς ὅτι οὐ φησὶ τὴν σάρκα ἐνταῦθα, ἀλλὰ τὸν πεπλασμένον λογισμὸν, καὶ χαλαιὸν συρόμενον. διὸ καὶ φοβεῖ λέγων, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. εἰ δὲ φύσεως ταῦτα πονηρᾶς, καὶ οὐ προαιρέσεως μοχθηρᾶς, περιττῶς εἶπε πράττουσιν ἀλλὰ πάσχουσι. τίνος δὲ ἕνεκεν, καὶ βασιλείας ἐκπίπτουσιν; οὐ δὲ γε τῶν ἐν φύσει ἀλλὰ τῶν ἐν προαιρέσει καὶ οἱ τέφανοι καὶ αἱ κολάσεις, διὸ καὶ ταῦτα ἠπείλησεν ὁ παῦλος. Ὁ δὲ καρπὸς τοῦ πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη. Οὐκ εἶπε τὸ ἔργον τοῦ πνεύματος, ἀλλ' ὁ καρπός. οὐκοῦν ἡ ψυχὴ περίπλεως, εἰ γὰρ περὶ σαρκὸς, καὶ πνεύματος ὁ λόγος, ποῦ ἡ ψυχή; ἄρα περὶ ἀψύχων διαλέγεται; ὅταν γὰρ τὰ μὲν πονηρὰ τῆς σαρκὸς, τὰ δὲ χρήσιμα τοῦ πνεύματος ᾖ, περίπλεως ἡ ψυχή; οὐδαμῶς, καὶ γὰρ ἡ ἐγκράτεια τῶν παθῶν ταύτης, καὶ περὶ αὐτῆς, καὶ ἐν μέσῳ κειμένης καλιᾶς, μὴ ἀρετῆς, αὐτὴ μὲν εἰς δέον χρήσονται τῷ σώματι, πνευματικὸν αὐτὸ κατειργάσατο, αὐτὴ δὲ ἀποσὴς μὲν τοῦ πνεύματος, ἐν δὲ ᾧ αὐτὴν τοῖς πονηροῖς ἐπιθυμίαις, γεωδεστέραν αὐτὴν κατεσκεύασεν. ὁρᾷς πάντοθεν πῶς οὐ περὶ οὐσίας αὐτῷ τῆς σαρκὸς νῦν ὁ λόγος, ἀλλὰ περὶ προαιρέσεως μοχθηρᾶς, καὶ οὐ τοιαύτης; διατί δὲ καρπὸν καλεῖ τοῦ πνεύματος; ὅτι τὰ μὲν πονηρὰ ἔργα, ἐξ ἡμῶν γίνεται μόνον, διὸ καὶ ἔργα καλεῖ. τὰ δὲ καλὰ, οὐ τῆς ἡμετέρας ἐπιμελείας δεῖται μόνον ἀλλὰ καὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας. εἶτα μέλλων αὐτὰ διηγεῖσθαι, τὴν ῥίζαν τίθησιν πρῶτον τῶν

» ἀγαθῶν οὕτω λέγων. Ἀγάπη χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθοεργία, πίστις,
» πραότης, ἐγκράτεια. Κατὰ τῶν τοιούτων, οὐκ ἔστι νόμος. τίς γὰρ ἂν ἐπιτάξειε τῷ πάντα
ἔχοντα παρ' ἑαυτῷ, καὶ διδάσκαλον ἀπηρτισμένην τῆς φιλοσοφίας τὴν ἀγάπην; ὥσπερ γὰρ
οἱ τῶν ἵππων δύηνιοι, καὶ ἀφ' ἑαυτῶν ἅπαντα πράττοντες οὐκ ἂν δεηθεῖεν μάστιγος, οὕτω
καὶ ψυχὴ κατορθοῦσα τὴν ἀρετὴν ἀπὸ πνεύματος, οὐ δεῖται τοῦ νουθετοῦντος νόμου.
πάνυ δὲ καὶ ἐνταῦθα τὸν νόμον θαυμαστικῶς ἐξέβαλεν, οὐχ ὡς φαῦλον, ἀλλ' ὡς ἐλάττονα
» τῆς δεδομένης παρὰ τοῦ πνεύματος φιλοσοφίας. Οἱ δὲ τοῦ χριστοῦ, τὴν σάρκα ἐσταύρω
» σαν σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις. Ἵνα γὰρ μὴ λέγωσι, καὶ τίς ἐστι τοιοῦτος,
δείκνυσιν ἐκ τῶν ἔργων τοὺς τὰ τοιαῦτα κατορθοῦντας, σάρκα πάλιν ἐνταῦθα τὰς πονη-
ρὰς πράξεις καλῶν. οὐ γὰρ δὴ τὴν σάρκα ἀνεῖλον, ἐπεὶ πῶς ἔμελλον ζῆν; τὸ γὰρ ἐσταυρω-
μένον, νεκρόν ἐστι μὴ ἀνενέργητον, ἀλλὰ τὴν ἀκριβῆ φιλοσοφίαν δηλοῖ, καὶ γὰρ αἱ ἐπιθυμίαι
κἂν ἐνοχλῶσι, κενὰ λυμαίνονται. ἐπεὶ οὖν τοσαύτην τοῦ πνεύματος ἡ ἰσχύς, ἐκείνῳ ζῶμεν ἐκείνῳ
» ἀρκούμεθα, καὶ αὐτὸς ἐπάγει λέγων. Ζῶμεν οὖν ἐν πνεύματι, καὶ πνεύματι στοι-
» χῶμεν. Κατὰ τοὺς ἐκείνου νόμους πολιτευόμενοι. τοῦτο γάρ ἐστι τὸ στοιχῶμεν, τουτέστι, ἀρ-
κεσθῶμεν τῇ τοῦ πνεύματος δωρεᾷ, καὶ μὴ ἐπιζητῶμεν τὴν ἀπὸ τοῦ νόμου προσθήκην.
εἶτα δείκνυς ἐκείνους τοὺς ἐπεισάγοντας περιτομὴν καὶ φιλοτιμίαν τοιοῦντας φησί.
» Μὴ γινώμεθα κενόδοξοι, οὐ πάντων ἐστὶν αὐτῶν τῶν κακῶν, ἀλλήλους προσκαλούμενοι, ἀλ
» λήλους φθονοῦντες. Ἀπὸ γὰρ κενοδοξίας, ὁ φθόνος, καὶ ἀπὸ φθόνου, τὰ μυρία ταῦτα
» κακά. Ἀδελφοὶ ἐὰν καὶ προληφθῇ ἄνθρωπος. Ἐπειδὴ γὰρ ἐπιμήσεως προσήκε-
μαι τὰ αὐτῶν ἐξελέγχουσι πάθη, καὶ ἐδόκουν μὲν ἁμαρτημάτων ἕνεκεν τοῦτο ποιεῖν, τὴν δὲ
» αὐτῶν φιλαρχίαν θῆσαι ἐβούλοντο, φησί. ἀδελφοὶ ἐὰν καὶ προληφθῇ. Οὐκ εἶπεν ἐὰν
» πράξῃ, ἀλλ' ἐὰν προληφθῇ. τουτέστιν ἐὰν συναρπαγῇ. Ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε
» τὸν τοιοῦτον. Οὐκ εἶπε κολάζετε, οὐ δὲ κατακρίνετε, ἀλλὰ διορθοῦσθε, μὴ οὐδὲ ἐνταῦ-
θα ἔστη, ἀλλὰ δείκνυς, ὅτι σφόδρα αὐτοῖς ἡμέρους εἶναι δεῖ τοῖς ὑποσκελιζομένοις, οὕτως ἐ-
» πήγαγεν. Ἐν πνεύματι πραότητος. Δηλῶν ὅτι καὶ τῷ πνεύματι ταῦτα δοκεῖ. οὐκ
εἶπεν ἐν πραότητι, ἀλλ' ἐν πνεύματι πραότητος, καὶ τὸ δύναται μετ' ἐπιεικείας διορθοῦ-
σθαι τοὺς ἁμαρτάνοντας, χαρίσματος ἐστὶ πνευματικοῦ. εἶτα ἵνα μὴ ἐπαρθῇ ὁ διορθῶν ἕτερον, καὶ
» αὐτὸν ὑπὸ τὸν αὐτὸν φόβον ἔθηκεν οὕτως εἰπών. Σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρα-
» σθῇς. Ὥσπερ γὰρ οἱ πλουτοῦντες ἐράνους τοῖς δεομένοις εἰσφέρουσιν, ἵν' εἴ ποτε καὶ
αὐτοὶ περιπέσοιεν πενίᾳ τῇ αὐτῶν ἐπιτύχωσιν, οὕτω δὴ καὶ ἡμᾶς ποιεῖν χρή, διὸ καὶ αἰτίαν
ἀναγκαίαν πίθησι λέγων οὕτως. σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς. καὶ ἀπολογεῖ-
ται ὑπὲρ τοῦ ἡμαρτηκότος, πρῶτον μὲν εἰπών, ἐὰν καὶ προληφθῇ, δεύτερον δὲ τῆς πολλῆς
ἀσθενείας ὄνομα, εἶτα ἵνα μὴ μὴ σὺ πειρασθῇς, δαίμονος ἐπήρειαν μᾶλλον ἢ ψυχῆς ῥᾳδυμίαν
» αἰτιώμενος. Ἀλλήλων τὰ βάρη βαστάζετε. Ἐπειδὴ γὰρ οὐκ ἔστιν ἄνθρωπον ὄντα χωρὶς
ἐλαττώματος εἶναι, παραινεῖ μὴ ἀκριβεῖς ἐξεταστὰς εἶναι τῶν ἑτέροις ἐπιπεπλημμεληκότων, ἀλλὰ
καὶ φέρειν τὰ τῶν πλησίον ἐλαττώματα, ἵνα καὶ τὰ αὐτοῦ φέρηται παρ' ἑτέρων. καθάπερ
γὰρ ἐπὶ τῆς οἰκοδομῆς οὐ πάντες ἕδραν ἔχουσιν οἱ λίθοι, ἀλλ' ὁ μὲν πρὸς γω-
νίαν ἐπιτήδειος, ὁ δὲ πρὸς θεμελίους, οὕτω καὶ ἐπὶ τοῦ σώματος τῆς ἐκκλησίας. καὶ ἐπὶ

τῆς σαρκὸς

τῆς σαρκὸς δὲ τῆς ἡμετέρας, ὅθεν οὐ τὸ ἴδιον τῆς αὐ, ἀλλ' ὅμως θατέρου θατέρος ἀνέχεται,
καὶ οὐ παρὰ πάντων πάντα ζητοῦμεν, ὁ γὰρ ἐκ τοῦ κοινοῦ γινόμενος ἔρανος, καὶ σῶμα καὶ οἰ-
» κοδομὴν συνίστησι. Καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χῦ. Οὐκ εἴπωε πληρώσα-
τε. ἀλλ' ἀναπληρώσατε, τουτέστι κοινῇ πάντες πληρώσατε, δι' ὧν ἀλλήλους φέρετε, οἷον ὀφεῖ
ναι ἐστὶν ὀργίλος, σὺ δὲ ὑπνηλὸς, φέρε αὐτοῦ τὴν ὀργὴν τὴν σφοδρὰν, ἵνα καὶ αὐτός σοι τὴν
νωθείαν, μὴ οὕτως οὔτε ἐκεῖνος ἁμαρτήσεται ὑπὸ σοῦ βασταζόμενος, οὔτε σὺ πλημμελεῖς ἐν
οἷς εἶ βαρὺς ἀνεχομένου τοῦ ἀδελφοῦ σου. οὕτω δὲ ἀλλήλοις χεῖρα ὀρέγοντες ἐν οἷς μέλλον
τες καταπίπτειν, δι' ἀλλήλων κοινῇ πληρώσατε τὸν νόμον, τὸ λεῖπον τῷ πλησίον ἀναπληρῶν
ἕκαστος, μὴδὲ τῆς οἰήσεως ὑπομενῶν, ἐὰν δὲ μὴ οὕτως ποιῆτε, ἀλλ' ἕκαστος ἑαυτὸν ἐξιέναι μέλλῃ τοῖς
τοῦ πλησίον, οὐδέποτε οὐδὲν τῶν δεόντων ἕξομεν ἡμῖν. ὥσπερ γὰρ ἐν τῷ σώματι εἰ τὸν αὐτὸν
τις ἀναισθησίαν παρὰ πάντων χρείαν, οὐδέποτε τὸ σῶμα ὑγιάσεται, οὕτω καὶ ἐπὶ τῶν ἀδελ-
» φῶν πολὺς ὅθεν πόλεμος, εἰ παρὰ πάντων πάντα ζητοῦμεν. Εἰ γάρ τις δοκεῖ εἶναί τι,
» μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν. Πάλιν ἐνταῦθα τὴν ἀπόνοιαν κατασκοπεῖ. ὁ γὰρ δοκῶν
εἶναί τι, οὐδέν ἐστι. πρῶτον τῆς ὑπερηφάνου αὐτοῦ δείγμα ἐνφέρων τὴν τοιαύτην ὑπόνοιαν.
» Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος. Ἐνταῦθα δείκνυσιν ὅτι δεῖ βίᾳ ἐξεταστὰς εἶναι, μὴ
οὐχ ἁπλῶς ἁμὰ μετ' ἀκριβείας δοκιμάζειν τὰ πεπραγμένα ἡμῖν. οἷον ἐποίησας τι καλόν,
σκόπησον μὴ ἀπὸ κενοδοξίαν, μὴ δι' ἀνάγκην, μὴ πρὸς ἀπέχθειαν, μὴ ὑποκρίσει, μὴ
δι' ἄλλην τινὰ αἰτίαν ἀνθρωπίνην. καθάπερ γὰρ τὸ χρυσίον δοκεῖ μὲν εἶναι λαμπρὸν πρὸ τοῦ
χωνευτηρίου, ὅταν δὲ αὐτῷ παραδοθῇ, τῷ πυρὶ τότε ἀκριβῶς δείκνυ, τὸν νόθον πάντες ἀπὸ
τοῦ γνησίου χωριζομένου, οὕτω καὶ τὰ ἡμέτερα ἔργα, ὅταν μετὰ ἀκριβείας ἐξετάζωμεν,
τότε σαφῶς ἐκκαλυφθήσεται, καὶ πολλῶν ὀφόμεθα ἑαυτοὺς ὄντας ὑπευθύνους ἐγκλημά
» των. Καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. Ταῦτα οὐ νομοθε
τῶν φησιν. ἀλλὰ συγκαταβαίνων, ὡς αὖ εἰ ἔλεγεν, ἄτοπον μὲν τὸ καυχᾶσθαι. εἰ δ' ἄρα βούλει,
μὴ κατὰ τὸν πλησίον ὡς ὁ φαρισαῖος, ὁ γὰρ τοῦτο ποιήσας, ἐκείνου ἀποστήσεται τα-
χέως. διὸ μὴ τοῦτο συνεχώρησεν, ἵνα τὸ ὅλον κατὰ μικρὸν ἐξέλῃ, ὁ γὰρ συνεθισθεὶς εἰς ἑαυτὸν
μόνον καυχᾶσθαι, μὴ μὴ κατ' ἄλλων, ταχέως μὴ τοῦτο διορθώσεται τὸ ἐλάττωμα. ὁ γὰρ μὴ νο-
μίσας τι ἄλλων ἑαυτὸν εἶναι βελτίονα. τοῦτο γάρ ἐστιν οὐκ εἰς τὸν ἕτερον. ἀλλ' αὐτὸν καθ' ἑαυτὸν,
ἐξετάζων ἀεὶ ὁρώμενον, παύεται, μὴ τοῦτο ποιῶν ὕστερον. μὴ ἵνα μάθῃς ὅτι τοῦτο βούλεται κα-
τασκευάσαι, ὅρα πῶς αὐτὸν συστέλλει τῷ φόβῳ, αὐστηρότερον μὲν εἰπὼν δοκιμαζέτω τὸ ἔργον
» αὐτοῦ. ἐνταῦθα δὲ ἐπαγαγών. Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει. Δοκεῖ μοὶ γὰρ πρό-
νου λογισμὸν κωλύοντα καθ' ἑτέρου καυχᾶσθαι. διορθοῦται δὲ τὸν καυχώμενον, ὥστε μὴ δὲ
ἑαυτῷ μέγα φρονεῖν, εἰς ἔννοιαν ἄγων αὐτὸν τῶν οἰκείων ἁμαρτημάτων, μὴ τοῖς ὀνόμασι τοῦ
» φορτίου, καὶ τῆς ἀχθοφορίας πίεζων αὐτοῦ τὸ συνειδός. Κοινωνείτω δὲ ὁ κατηχούμενος τοῦ
» λόγου τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς. Ἐνταῦθα περὶ τῶν διδασκάλων λοιπὸν ὁ λό-
γος αὐτῷ. ὥστε πολλῆς ἀπολαύειν παρὰ τῶν μαθητευομένων θεραπείας, καὶ τίνος ἕνεκεν
οὕτως ὁ Χς ἐνομοθέτησε; μὴ γὰρ ἐν τῇ καινῇ οὕτως κεῖται ὁ νόμος, ὥστε τοὺς τὸ εὐαγγέλιον
καταγγέλλοντας, ἐκ τοῦ εὐαγγελίου ζῆν, μὴ ἐν τῇ παλαιᾷ δὲ ὁμοίως, πολλαὶ τοῖς λευίταις

παρὰ τ̃ ἀρχομένων ἦσαν αἱ πρόσοδοι. τίνος οὖν ἕνεκεν ζῶντα διετάξατο; τὰ σεινοφροσύνης καὶ ἀγάπης ὑπόδειγμα προαποτιθέμενος. ἐπειδὴ γὰρ τὸ διδασκαλικὸν ἀξίωμα πολλάκις φυσᾷ τὸν ἔχοντα, καταγέλων αὐτ̃ τὸ φρόνημα, εἰς ἀνάγκην κατέστησε τ̃ δεῖσθαι τῶν μανθανομένων. κἀκείνους πάλιν εἰς ἀφορμὴν ἤγαγε τ̃ πρὸς εὔνοιαν εὐκολωτέρους γίνεσθαι. γυμνάζων αὐτοὺς ἐν τῇ πρὸς τοὺς διδασκάλους εὐνοίᾳ, καὶ πρὸς τοὺς ἄλλους ἡμέρους εἶναι. ὅπερ μὴ ἀγάπην οὐ μικρὰν εἰργάζετο ἑκατέρῳ τῷ μέρει, ἐπεὶ εἰ μὴ τ̃τ' ἦν, ὅπερ εἶπον, τίνος ἕνεκεν τοὺς ἰουδαίους τοὺς ἀγωμένους ἀπὸ τ̃ μάννα τρέφων, τοὺς ἀποστόλους εἰς τ̃ τῶν προσαιτούντων κατέστησεν ἀνάγκην; οὐκ εὐδηλον ὅτι τὰ μεγάλα ἐκ τούτου καταστρέφων ἀγαθά; τὰ σεινοφροσύνην, μὴ ἀγάπην; μὴ ὥστε τοὺς μανθανομένους μὴ αἰσχύνεσθαι τοῖς δεκοῦσιν ἐπενδεέστεροις εἶναι, τὸ γὰρ ἑαυτεῖν, αἰσχύνης ἦν δοκεῖ. ἀλλ' οὐκ ἐδόκει λοιπὸν, τῶν διδασκάλων αὐτὸ μειζόντων μ̃ παῤῥησιάσασθαι πᾶσι, ὥστε οὐ μικρὰ κἀντεῦθεν ἐκέρδαινον οἱ μαθηταί. πάσης δόξης ταπεινουμένοις διὰ τούτων ὑπερορᾶν. διὰ δ̃ φησὶ κοινωνείτω δὲ ὁ κατηχούμενος τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς. ζητεῖ πᾶσαν ἐπιδεικνύσθω πρὸς αὐτὸν δαψίλειαν. δ̃ γὰρ αἰνιττόμενος ἔλεγεν. ἐν πᾶσιν ἀγαθοῖς, μηδὲν γὰρ ἔχω τὸ μαθητὸν φησιν ἴδιον, ἀλλὰ πάντα κοινά. μείζονα γὰρ λαμβάνει, ἢ δίδωσι, μὴ τοσούτῳ μείζω, ὅσῳ τῶν γηίνων τὰ ἐπουράνια ἀμείνω, ὁ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγεν, εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; διὰ δ̃ καὶ κοινωνίαν τὸ πρᾶγμα καλεῖ, δεικνὺς ἀντίδοσιν γινομένην, ἐκ τούτου δὲ μὴ τὰ τ̃ ἀγάπης ἐγίνετο θερμότερα πολλῷ, καὶ βεβαιότερα. αὖ μὴν οὕτω τ̃ αὐτάρκειαν ὁ διδάσκαλος ζητεῖ, μένει καὶ λαμβανόντων τ̃ τῆς οἰκείας ἀξίας. μὴ γὰρ καὶ δ̃ τοῦτο προσδρύειν τῷ λόγῳ ὡς ἑτέρων δεῖσθαι, καὶ ἐν πενίᾳ μυείας εἶναι. καὶ τῶν βιωτικῶν ὑπερορᾶν ἁπάντων. αὖ δὲ ὑπερβαίνῃ τὸ μέτρον, ἐλυμήνατο τ̃ ἀξίαν, οὐ τῷ λαμβάνειν ἁπλᾶ τῷ ἀμέτρῳ. εἶτα ἵνα μὴ ἡ πονηρία τ̃ διδασκάλου ὀκνηρότερον πρὸς ταῦτα ποιῇ τὸν μαθητὴν, καὶ πένητα ὄντα πολλάκις παρατρέχῃ ἀβδ̃ τὸν πόνον. προϊὼν μὲν φησί. τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν, ἀνταῦθα δὲ τὸ μέσον τῆς τοιαύτης, μὴ τῆς ἐν τοῖς βιωτικοῖς φιλοτιμίας δείκνυσιν, οὕτω λέγων. Μὴ πλανᾶσθε θ̃ οὐ μυκτηρίζεται. ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τ̃τ̃ καὶ θερίσει. ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτ̃, ἐκ τῆς σαρκὸς αὐτ̃ θερίσει φθοράν, ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τ̃ πνεύματος θερίσει ζωὴν αἰώνιον. Ὥσπερ γὰρ τ̃ σπέρματι οὐκ ἔνι σπείροντα ὀρόβους σῖτον ἀμῆσαι. δεῖ γὰρ τ̃ αὐτ̃ γένους, καὶ σῖτον σπόρον εἶναι, καὶ σῖτον ἀμητόν. οὕτω καὶ ἐν τοῖς ἔργοις ὁ καταβαλὼν εἰς τὴν σάρκα τρυφὴν, μέθην, ἐπιθυμίαν ἄτοπον τ̃ ἐκ τούτων ἀμήσει. τίνα δὲ ἐστὶ ταῦτα; πόλασις, πορνεία, αἰσχύνη, γέλως, φθορά. τῶν γὰρ πολυτελῶν τραπεζῶν, καὶ τ̃ ἐδεσμάτων, οὐδὲν ἕτερον τὸ τέλος, ἢ φθορά. καὶ γὰρ αὐτὸς φθείρεται, μὴ συμφθείρει τὸ σῶμα. τὰ δὲ τ̃ πνεύματος, οὐ τοιαῦτα. ἀλλ' ἀπεναντίας ἅπαντα τούτοις. σπόρος δὲ ἐστὶ τ̃ ἐλεημοσύνῃ, ἀναμένουσί σε οἱ τῶν οὐρανῶν θησαυροὶ, μὴ δόξα αἰώνιος. ἔστι πορισμὸς σωφροσύνης, τιμὴ, καὶ βραβεῖον, μὴ αἱ παρ' ἀγγέλων δόξαι, καὶ οἱ παρὰ τ̃ ἀγωνοθέτου στέφανοι.

» Τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν, καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. ἄρ' οὖν
» ὡς καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ καλὸν πρὸς πάντας, μάλιστα πρὸς τοὺς οἰκείους τῆς πί-

στεως. Ἵνα

» τεως. Ἵνα γὰρ μή τις νομίσῃ ὅτι διδασκάλων μὲν ἐπιμελεῖσθαι δεῖ, μὴ τρέφειν αὐτὰς, τῶν δὲ
ἄλλων ἀμελεῖν, εἰς κοινὸν ἐξάγει τὸν λόγον, καὶ πᾶσι τὴν θύραν τῆς τοιαύτης ἀνοίγει φιλο-
τιμίας, καὶ τοσαύτην ποιεῖται τὴν ὑπερβολὴν, ὡς καὶ Ἰουδαίους, καὶ Ἕλληνας ἐλεεῖν κε-
λεύειν, μετὰ προσηκούσης μὲν τάξεως· ἐλεεῖν δ' ὅμως· τίς δὲ ἡ τάξις; τὸ πλείονα πρὸς τοὺς
πιστοὺς ἐνδείκνυσθαι τὴν πρόνοιαν, καὶ ὅπερ καὶ ἐν ταῖς ἄλλαις ἐπιστολαῖς ποιεῖ, δῆλον καὶ
ἐνταῦθα ἐργάζεται. οὐ πρὸς τὸ ἐλεεῖν διαλεγόμενος μόνον· ἀλλὰ καὶ πρὸς τὸ φιλοτίμως,
καὶ διωκτικῶς· τὸ γὰρ τοῦ ὄνομα, καὶ τὸ μηδὲν ἐκκακεῖν, δῆλον αἰνίττεται. εἶτα ἐπειδὴ
μέγα ἀπῄτησε, καὶ τὸ ἔπαθλον ἐπὶ θύραις τίθησιν· ἀλλ' ἐπὶ τῷ μεμνημένος καινοῦ τινος, καὶ
παραδόξου· ἐπὶ μὲν γὰρ τῶν γεωπόνων, οὐχ ὁ σπείρων μόνον, ἀλλὰ καὶ ὁ θερίζων πολλὰ
ὑπομένει τὸν πόνον, αὐχμῷ καὶ κονιορτῷ, καὶ πολλῇ μαχόμενος ταλαιπωρίᾳ, τότε δὲ
οὐδὲν τούτων ἔνι φησὶν, ἃ καὶ παραδηλῶν, ἔλεγε· καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι·
καὶ ἐντεῦθεν μὲν αὐτοὺς προτρέπει, καὶ ἐφέλκεται· καὶ ἑτέρωθεν δὲ κατεπείγει, καὶ συ-
νωθεῖ λέγων· ἄρ' οὖν ὡς καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ ἀγαθόν· ὥσπερ γὰρ οὐκ ἀεὶ τοῦ
σπείρειν ἐσμὲν κύριοι, οὕτως οὐδὲ τοῦ ἐλεεῖν· ὅταν γὰρ ἐντεῦθεν ἀπενεχθῶμεν, κἂν μυριάκις
βουληθῶμεν, οὐδὲν περαινοῦμεν πλέον, καὶ μαρτυροῦσιν ἡμῖν αἱ παρθένοι τῷ λόγῳ·
αἱ μυρίας προθυμηθεῖσαι, ἐπειδὴ διὰ ψιλὴν τὴν ἐλεημοσύνην οὐκ ἀπῆλθον ἔχουσαι, ἀπε-
κλείσθησαν τοῦ νυμφῶνος· καὶ ὁ ἐν Λαζάρου παιδιὰν πλούσιος, καὶ γὰρ κἀκεῖνος ἐπειδὴ
τοιούτης ἔρημος ἦν τῆς συμμαχίας, καὶ ὀλοφυρόμενος, καὶ ἱκετεύσας πολλάκις, οὐ παρὰ τοῦ
πατριάρχου οὐ παρὰ ἄλλου τινὸς ἠλεεῖτο· ἀλλ' ἔμενε δικαίως ἀποτηγανιζόμενος, χω-
ρὶς συγγνώμης ἁπάσης· διατοῦτα φησὶν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν
πρὸς πάντας· καὶ τοῦτο μάλιστα ἀπαλλάττων τῆς Ἰουδαϊκῆς ταπεινότητος· ἐκείνοις μὲν
γὰρ τὰ τῆς φιλανθρωπίας ἅπαντα, πρὸς τοὺς ὁμοφύλους ἦν· οὐδὲ τῆς τοιαύτης φιλοσο-
φίας, γῆν ὁμοῦ, καὶ θάλατταν, ἐπὶ τὴν τῆς ἐλεημοσύνης κλεῖ τρέπουσαν, εἰ καὶ πλεο-
» νάκις πρὸς τοὺς οἰκείους τὴν φιλοτιμίαν ἐπιδείκνυται. Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν
» ἔγραψα τῇ ἐμῇ χειρὶ, ὅσοι θέλουσιν οὐ προσωπεῖον ἐν σαρκὶ, οὗτοι ἀναγκάζουσιν ὑμᾶς
» περιτέμνεσθαι. Ἐννόησον, ὅση κατέχει τὴν μακαρίαν ἐκείνην ψυχὴν ὀδύνη. καθάπερ
γὰρ οἱ πένθει τινὶ περιπεσόντες, καί τινα τῶν γνησίων ἀποβαλόντες· καί τινα τῶν ἀδι-
κήτων ὑπομείναντες· οὔτε νύκτωρ ἡσυχάζουσιν, οὔτε μεθημέραν· τὸ πένθους αὐτοῖς τὴν
ψυχὴν πολιορκοῦντος, οὕτω καὶ ὁ μακάριος Παῦλος· ἐπὶ πόν ὀλίγα περὶ τῶν ἠθῶν· πάλιν
ἐπὶ τὰ πρότερα ἐπανέρχεται· ἃ μάλιστα αὐτὸν τὴν ψυχὴν διετάραττε, λέγων οὕτως·
Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί· ἐνταῦθα οὐδὲν ἄλλο αἰνίττεται·
ἀλλ' ὅτι αὐτὸς ἔγραψε τὴν ἐπιστολὴν ἅπασαν· ὃ πολλῆς γνησιότητος σημεῖον ἦν· ἐπὶ
μὲν γὰρ τῶν ἄλλων, ὑπηγόρευε μὲν αὐτὸς, ἔγραφε δὲ ἕτερος, καὶ δῆλον δῆλον, ἀπὸ τῆς
πρὸς ῥωμαίους ἐπιστολῆς· πρὸς γὰρ τῷ τέλει φησὶν, ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γρά-
ψας τὴν ἐπιστολὴν, ἐνταῦθα δὲ αὐτὸς ἔγραψε πᾶσαν· ἐποίησε δὲ τοῦτο ἐνταῦθα καὶ
ἀναγκαίως, οὐ δι' ἀγάπην μόνον· ἀλλὰ καὶ διὰ τὴν τῶν πονηρῶν ὑπονοίαν ἀναίρεσιν· ἐ-
πειδὴ γὰρ διεβάλλετο ἐπὶ πράγμασιν οἷς οὐδὲν ἐκοινώνει, καὶ ἐλέγετο περιτομὴν καταγ-

γέλλειν καὶ

γέλλειν καὶ ὑποκρίνεσθαι, ὡς οὐ κατ' ἄγγελον, διὰ τοῦτο ἀναγκαίως καὶ διὰ γράφον ποιήσασθαι
τὴν ἐπιστολὴν, μαρτυρίαν ἔγγραφον προαποτιθέμενος. τὸ δὲ πλείοσιν ἐμοὶ δοκεῖ, οὐ τὸ μέ-
γεθος λέγειν ἀλλὰ τὴν ἀμορφίαν τῶν γραμμάτων ἐμφαίνων λέγειν, μονονουχὶ λέγων, ὅτι οὔτε ἄ-
ειστα γράφειν εἰώθως, ὅμως ἀναγκάσθην διὰ ἐμαυτοῦ γράψαι, ὥστε τῶν συκοφαντῶν ἐμφρά-
» ξαι τὸ στόμα. Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκὶ, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περι-
» τέμνεσθαι μόνον, ἵνα μὴ τῷ σταυρῷ τοῦ χριστοῦ διώκωνται. οὐ γὰρ οἱ περιτεμνόμενοι νόμον φυ
» λάττουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται.
Ἐνταῦθα δείκνυσιν οὐχ ἑκόντας αὐτοὺς τοῦτο ὑπομένοντας, ἀλλ' ἀναγκαζομένους, πα-
ρέχων αὐτοῖς ἀφορμὴν ἀναχωρήσεως, καὶ χεδὸν ὑπὲρ αὐτῶν ἀπολογούμενος, καὶ προ-
τρέπων ἀποπηδῆσαι ταχέως. τί δέ ἐστιν εὐπροσωπεῖν ἐν σαρκί; εὐδοκιμεῖν παρ' ἀνθρώ-
ποις. ἐπειδὴ γὰρ ὠνειδίζοντο παρὰ τοῖς ἰουδαίοις, ὡς τῶν πατρίων ἀποστάντες ἐθῶν,
ἵνα μὴ ζωῦται ἐγκαλῶνται, φησὶ, βούλονται ὑμῖν λυμήνασθαι διὰ τῆς ὑμετέρας σαρ-
κὸς ἐκείνοις ἀπολογούμενοι. ζωῦται δὲ ἔλεγε, δεικνὺς ὅτι οὐ διὰ τὸν θεὸν ταῦτα ἔπραττον. ὡς οὖν εἰ ἔλεγεν, οὐκ ὄντων εὐσεβείας ὑπόθεσις τὸ γινόμενον, ὡς δι' ἀνθρωπίνην φιλο-
τιμίαν ταῦτα πάντα γίνεται ὑπὲρ ἀρεσκείας τῶν ἀπίστων, (ὅπ πιστοὶ κατακόπτονται, καὶ
αἱροῦνται προσκρούσαι.) ἵνα ἀνθρώποις ἀρέσωσι. εὐπρόσωπον γάρ ἐστιν ἐν σαρκὶ εὐπρο-
σωπῆσαι. εἶτα δείκνυς, ὅτι καὶ ἑτέρωθεν συγγνώμης εἰσὶν ἀπεστερημένοι, διελέγχει πά-
λιν αὐτοὺς, οὐ διὰ τὴν εἰς ἑτέρους ἀρέσκειαν μόνον, ἀλλὰ καὶ δι' οἰκείαν κενοδοξίαν
ταῦτα σπουδάσαντας. διὸ καὶ ἐπήγαγεν, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται, ὡς μα-
θητὰς ἔχοντες, καὶ ὄντες διδάσκαλοι, καὶ τίς ἡ τούτων ἀπόδειξις. οὐ δὲ γὰρ αὐτοὶ νό-
μον φυλάττουσι φησὶ, μάλιστα μὲν γὰρ εἰ καὶ ἐφύλαττον, καὶ οὕτως ἄξιοι κατηγορίας.
» νυνὶ δὲ καὶ ὁ σκοπὸς αὐτῶν διεφθαρμένος ἐστίν. Ἐμοὶ δὲ φησι μὴ γένοιτο καυχᾶσθαι
» εἰ μὴ τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. Καὶ μὲν τὸ πρᾶγμα ἐπονείδιστον εἶναι δο-
κεῖ, ἀλλ' ἐν τῷ κόσμῳ καὶ παρὰ τοῖς ἀπίστοις, ἐν δὲ οὐρανοῖς, καὶ παρὰ τοῖς πιστοῖς δο-
ξαμεγίστη. καὶ γὰρ ὠνείδιστον, ἀλλ' ἡμῖν καύχημα, καὶ τὸ ἐξυπελίξεσθαι, παρὰ
πολλοῖς γέλως. ἀλλ' ἡμεῖς ἀβρωμόμεθα τούτῳ. οὕτω καὶ ὁ σταυρὸς ἡμῖν καύχημα,
καὶ οὐκ εἶπεν. ἐγὼ δὲ οὐ καυχῶμαι, ἢ ἐγὼ δὲ οὐ βούλομαι καυχᾶσθαι, ἀλλ' ἐμοὶ δὲ μὴ
γένοιτο, ὡς περὶ τῶν ἀτόπων ἀπηύξατο, καὶ τὴν παρὰ τοῦ θεοῦ συμμαχίαν ἐγκαλέσεν,
εἰς τὸ κατορθῶσαι τοῦτο. καὶ τί ἐστι τὸ καύχημα τοῦ σταυροῦ; ὅτι ὁ χριστὸς δι' ἐμὲ, δοῦ-
λου μορφὴν ἀνέλαβε, καὶ ἔπαθεν, ἅπερ ἔπαθε, δι' ἐμὲ τὸν δοῦλον, τὸν ἐχθρὸν τὸν ἀ-
γνώμονα. ἀλλ' οὕτω με ἠγάπησεν, ὡς καὶ ἑαυτὸν ἐκδοῦναι. ἆρα τούτου γένοιτ' ἂν ἴσον;
εἰ γὰρ οἰκέται, οὐ μόνον ἐπαινῶνται παρὰ τῶν δεσποτῶν, καὶ ζωῦται ὁμογενῶν ὄντων μέ-
γα φρονοῦσι, πῶς οὐ καυχᾶσθαι χρὴ, ὅταν ὁ δεσπότης ὁ ἀληθὴς θεὸς μὴ ἐπαισχύ-
νηται τὸν ὑπὲρ ἡμῶν σταυρόν; μὴ δὲ ἡμεῖς τοίνυν ἐπαισχυνώμεθα τὴν ἄφατον αὐτοῦ
κηδεμονίαν. αὐτὸς οὐκ ἐπῃσχύνθη σταυρωθῆναι διὰ σέ, καὶ σὺ ἐπαισχύνῃ ὁμολογῆ-
σαι αὐτοῦ τὴν ἄπειρον κηδεμονίαν; ὥσπερ ἂν εἴπῃς δεσμώτης, μὴ ἐπαισχυνόμε-
νος τὸν βασιλέα, ἐπειδὴ ἐπέσχε τῷ δεσμωτηρίῳ, καὶ τὰ δεσμὰ ἔλυσε δι' ἑαυτόν.

διὰ τοῦτο

διαβῆναι οὐκ ἐθαυμάσθη. ἀλλ' ἐκάστης ταῦτα παραπλήσιος, δι' οὐδὲ γῆς βῆναι μᾶλιστα ἀναβρωσθαι δεῖ. δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ τὸν κόσμον φησὶν οὐ τὸν οὐρανὸν, οὐδὲ τὴν γῆν, ἀλλὰ τὰ βιωτικὰ πράγματα, τὸν ἔπαινον τὸν παρὰ τῶν ἀνθρώπων, τὴν δυνηφορίαν, τὴν δόξαν, τὸν πλοῦτον, τὰ τοιαῦτα ἅπαντα δυσκοῦντα εἶναι λαμπρὰ, ταῦτα γάρ μοι νεκρὰ γέγονε. τοιοῦτον δεῖναι χρὴ τὸν χριστιανὸν, ταύτην ἀεὶ τὴν φωνὴν περιφέρειν. οὐ δὲ γῆς ἠρκέσθη τῷ προτέρῳ τῆς νεκρώσεως τρόπῳ, ἀλλὰ καὶ ἕτερον ἐπήγαγεν εἰπών. κἀγὼ τῷ κόσμῳ, διπλῆν τὴν νέκρωσιν αἰνιττόμενος, μὴ λέγων, ὅτι ἐκεῖνα ἐμοὶ νεκρὰ, καὶ ἐγὼ ἐκείνοις, καὶ οὔτε αὐτὰ ἐλεῖν με δύναται καὶ χειρώσασθαι. νεκρὰ γάρ ἐστιν ἅπαξ, οὔτε ἐγὼ ἐπιθυμῆσαι αὐτῶν, νεκρὸς γὰρ αὐτοῖς εἰμὶ κἀγώ. οὐδὲν τῆς νεκρώσεως ταύτης μακαριώτερον. αὕτη γάρ ἐστι τῆς μακαρίας ζωῆς ἡ ὑπόθεσις. Οὔτε γὰρ περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις, καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχοῦσιν, εἰρήνη ἐπ' αὐτοὺς, καὶ ἔλεος καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ. Εἶδες σταυροῦ δύναμιν, εἰς ὅσον αὐτὸν ὕψος ἀνήγαγεν; οὐ γὰρ δὴ μόνον τὰ τοῦ κόσμου πράγματα ἐνέκρωσεν αὐτῷ πάντα, ἀλλὰ καὶ τῆς πολιτείας τῆς παλαιᾶς ἀνώτερον πολλῷ κατέστησε. τί ταύτης τῆς ἰσχύος ἴσον; τὸν γὰρ ὑπὲρ ταύτης τῆς περιτομῆς σφαττόμενον, καὶ ἑτέρους ἀποσφάττοντα, τοῦτον ἔπεισεν ὁ σταυρὸς ἐν ἴσῳ τῇ ἀκροβυστίᾳ αὐτὴν ἀφέντα, ξένας τινὰς, καὶ παράδοξα, καὶ τὰ ὑπὲρ τοὺς οὐρανοὺς ἁρπάζειν πράγματα. καινὴν γὰρ κτίσιν ταύτην καλεῖ τὴν καθ' ἡμᾶς πολιτείαν, διά τε τὰ γεγενημένα, διά τε τὰ ἐσόμενα. τὰ γεγενημένα μὲν, ὅτι ἡ ψυχὴ ἡμῶν παλαιωθεῖσα ἐν μέρᾳ τῆς ἁμαρτίας, ἀθρόως ἀπὸ τοῦ βαπτίσματος ἀνενεώθη, ὡσανεὶ ἀνακαθεῖσα πάλιν. διὸ καινὴν, καὶ οὐρανίαν ἀναπτύμεθα πολιτείαν. ἀπὸ τὰ ἐσόμενα δὲ, ὅτι καὶ ὁ οὐρανὸς, καὶ ἡ γῆ, καὶ πᾶσα ἡ κτίσις, εἰς ἀφθαρσίαν μεταβήσεται, μετὰ τῶν σωμάτων τῶν ἡμετέρων. μὴ τοίνυν μοι λέγε φησὶ περιτομὴν τὴν οὐδὲν ὀνησαμένην λοιπόν. πῶς γὰρ αὕτη φανεῖται, πάντων οὕτω τοσοῦτον μεταβεβλημένων; ἀλλὰ τὰ καινὰ ζήτει πράγματα τῆς χάριτος. οἱ γὰρ ταῦτα διώκοντες, οὗτοι καὶ εἰρήνης, καὶ φιλανθρωπίας ἀπολαύσονται, καὶ τῷ τοῦ Ἰσραὴλ ὀνόματι κυρίως αὐχοῦσιν, ὡς οἵγε τὰ ἐναντία φρονοῦντες, κἂν ἐξ ἐκείνου γεγενημένοι εἶεν, καὶ τὴν προσηγορίαν αὐτοῦ περιφέροιεν, πάντων ἐκπεπτώκασι τούτων, καὶ τῆς συγγενείας, καὶ τῆς ἐπωνυμίας αὐτῆς. οἱ γὰρ κυρίως Ἰουδαῖοι εἶναι δυνάμενοι τὸν κανόνα τοῦτον διατηροῦντες εἰσὶν, οἱ τῶν παλαιῶν ἀντεχόμενοι, καὶ τὰ τῆς χάριτος διώκοντες. Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω. Ἐνταῦθα οὐ λυπηθεὶς, οὐδ' ὡς περικακήσας ταῦτα φθέγγεται. ὁ γὰρ πάντα, καὶ ποιεῖν, καὶ πάσχειν ὑπὲρ τῶν μαθητῶν αἱρούμενος, πῶς ἂν ἐξελύθη, καὶ ἀνέστεναν; ὁ λέγων σπίσηθι δικαίῳ ἀκαίρως, ὁ λέγων μήποτε δῷ αὐτοῖς ὁ θς σπίγωσιν ἀληθείας, καὶ ἀναπήδησιν ἐκ τῆς τοῦ διαβόλου παγίδος; πόνος οὖν ἕνεκεν ταῦτα φησίν; ἀναστέλλων αὐτῶν τὴν ῥᾳθυμον γνώμην, καὶ εἰς φόβον πλείονα ἐμβάλλων, καὶ πτηνὺς τοὺς παρ' αὐτοῦ τεθέντας νόμους, καὶ οὐ συγχωρῶν ἀεὶ κινεῖν αὐτούς. Ἐγὼ γὰρ τὰ στίγματα τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. Οὐκ εἶπεν ἔχω, ἀλλὰ βαστάζω, ὡς περ τῆς πρὸ τούτου πολλοῖς μέγα φρονῶν, ἢ σημείοις βασιλικοῖς, εἰ καὶ τοῦτο πάλιν ὄνειδος εἶναι δοκεῖ. ἀλλ' οὗτος τοῖς τραύμασιν ἀναβρώσεται, μὴ καθάπερ οἱ σημειοφόροι τῶν στρατιωτῶν, οὕτω μὴ οὗτος ἀγαλλιάζεται

λιαίξεται τραύματα περιφέρων. διατί δὲ τοῦτο λέγει, παντὸς λόγου πάσης φωνῆς λαμπρότερον. μᾶλλον τούτων ἀπολογοῦμαι φησί. ταῦτα γὰρ φωνὴ σάλπιγγος ὑψηλοτέραν ἀφίησι πρὸς τοὺς ἀντιλέγοντας, καὶ λέγοντας ὑποκρίνεσθαι μετὰ τὸ δόγμα, καὶ πρὸς ἀνθρώπων ἀρέσκειαν τὰ λέγειν. οὐ δὲ γὰρ εἴτις φραπιώτην εἶδεν ἐκπαραταξέως ἠμαγμένον ἐξελθόντα, καὶ μυρία τραύματα ἔχοντα, δειλίασε κρίνειν αὐτὸν, καὶ προσβάσας ἀνείχετο, τῇ τοῦ σώματος τῆς ἀνδραγαθίας φέροντα τὴν ἀπόδειξιν. καὶ ὅπ' ἐμοῦ τοίνυν οὕτω ψηφίζεσθω δεῖ φησι. μὴ εἴτις ἀκοῦσαι βούλεται τῆς ἐμῆς ἀπολογίας, καὶ τὴν γνώμην καταμαθεῖν, βλεπέτω τὰ τραύματα τῶν ῥημάτων τούτων, καὶ τῶν πραγμάτων πλείονα παρεχόμενα τὴν ἀπόδειξιν. ἀρχόμενος μὲν τῆς ἐπιστολῆς ἀπὸ τοῦ ἀθρόαν αὐτοῦ μεταβολῆς, τὸ ἀνυπόκριτον αὐτοῦ ἔδειξε, τελευτῶν δὲ ἀπὸ τῶν κινδύνων. ἵνα μήτις λέγῃ, ὅτι μετέστη μὲν ἀπὸ διανοίας ὀρθῆς, οὐκ ἔμεινε δὲ τῷ τοῦ προαιρέσεως, ὅτι μὴ ἔμεινε μάρτυρας παράγει τοὺς πόνους, τοὺς κινδύνους, τὰς πληγάς. εἶτα ἀπολογησάμενος μᾶλλον πάντων σαφῶς, καὶ δείξας, ὡς οὐδὲν εἶπε τῶν εἰρημένων θυμῷ, καὶ ἀπειθείᾳ, ἀλλ' ἀκίνητον ἔχων τὴν πρὸς αὐτοὺς φιλοστοργίαν, πάλιν αὐτὸ τοῦτο κατασκευάζει, εἰς δύχλιν μυρίων γέμουσαν ἀγαθῶν κατακλείων τὸν λόγον, μὴ οὕτω λέγων. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ πνεύματος ὑμῶν ἀδελφοί ἀμήν. Τῷ ἐπιστόλῳ ῥήματι τούτῳ, πάντα τὰ ἔμπροσθεν ἐπεσφράγισεν. οὐ γὰρ ἁπλῶς μεθ' ἡμῶν ὡς τῶν ἄλλων, ἀλλὰ μετὰ τοῦ πνεύματος ὑμῶν ἀπάντων αὐτοὺς τῶν σαρκικῶν, μὴ παντάχοῦ δείκνυς τοῦ δι' ὑπερβολὴν, μὴ ἀναμιμνήσκων τῆς χάριτος ἧς ἀπέλαυσαν, δι' ἧς, πάσης αὐτοὺς ἱκανὸς ἦν Ἰουδαϊκῆς πλάνης ἀπαγαγεῖν. τότε γὰρ πνεῦμα λαβεῖν, οὐ τῆς νομικῆς ἦν ἐπιτεχείας, ἀλλὰ τῆς κατὰ τὴν πίστιν δικαιοσύνης. τότε κατασχεῖν λαβόντας οὐκ ἀπὸ τῆς περιτομῆς, ἀλλ' ἀπὸ τῆς χάριτος ἐγένετο. πάλιν διὰ τοῦτο τὴν παραίνεσιν δύχῃ κατέκλεισε, καὶ χάριτος, καὶ πνεύματος ἀναμνήσας, καὶ ἀδελφοὺς προσειπὼν, καὶ παρακαλέσας τὸν θεὸν τούτων αὐτοὺς δικνεκῶς ἀπολαύειν, καὶ διπλῶ τοὺς ἀνθρώπους ἀσφαλισάμενος τρόπῳ. τὸ γὰρ αὐτὸ, καὶ δύχὴ, καὶ διδασκαλίαι ὁλόκληρος ἀντὶ τείχους αὐτοῖς διπλοῦν γινομένη, ἥτε γὰρ διδασκαλία ἀναμιμνήσκουσα αὐτοὺς ὅσων ἀπήλαυσαν ἀγαθῶν μᾶλλον κατέσχεν ἐν τοῖς ἐκκλησίαις δόγμασιν. ἥτε δύχὴ καλοῦσα τὴν χάριν, καὶ παραμένειν αὐτοῖς πείθουσα, οὐκ ἠφίει τὸ πνεῦμα αὐτῶν ἀπαναφῆναι. τούτου δὲ ἐν αὐτοῖς ὄντος, πᾶσα ὡσπερ κόνις ἀπεσοβεῖτο τῶν τοιούτων δογμάτων ἡ ἀπάτη, ἐν χῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, σὺν τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Τῶν θείων ὑπομνημάτων τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου εἰς πάσας τοῦ ἁγίου Παύλου Ἐπιστολὰς Τέλος.

Ἐν Βηρώνῃ ὑπὸ τῦ Στεφάνου τῦ σαβιέως, καὶ τῶν αὐτῦ ἀδελφῶν
ἐνετυπώθη, οὐ μέντοι αὖθις ἐπιμελείας πολλῆς, ἀλλ' ὅμως ἀν-
θρωπίνης, καὶ ζαῦτα τῦ βιβλίου, ἐξ οὗ ζαῦτα παρελήφθησαν,
παλαιοτάτου ὄντος, καὶ ὑπὸ τῦ γήρως ἤδη σαθροῦ τε, καὶ ἡμιβρώτου,
καὶ τὸ δὴ μέγιστον, μόνου ζοῖς ἀντυποῦσι παρόντος. Ἐ ωειδὴ οὖῶ
αὔθρωποι τυγχάνομεν ὄντες, καὶ τὸ σφάλλεσθαι ἀνθρώπινον
μάλιστά ὅτι, τοῖς μὲν χαλκογράφοις, εἴ πινί που ἀδιορ-
θώτῳ ἀντεύξῃ, συγγινώσκειν προσήκει, τῷ δὲ Ἰωαννῃ
Ματθαίῳ τῷ Γιβέρτῳ τῷ τ Βηρώνης Ἐπισκόπῳ
παναείσῳτε, μὴ θεοσεβεσάτῳ πλείσην εἰδέναι
χάριν, ὅστις δικαπάνης μὴ δὲ μικρᾶ φεισάμε-
νος ἐωνύδασε, ὥστε οὕτως ὠφέλιμά
τε, καὶ πολύτιμα συγγράμματα εἰς
τὰς τ δυσεβῶν, καὶ ωουδαίων
χεῖρας ἐωεξιέναι. Ἑκατομ-
βαιῶνος ὀγδόῃ φθίνον-
τος. ἔτει μ τὴν τῆς
παρθένου τό-
κου αφκθ'.

CVERONAE typis æreis excusum per Stephanum, & fra
tres a Sabio quarto kalendas Iulias. MDXXIX.

CNon sine priuilegio, mulctaq; pecuniaria, & excom. pœna, vt in priu. cont.

✠ α β γ δ ε ξ η θ ι κ λ μ ν ξ ο π ρ σ τ υ φ αα ββ γγ δδ
εε ζζ ηη θθ ιι κκ λλ μμ νν ξξ οο ωω ρρ σσ ττ υυ φφ χχ ψψ ωω
Αα Ββ Α Β Γ Δ Ε Ζ Η Θ Ι Κ Λ Μ Ν Ξ Ο Π Ρ Σ Τ
Υ Φ Χ Ψ Ω ΑΑ ΑΑΑ ΒΒΒ ΓΓΓ ΔΔΔ ΕΕΕ ΖΖΖ ΗΗΗ
ΘΘΘ ΙΙΙ ΚΚΚ ΛΛΛ. Ἅπαντα ωεντάδια, πλὴω τῦ φ ὄντος δυαδίου, καὶ τῶν
Αα Ββ ὄντων τεταδίων. Oēs quinterniōes, p̄ter φ duernionē, & Aa Bb quaterniones.



